# ΣΧΟΛΙΑ

ΕΙΣ ΤΗΝ

# ΟΥ ΟΜΗΡΟΥ

# ΙΛΙΑΔΑ,

Ἐκ τῆς ἐκδόσεως τοῦ

ΙΟΝΝΕΣ AUGUSTUS MÜLLER.

πρῶτον ἐκδοθέντα εἰς τόμους τρεῖς, πρὸς εὐκο-
τῶν σπουδαζόντων, καὶ ἐχόντων ἐκδόσεις τῆς
ὸος ἄνευ σχολίων, καὶ κυρίως τὴν στερεότυπον,

ΥΠΟ

ΩΝΣΤΑΝΤΙΝΟΥ ΓΚΑΡΠΟΛΑ.

ΤΟΜ. Α΄.



ΕΝ ΑΘΗΝΑΙΣ,
1842.

НБ ОНУ імені І.І.Мечникова

# ΣΧΟΛΙΑ

ΕΙΣ ΤΗΝ

# ΤΟΥ ΟΜΗΡΟΥ

# ΙΛΙΑΔΑ,

Ἐκ τῆς ἐκδόσεως

ΤΟΥ

Ioannes Augustus Müller

Νῦν τὸ πρῶτον ἐκδοθέντα εἰς τόμους δύο, πρὸς εὐκολίαν τῶν σπουδαζόντων, καὶ ἐχόντων ἐκδόσεις τῆς Ἰλιάδος ἄνευ σχολίων, καὶ κυρίως τὴν στερεότυπον,

ΥΠΟ

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΓΚΑΡΠΟΛΑ.

ΤΟΜ. Α'.

ΕΝ ΑΘΗΝΑΙΣ.

1841.

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова

БИБЛІОТ. ИМПЕРАТ. НОВОРОС. УНИВЕРСИТЕТА

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ Κ. ΓΚΑΡΠΟΛΑ.
Ὁδὸς Θεάτρου. Ἀριθ. 1.

НБ ОНУ імені І.І.Мечникова

## Φίλοι ὁμογενεῖς!

Ἡ διὰ στερεοτυπίας ἐν Λειψίᾳ παρὰ τοῦ Τάουχνιτζ καὶ Σιέφερ ἔκδοσις τῶν κλασσικῶν Ἑλλήνων ποιητῶν καὶ λογογράφων, ὅτι μεγίστην εἰς τοὺς Ἕλληνας καὶ φιλέλληνας τὴν ὠφέλειαν ἔφερε καὶ φέρει διά τε τὸ εὔωνον αὐτῆς, καὶ διὰ τὴν τοῦ κειμένου διόρθωσιν, δὸς δὲ εἰπεῖν, καὶ διὰ τὸ ἐκ τῆς τῶν τόμων σμικρότητος εὔχρηστον, τοῦτο εἶναι πασίγνωστον, καὶ παρὰ πᾶσιν ὁμολογούμενον.

Ἀλλ' ὅτι καὶ μία μόνη ἡ ἔλλειψις τοῦ κοινωφελεστάτου τούτου ἔργου, ἡ ἔλλειψις, λέγω, τῆς πρός τε τὸν διδάσκοντα καὶ διδασκόμενον καὶ ἀναγνώστην βοηθείας, τῆς διὰ τῶν ἀναγκαιοτάτων ἐμβριθῶν καὶ εὐεπιβόλων εἰς ἕνα ἕκαστον συγγραφέα σημειώσεων, καὶ τοῦτο ἐπίσης πασιφανὲς καὶ ἐπαισθητόν.

Διὰ νὰ ἀναπληρώσω λοιπὸν τὴν οὐσιώδη ταύτην ἔλλειψιν, καὶ ν' ἀποκαταστήσω τὴν ἔκδοσιν ταύτην ἀπολύτως ἐπωφελῆ, καὶ ν' ἀπαλλάξω τοὺς ὁμογενεῖς μου τῆς πρὸς τὴν ἐντελῆ κατάληψιν τοῦ κειμένου ἀπαραιτήτου ἀνάγκης τῶν σπανίων καὶ ἐπομένως βαρυτίμων μετὰ σχολίων ἐκδόσεων, μ' ὅλον ὅτι τὸ ἔργον εἶναι πολυδάπανον καὶ πολύμοχθον, ἐνθουσιῶν ὅμως εἰς τὸ νὰ φανῶ ἐπωφελὴς εἰς τὸ ἔθνος μου, ἀνέλαβον καὶ τὸ ἔργον τοῦτο, τὸ

НБ ОНУ імені І.І. Мечникова

ἐφ' ὅσον πολλαχῶς δυσχερές, ἐπὶ τοσοῦτον πολλαχῶς ὠφέλιμον.

Αἱ σημειώσεις διὰ πεπαιδευμένων ἀνδρῶν ἐκ τῶν ἐπισημοτέρων ὑπομνηματιστῶν Ἑλλήνων τε καὶ Ἑλληνιστῶν, καὶ ἐκ τοῦ ἀοιδίμου Κοραῆ, ἐπεξεργάζονται μετ' ἀκριβείας οὐ τῆς τυχούσης, προσαρμοζόμεναι δι' ἀριθμῶν εἰς τὰς σελίδας καὶ στίχους τῆς ῥηθείσης ἐκδόσεως.

Ἐκδοθήσονται δὲ ἅπαντες οἱ συγγραφεῖς οὗτοι, ἀνὰ ἓξ ἐν ταὐτῷ εἰς ἑκάστην ἑξαμηνιαίαν περίοδον, εἰς τόμους ἴσους τῷ μεγέθει τοῖς τοῦ κειμένου, πρὸς αὐτῷ αὐτῶν συσσωμάτωσιν.

Ἤδη δὲ πρῶτον ἐξέρχονται τῶν πιεστηρίων αἱ σημειώσεις εἰς τὴν τοῦ Ὁμήρου Ἰλιάδα καὶ Ὀδύσσειαν, εἰς τὸν Ἡρόδοτον, Θουκυδίδην, Ἰσοκράτην, Πλάτωνα καὶ Πίνδαρον, εἰς χάρτην καθαρὸν καὶ μετὰ χαρακτήρων καλῶν, ἐπὶ τιμῇ τεσσάρων δραχμῶν δι' ἕκαστον τόμον διὰ τοὺς συνδρομητάς, πληρωτέων μετὰ τὴν παραλαβὴν τῶν βιβλίων.

Τὰ σχόλια εἰς τὴν Ἰλιάδα ἐτυπώθησαν ἤδη ἀπαραλλάκτως κατὰ τὴν ἔκδοσιν **Ioannes Augustus Müller**, ὡς ὄντα τὰ κάλλιστα.

Ὁ Ἐκδότης

**Κ. ΓΚΑΡΠΟΛΑΣ ΟΛΥΜΠΙΟΣ.**

НБ ОНУ імені І.І.Мечникова

# ΣΧΟΛΙΑ

## ΕΙΣ ΤΗΝ

# ΤΟΥ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ.

## ΡΑΨΩΙΔΙΑ, Ἢ ΓΡΑΜΜΑ Α.

Σ. 1. ΜΗΝΙΝ κτλ.] Ὅτι δέκα ἐτῶν περιπλομένων τοῖς Ἕλλησι περὶ τὸν Τρωϊκὸν πόλεμον, Ὅμηρος τὴν Ἰλιάδα ἐκ τῶν τελευταίων, ἤγουν ἐκ τοῦ δεκάτου ἔτους, ἐποίησεν· οὐδὲ ἐξ αὐτοῦ ὅλου, ἀλλ' ἐκ μέρους τινὸς, τουτέστι, τῆς ἐν αὐτῷ συμπεσούσης μήνιδος τοῦ Ἀχιλλέως. Ἐμεθώδευσε δὲ ὁ ποιητὴς τοῦτο, ἅμα μὲν διὰ τὸ καινοπρεπὲς, καὶ τῷ ἀνελπίστῳ ξενίζον· τὸ γὰρ κατὰ φύσιν ἀπὸ τῶν πρώτων ἄρξασθαι, οὔτε καινόν τι ἔχει, καὶ ὁ ἀκροατὴς δὲ, ὡς ἐπιπολὺ οὕτως ἐλπίζει γενέσθαι· ἅμα δὲ καὶ διὰ τὸ δεινότερον, τουτέστιν, οἰκονομικώτερον· οὐδὲ γὰρ εἶχεν ἄλλως ἀξιόλογον ὕλην γραφῆς· διότι τὰ μὲν προηγησάμενα ἐννέα ἔτη, ἀνειμένως εἶχον τῆς μάχης· πολεμαρχοῦντος τοῦ ἀνδρειοτάτου Ἀχιλλέως, καὶ τοὺς Τρῶας ὡς τὰ πολλὰ τῇ πόλει διὰ δέος ἐγκατακλείοντος. Ὅτε δὲ αὐτὸς ἐμήνισε, συνετάθη ὁ πόλεμος, ἀναθαῤῥησάντων τῶν Τρώων, καὶ τεχνικὴν εὐπορίαν ἐνταῦθα εὗρε τοῦ γράφειν ὁ ποιητής· ὃν καὶ οἱ μετ' αὐτὸν μιμησάμενοι τραγικοί τε καὶ κωμικοὶ, καθ' ὁμοιότητά τινα καὶ αὐτοὶ μετεχειρίζοντο τὰ οἰκεῖα ποιήματα. — Οὐκ ἀφῆκε δὲ Ὅμηρος οὐδὲ τὰ πρὸ τῆς μήνιδος, ἀλλὰ καὶ ἐκεῖνα καὶ ἄλλα μυρία τῶν παλαιοτέρων παρενέθετο, ἐνσπείρας ὧδε καὶ ἐκεῖ, ὅπη παρείκοι ὡς αὐτὸς ἐνόει καλὸν εἶναι. Καὶ οὐ ταῦτα μόνον, ἀλλὰ πολλὰ καὶ τῶν ἐφεξῆς, τῆς μήνιδος τῇ Ἰλιάδι, ἐπελευστικώτερον παρενέβαλεν· οἷον τὸν τοῦ Ἀχιλ-



НБ ОНУ імені І.І. Мечникова

λέως θάνατον· τὴν τῆς Τροίας ἅλωσιν, ὅτι ὁ Αἰνείας ἄρξει ποτὲ τῶν Τρώων, καὶ ἄλλα τοιαῦτα. Ε. ἐζήτηται δὲ εὐθὺς διὰ τί ἀπὸ τῶν τελευταίων ἤρξατο, τοῦ πολέμου ὁ ποιητής· καὶ φαμὲν, ὅτι ἅπας μὲν χρόνος ὁ πρὸ τοῦ δεκάτου ἔτους, οὐκ ἔσχεν οὕτω συνεχεῖς τὰς μάχας, διὰ τὸ τοὺς Τρῶας φόβῳ τοῦ Ἀχιλλέως ἐντὸς κατακεκλεῖσθαι τοῦ τείχους· τὸ δὲ δέκατον ἔτος πλείονας ἔσχε τὰς πράξεις καὶ τοὺς πολέμους ἰσοπαλεῖς, τοῦ Ἀχιλλέως ὀργιζομένου· ὁ δὲ ποιητὴς οἰκονομικῶς κἂν τούτῳ ἤρξατο μὲν ἀπὸ τῶν τελευταίων· διὰ δὲ τῶν σποράδην αὐτῷ λεχθέντων περιέλαβε καὶ τὰ πρὸ τούτων πραχθέντα· αὕτη γὰρ ἀρετὴ ποιήσεως, τὸ ἀπὸ τῶν μέσων ἄρξασθαι, προϊόντα δὲ καὶ τὴν ἀρχὴν διηγεῖσθαι κατὰ μέρος. Σχολ. — Ἐνταῦθα δὲ ἰστέον καὶ ὅτι σχῆμα εὐκρινείας καὶ σαφηνείας παρὰ τοῖς παλαιοῖς, ἡ προέκθεσις, προδιδάσκουσα κεφαλαιωδῶς, καὶ προεκτιθεμένη τὸν τοῦ ἐφεξῆς λόγου σκοπόν· ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ Ὅμηρος· λέγων, ὅτι ἐκ τῆς τοῦ Ἀχιλλέως ἀρξάμενος μήνιδος, ἀφηγήσεται τὰ ἐν αὐτῇ συμβεβηκότα κακὰ, οὐ μόνον τοῖς Ἀχαιοῖς, εἰ καὶ τούτοις ἐπὶ πλέον, ἀλλ', ὡς εἰκὸς, καὶ τοῖς Τρωσί. — προκαλεῖται ὁ ποιητὴς μοῦσαν, ὥστε εἰπεῖν τήν τε τοῦ Ἀχιλλέως μῆνιν, τὴν ὀλεθρίαν καὶ τὴν αἰτίαν δὲ καὶ τὸν καιρὸν τῆς τοιαύτης μήνιδος. — εἶτα οἱονεὶ τὴν μοῦσαν εὑρὼν ὑπακούουσαν εἰς ἀφήγησιν τοῦ ζητηθέντος, αὐτὸς μὲν τοῦ λοιποῦ δῆθεν σιωπᾷ, στήσας τὸν ἑαυτοῦ λόγον, ἢ εἰς τὸ, Ἀτρείδης ἄναξ ἀνδρῶν, ὥς τινες εἶπον, ἢ μάλιστα εἰς τὸ, τίς δὴ αὐτοὺς θεὸς ἔριδι ξυνέηκε μάχεσθαι; τὸ δὲ ἐντεῦθεν, ἡ μοῦσα διαδεξαμένη τὸν λόγον, περαίνει τὴν ὅλην ποίησιν· ἐρωτωμένη που πάλιν κατά τινα ποσὰ διαστήματα· ἢ καὶ ἄλλως ἀφήγησιν ζητουμένη ὑπὸ τοῦ ποιητοῦ, καὶ αὖθις λαλοῦσα, ὡς φανήσεται. — Ὅτι μῆνις κατὰ τοὺς παλαιοὺς ἡ ἐπιμένουσα ὀργὴ, ἐκ τοῦ μένειν, οὐ μὴν ἐκ τοῦ μαίνεσθαι· ἀπὸ τούτου γὰρ ἡ μανία γίγνεται, οὐκ ἔτι μῆνις αὐτὴ οὖσα, οὐδὲ ἄλλο τι εἶδος ὀργῆς, ἀλλὰ φρενῶν ἔκστασις. Ε. χόλον ἐπίμονον Σχολ. — δεῖ δὲ εἰδέναι, ὅτι ἐπὶ τῶν παροξυνομένων ἀνθρώπων τέσσαρα ταῦτα λέγονται ὀνόματα παρὰ τῷ ποιητῇ· θυμὸς, χόλος, μῆνις, κότος· ὧν θυμὸς μὲν καὶ χόλος ταὐτά (ταῦτά) ἐστιν, ὥσπερ καὶ ἡ κοινότερον μεθ' Ὅμηρον λεγομένη ὀργή· καί εἰσι τὰ τρία ταῦτα, ὁ θυμὸς, ὁ χόλος καὶ ἡ ὀργὴ, συνώνυμα κατὰ τοὺς γραμματικοὺς, κατὰ δὲ ἄλλους πολυώνυ-

НБ ОНУ імені І.І. Мечникова

μα· καθὰ καὶ τὸ, βροτὸς, μέροψ, ἄνθρωπος — καί εἰσι χόλος, καὶ ὀργὴ καὶ θυμὸς ἔτι ἐν καταρχῇ τινι καὶ κινήσει, καὶ πάθους θυμικοῦ ἀρχομένου εἰσὶν ὀνόματα· ὃ δὴ πάθος εἰ παραμείνῃ, μῆνις λέγεται· ἐγκαθίσαν δὲ τῇ ψυχῇ ἐπὶ πλέον, εἰς κότον ἀποκαθίσταται — παρὰ δὲ τῷ ποιητῇ ποτὲ καὶ συγχέονται, ὡς τήν τε μῆνιν, χόλον λέγεσθαι· οἷον μὴ ἐμὲ γοῦν τοιοῦτος χόλος λάβοι, ὡς ἐν τῇ Π. ῥαψῳδίᾳ (στ. 30.), καὶ ἀνάπαλιν· οἷον, Ἀτρείδης δ' ἑτέρωθεν ἐμήνιεν (Α. στ. 247.), ἀντὶ τοῦ ἐχολοῦτο· ἀδιαφορεῖν δέ ποτε καὶ τὸν χόλον, καὶ τὸν κότον, ὡς δηλοῖ τὸ, οὐδ' ὄθομαι κοτέοντος, ἤγουν χολουμένου. (Α, 181.) Ε.—Ἄειδε] Ἀείδειν δέ ἐστι, τὸ ἐμμελῶς λέγειν καὶ ᾠδὴ, ὁ μεμελισμένος λόγος, ὃς καὶ ἔξαρμα ἔχει, ἤγουν ὕψος, ὄγκον, μέγεθος, καί πως διὰ τὸ ὑπερηρμένον, ἔποχος ὁ τοιοῦτος λόγος εἶναι δοκεῖ· διόπερ ὁ μὴ τοιοῦτος, πεζὸς λέγεται διὰ τὸ ταπεινόν· καὶ τὸ, ὡς ἀπὸ ὕψους τινὸς καὶ ὀχήματος καταβῆναι εἰς τοὔδαφος· οἱ γὰρ περὶ Φερεκύδην καὶ Ἑκαταῖον λύσαντες μὲν τὸ μέτρον (ἴδ. Κρεῖτσερ. Ἱστ. Ἑλ. σελ. 67.) ἄλλα δὲ φυλάξαντες, τὰ ποιητικὰ συνέγραψαν· εἶτα οἱ ὕστερον ἀφαιροῦντες ἀεί τι τῶν τοιούτων, εἰς τὸ νῦν εἶδος κατήγαγον ὡς ἀπὸ ὕψους τινές· ταῦτα ὁ γεωγράφος (Στράβ. Α. σελ. 12.) δοκεῖ δὲ καὶ τὸ ἐνέπειν ἰσοδυναμεῖν τῷ ᾄδειν, ὡς δηλοῖ τὸ, ἄνδρα μοι ἔννεπε μοῦσα· ἐξ οὗ καὶ ἔπη τὰ ποιήματα λέγονται· οἰκειότερον δὲ τῇ ἐμμελείᾳ, τὸ ᾄδειν· ὅθεν καὶ ἐπὶ μουσικῶν ὀρνίθων ᾄδειν λέγομεν, οὐ μὴν ἐνέπειν ὥσπερ οὐδὲ λέγειν· περὶ ἀλεκτρυόνων γὰρ ᾠδὰς φαμὲν, καὶ ὄρνεις ᾠδικούς τινας λέγομεν, καὶ ἡ ἀηδὼν δὲ ἐκ τοῦ ἀείδειν παρετυμολογεῖται. — Θεὰ] Μοῦσα. λέγει δὲ τὴν Καλλιόπην Σ. Ὅλως δὲ ἡ ποίησις πᾶν τὸ παρηλλαγμένον καὶ ξενίζον καὶ ἐξαίρετον καὶ τεράστιον ἢ καὶ τερατῶδες, εἴστε θεῖον γένος καὶ εἰς θεὸν ἀποκαθιστᾷ — ταύτῃ τῇ θεᾷ, τῇ Μούσῃ, τῇ οἰκείᾳ ἐπιστήμῃ, ἐγκελεύεται ὁ ποιητὴς τὴν Ἀχιλλέως μῆνιν ἀείδειν, ἀνεγείρων οἷον τὴν οἰκουροῦσαν τέχνην, ἢ τὸ φίλον ἦτορ κατὰ Πίνδαρον (Ὀλυμπ. Α. στ. 6), καὶ ἀναῤῥιπίζων τὸ ἐν αὐτῷ τῆς φιλοσοφίας ζώπυρον· — πάντως δὲ καὶ ὁ ποιητὴς τὴν Καλλιόπην θέλων ἐπικαλέσασθαι, οὐκ ἐκφωνεῖ αὐτὴν, ἀλλὰ σεμνότερον ὀνόματι γενικῷ τῷ θεὰ χρῆται· — Κακεῖνο δὲ ἰστέον, ὅτι μυθικώτερον θεὰν ἤτοι μοῦσαν ἐπικαλεῖται ὁ ποιητὴς, διὰ τὸ προσοχὴν τῶν ἀκροωμένων, ἵνα ὡς μούσης λαλούσης προσέ-



НБ ОНУ імені І.І. Мечникова

χοιεν τοῖς λεγομένοις τὰς ἀκοὰς, καὶ ἵνα καὶ ἑαυτὸν σεμνύνῃ, ὡς θεοφιλῆ, καὶ ἐν ψυχῇ ἔχοντα ἢ μίαν, ἢ πάσας τὰς μούσας, καὶ διὰ τοῦτο ἔνθεον· μάλιστα δὲ διὰ τὸ πιθανὸν τῶν πλασμάτων, ὁπηνίκα μυθικά τινα λέγει, οἷον, θεῶν βουλὰς καὶ πολέμους ἐκείνων καὶ ἐπιβουλὰς καὶ ἔρωτας, καὶ ἀποδημίας, καὶ ὅλως πράξεις παντοίας. Μαθὼν γὰρ ὁ ἀκροατὴς, ὅτι Μοῦσα προκληθεῖσα λαλεῖ, οὐκ ἂν ἀπορήσῃ, πόθεν τὰ τοιαῦτα οἶδεν ὁ ποιητής· εἰδὼς τὸν μὲν ποιητὴν καθάπαξ μουσόληπτον, τὴν δὲ Μοῦσαν πάντα εἰδυῖαν, ὡς θεάν. — Πηληϊάδεω] Συνίζησις· αἱ γὰρ τέσσαρες συλλαβαὶ αἱ μετὰ τοὺς τέσσαρας πόδας, ἤγουν τὸ δέ καὶ τὸ ω, καὶ τὸ ά καὶ τὸ χι, εἰς δάκτυλον καταλογίζονται· τοῦ δὲ καὶ τοῦ ω λαμβανομένων ἀντὶ μιᾶς μακρᾶς· (ἴδ. Σπιτζνέρ. Ἑλ. Ἡρωϊκ. Στοιχ. σελ. 183.) — Ἰστέον δὲ καὶ, ὅτι οὐκ ἀεὶ τὸ ά ποιητικῶς πλεονάζει ἐν τοῖς διὰ τοῦ ἴδης πατρωνυμικοῖς· ἀλλὰ μόνον ἐξ ἀνάγκης, ὅτε πρὸ τοῦ ί μακρά ἐστι συλλαβή, οἷον Τελαμωνίδης Τελαμωνιάδης, Νηλείδης Νηληϊάδης· οὕτως οὖν καὶ Πηλείδης Πηληϊάδης· εἰ γὰρ μὴ πλεονάσῃ ἐν τοῖς τοιούτοις τὸ ά καὶ οὕτως ἀπαρτισθῇ δάκτυλος, οὐ συντελοῦσιν εἰς μέτρον ἡρωϊκὸν, διὰ τὸ καταπεραιοῦν εἰς πόδα ἀμφίμακρον, ἀμέλει ἐν τῷ Ἀτρείδης καὶ Πηλείδης, οὐ πλεονάζει τὸ ά οὐ χρεία γάρ. — Ὅτι δὲ φιλοαχιλλεὺς ὁ ποιητὴς, μυριαχοῦ φανήσεται· ὃς τάχα ὥσπερ ἐξ Ὀδυσσέως τὴν Ὀδύσσειαν, οὕτω καὶ τὴν Ἰλιάδα ἐξ Ἀχιλλέως Ἀχίλλειαν ἐπέγραψεν ἂν, εἰ μὴ το πρεσβεῖον τῆς Ἑλλάδος οὕτως ἤμελλε καταβαλεῖν καὶ ταπεινῶσαι τῇ ἐξ ἑνός τινος ἐπιγραφῇ· διὸ οὔτε ἀπό τινος ἑτέρου προσώπου ὅλως αὐτὴν παρονομάζει, ἐπεὶ μὴ ἐκ τοῦ Ἀχιλλέως δύναται, ἀλλὰ ἐκ τῆς Ἰλίου, ὡς προελέχθη· καὶ τὸν Ἀχιλλέα δὲ ἐξαίρει καὶ σεμνύνει, ἄλλως τε πολυειδῶς, καὶ οἷς δὲ ἀπὸ τῆς αὐτοῦ μήνιδος ἀρξάμενος πρινὴ μὲν παύσασθαι τοῦ μηνίειν, κατασπείρει πολλαχοῦ τῆς ποιήσεως τὴν αὐτοῦ μνήμην, ἵνα μηδεὶς αὐτοῦ λανθάνηται· ἐπὰν δὲ ἀποθέμενον τὴν μῆνιν ἐκφήνῃ αὐτὸν εἰς τὴν μάχην, τὸ ὅλον τῆς ποιήσεως εἰς αὐτὸν δαπανᾷ· καὶ ἀντεπεξαγαγὼν αὐτῷ ἀξιόλογον ἀντίμαχον τὸν Τρωϊκὸν Ἕκτορα, ὃς τὸν μὲν ἄλλον χρόνον οὐδὲ προκύπτειν τοῦ τείχους ἔθελεν, Ἀχιλλέως δὲ μηνίσαντος, μεγάλα κατὰ Ἑλλήνων κατώρθωσε, καὶ ῥίψας αὐτὸν ὑπὸ τῷ Ἀχιλλεῖ, συγκατέλυσεν ἐκείνῳ τὴν ποίησιν· οὐ μόνον ὅτι συναπέσβη τῷ Ἕκτορι καὶ ἡ τῶν πολεμικῶν ἔργων

НБ ОНУ імені І.І.Мечникова

θερμότης, καὶ οὐκ εἶχεν ὁ ποιητὴς τοῦ λοιποῦ ἐπεξάγαγεῖν ἀντίπαλον τοιοῦτον ἕτερον τῷ Ἀχιλλεῖ, ἀλλὰ καὶ ὅτι ὤκνησεν ἐπιπλέον μηκῦναι τὸν λόγον, ἵνα μὴ ἀναγκαίως καὶ εἰς τὸν τοῦ φιλουμένου Ἀχιλλέως θάνατον ἀπενεχθεὶς ἀφηγήσηται, ὅπως ἀγενῶς οὕτω καὶ ἀναξίως ὁ τηλικοῦτος ἥρως ἔπεσεν· εἰ δέ που παρελάλησέ τι περὶ θανάτου τοῦ Ἀχιλλέως, ἀλλ᾽ οὐ κατὰ ἀφήγησιν, καὶ εἰς πλάτος καὶ κατὰ σκοπὸν καὶ εἱρμὸν, ἀλλ᾽ ὡς ἐκ παρόδου, καὶ πεφεισμένως καὶ οἷον εἰπεῖν ἄκροις χείλεσι καθάπερ καὶ ἄλλα τῶν ὕστερον ἐπισυμβάντων. Ε.

Σ. 2. Οὐλομένην] Ὅτι ἐνέργειαν σημαίνει τὸ οὐλομένην δηλοῖ ὁ ποιητὴς ἐπαγαγὼν τὸ, ἣ μυρί᾽ Ἀχαιοῖς ἄλγε᾽ ἔθηκε, μονονουχὶ λέγων κατὰ λόγον ἐπεξηγήσεως, ὅτι οὐλομένην τὴν μῆνίν φημι, οὐχ ὅτι αὐτὴ ἔπαθέ τι, ἀλλ᾽ ὅτι μάλιστα ἐνείργησεν. Ε. — Ἀχαιοῖς] Τοῖς Ἕλλησιν. Ξοῦθος ὁ Αἰόλου παῖς, ἀγόμενος Κρέουσαν τὴν Ἐρεχθέως θυγατέρα, ἔσχεν ἐξ αὐτῆς δύο παῖδας, Ἴωνα καὶ Ἀχαιόν· ὧν ὁ μὲν Ἴων ᾤκησεν Ἀθήνας· ὁ δὲ Ἀχαιὸς, φόνον ἐμφύλιον δράσας, παρεγένετο εἰς Θεσσαλίαν· καὶ κυριεύσας τῆς χώρας, τοὺς ὑποτεταγμένους ἀφ᾽ ἑαυτοῦ προσηγόρευσεν Ἀχαιούς. Ἕλληνες δὲ κοινῶς πάντες οἱ τῆς Ἑλλάδος ἐκλήθησαν, ἀπὸ Ἕλληνος τοῦ Διός· πρῶτοι δὲ οὕτως ἐλέγοντο οἱ ἐν Θεσσαλίᾳ ἄνθρωποι· οὐ μὴν ἅπαντες, ἀλλὰ μόνοι οἱ ἐν Ἑλλάδι τῇ πόλει· ἔπειτα μεγάλα δυνηθέντος τοῦ Ἕλληνος καὶ τῶν τούτου παίδων, ἀπ᾽ αὐτοῦ πάντες ἐκλήθησαν Ἕλληνες Σχολ. — Μυρία] Ἀορίστως τὰ πολλὰ λέγει, καὶ παροξύνεται ἡ λέξις πρὸς διαστολὴν ὡρισμένου ἀριθμοῦ, τοῦ μυρία—ταῦτα δὲ προοικονομίαι εἰσὶ τοῦ πλατυσμοῦ τῆς Ἰλιάδος· τὰ γὰρ μυρία ἄλγεα καὶ οἱ πολλοὶ θάνατοι πολλὴν πάντως γραφῆς ὕλην δώσουσι τῷ ποιητῇ. Ε.

Σ. 3. Ἰφθίμους] Ἀττικὸν δὲ τὸ ἰφθίμους ψυχάς· καὶ ἠδύνατο μὲν καὶ ἰφθίμας εἰπεῖν κοινῶς, ὡς δηλοῖ τὸ, ἰφθίμην ἄλοχον (Ε, 415.) ἐξέφυγε δὲ τὸ ἐν τρισὶ παρίσοις ἄκαιρον κάλλος. — Τὸ δὲ ἄϊδι κατά τινας ἐπλαγιάσθη ἀπὸ τοῦ ἄϊς, οὗ καὶ γενικὴ εὑρίσκεται ἄϊδος — τὸ δὲ ἄϊς γίνεται παρὰ τὸ ᾱ στερητικὸν καὶ τὸ εἴδω, τὸ βλέπω. — ἔστι γὰρ ἄϊς τόπος σκοτεινὸς ὑπὸ γῆν, ἀφανής, ἀφωρισμένος ψυχαῖς. — Προΐαψεν] Τὸ δὲ προΐαψε τινὲς ἁπλούστερον ἀντὶ τοῦ προέπεμψε νοοῦσιν· ἔχει δὲ οὐχ ἁπλῶς οὕτως· οὐ γὰρ πομπήν τινα ἢ προπομπὴν, ἀλλὰ φθορὰν καὶ βλάβην τινὰ ἡ λέξις δηλοῖ· — ἤγουν μετὰ βλάβης εἰς

НБ ОНУ імені І.І. Мечникова

ᾅδην πρὸ τοῦ δέοντος ἔπεμψεν· — ἢ ἁπλῶς ἔπεμψεν, ὡς πλεοναζούσης τῆς προθέσεως, καθὰ καὶ ἐν τῷ νῆας προπέσας, καὶ ἐν ἄλλοις πολλοῖς Ε. (στ. 326. Ἰλιάδ. γ, 118. δ, 398. ε, 190. θ, 367. κ, 563. λ, 3. ἴδ. Βιργ. Αἰν. Β. 85.) πρὸ τῆς εἱμαρμένης ἔπεμψεν. Σ. (ἴδ. Χαύν. Τόμ. Δ. σελ. 6.)

Σ. 4. Ἡρώων] Ἥρωας δὲ ἡ παλαιὰ σοφία γένος τι θεῖον εἶναι δοξάζει μέσον θεῶν καὶ ἀνθρώπων· καὶ τὸ μὲν θεῖον φῦλον εἰς θεοὺς διαιρεῖ καὶ δαίμονας, ὧν καὶ διαφορὰν λέγει ὁποία φανήσεται ἀλλαχοῦ· τοὺς δὲ ἀνθρώπους εἴς τε ἥρωας καὶ εἰς αὐτὸ τοῦτο ἀνθρώπους· καὶ ὑποβεβηκέναι μέν φησι θεοῖς, δαί-μονας, ἀνθρώπους δὲ, ἥρωσιν, οὓς καὶ ἐκ θείου καὶ ἀνθρω-πίνου σώματος φῦναι λέγουσι· διὸ καὶ Ἡσίοδος (Ἔρ. καὶ Ἡμ. στ. 160.) ἡμιθέους αὐτοὺς λέγει ἢ ἐκ θεᾶς ὄντας καὶ θνητοῦ ἀνδρὸς, ὁποῖος καὶ Ἀχιλλεὺς ὁ ἐκ Θέτιδος καὶ Πη-λέως, ἢ ἀνάπαλιν· ἕτεροι δὲ συντομώτερον φράζοντες, φασίν· ἄκρα μὲν θεοὶ καὶ ἄνθρωποι, μέσον δὲ γένος ἀμφοῖν τὸ ἡρωϊκὸν, θεοῖς μὲν ὑποβεβηκὸς, ἀνθρώπων δὲ ὑπερκείμενον, διὰ μετου-σίαν ἀρετῆς, ἀφ᾽ ἧς καὶ δοκοῦσι παρονομάζεσθαι. (ἴδ. Κερουζ. Συμ. καὶ Μυθολ. Γ. σελ. 3—100.) — Σημείωσαι δὲ ὅτι καὶ ἐνταῦθα Ὅμηρος τήν τε ἑαυτοῦ ποίησιν σεμνύνει καὶ τὸν ἀκροατὴν δὲ πάλιν παραμυθεῖται, ὡς εἰ καὶ ἀπὸ τοῦ ἐσχάτου ἤρξατο ἔτους, ὅμως καὶ μεγάλα, καὶ πολλά τινα ἐρεῖ, καὶ οὐ μικροπρεπὴς αὐτῷ ἔσται ἡ ποίησις, καὶ ὑποβάλλει ἐλπί-δας, ὡς οὐδὲ περὶ τυχόντων ἐρεῖ προσώπων, ἀλλὰ ἡρώων, καὶ τούτων πολλῶν μεμνήσεται· ἐν τούτοις δὲ καὶ ψόγος μήνιδος εὐφυῶς ὑποφαίνεται, ὡς πάνυ γὰρ αὕτη χειρίστη, εἴπερ διὰ μὲν ὁμόνοιαν σωτηρία πολυετὴς ἦν τοῖς Ἀχαιοῖς, διὰ δὲ τὴν ὀλιγοήμερον Ἀχιλλέως μῆνιν τοσαῦτα ἐπιγεγόνασι κακά· φευκτέον ἄρα τὴν μῆνιν, ἧς τὴν φαυλότητα τοῖς προ-θύροις ἐπέγραψε τῆς Ἰλιάδος ὁ ποιητής. — Ἡ δὲ ἱστορικὴ κατάστασις, ἡ περὶ τοῦ τῶν ἡμιθέων μύθου, τοιάδε· Ἀγὼν τοῖς παλαιοῖς ἦν πολὺς, ὡς εἰκὸς, ἀποσεμνύνειν τοὺς ἄρχον-τας, ἢ καὶ ἄλλως ὑπερέχοντας, καὶ ἕκαστοι τῶν ἐξ ἔθνους ἡμιλλῶντο τοῖς οἰκείοις βασιλεῦσιν ἐπινοήσασθαι πλείω τῶν λοιπῶν σεμνώματα· διὸ καὶ τοὺς κοινοὺς ἐγκωμιαστικοὺς ὑπερα-ναβάντες τόπους διὰ τὸ ὑψηλὸν καὶ θειότερον τῆς βασιλείας, οὐκ ἔτι ἐκ πατέρων ἢ προγόνων τῶν ἁπλῶς ἤθελον κατάγειν

НБ ОНУ імені І.І.Мечникова

τοὺς ἡγουμένους· ἀλλ' ἔνθεόν τι γένος τὸ βασιλικὸν ὑπολαβόν-
τες, θεοὺς αὐτοῖς πατέρας ἐπέστησαν· καὶ τοῦτο κατὰ μέθο-
δον πολυσχιδῆ καὶ πολύτροπον, καὶ ὡς ἑκάστῳ τῶν ἀρχόν-
των ἦν προσφυέστερον, ἵνα καὶ πιθανὸν εἴη τὸ θεόθεν γενεα-
λόγημα· καὶ τοίνυν οἷς μὲν τὸ εὐγενὲς καὶ βασιλικὸν ἄκρως
ἐπέπρεπεν, ἐκ Διὸς τούτους ἐποίουν κατάγειν τὸ γένος· (ἴδ.
Ἡσιόδ. Θεογ. 96.) οἷς δὲ λόγος ἐνέλαμπεν, Ἑρμῆς τούτοις
ἐξελαλεῖτο πατήρ· ὁ μουσικὸς ἄρχων, εἴτε καὶ μαντικὸς καὶ
ἰατρικὸς, Ἀπόλλωνι παῖς ἐπεγράφετο· ὁ στρατιωτικὸς καὶ ἀν-
δρεῖος ὑπὸ πατρὶ ἐτάττετο Ἄρει· τοὺς ᾠδικοὺς ἤτοι ποιητικοὺς
Καλλιόπη ἢ Τερψιχόρη, παιδοποιησαμένη ἦγεν εἰς φράτορας·
τοὺς δὲ τοιούτους καὶ Ἀπόλλων ᾠκειοῦτο εἰς παῖδας, ὅτι καὶ
συνᾴδειν Μούσαις λέγεται κ. τ. λ. — Οὐ μόνον δὲ θεοὺς ἀν-
θρώποις ἐφιστᾷ προγόνους· ἢ κατά τι ἀγαθότης καὶ ἀρετὴ
ὡς λέγεσθαι ἥρωας, ἀλλὰ καὶ εἰς θεοῦ ἀνάγει ὄνομα· πολλοὶ
γοῦν ἢ τέχνας ἐκφήναντες ἢ τεχνῶν ὄργανα ἐξευρηκότες, ἢ
εὐηργετηκότες, θεῖον ὄνομα ἐκληρώσαντο· καὶ τοῦτ' ἦν τὸ τὴν
Ῥωμαϊκὴν πεῖσαν βουλὴν, θεοὺς ψηφίζεσθαι τοὺς ἐκείνοις εὐα-
ρεστοῦντας ἀνθρώπους. Ε. — Ὅτι τὸ αὐτὸς ἐνταῦθα Ὅμηρος
ἐπὶ νεκροῦ τίθησι· — αὐτοὺς γὰρ λέγει τὰ μετὰ τὴν ψυχὴν
ἐνταῦθα μείναντα τῶν ἡρώων σώματα· αἴτιον δὲ, οὐχ ὅτι κα-
τά τινας θνητὴν οἰόμενος Ὅμηρος τὴν ψυχὴν, τὸ πᾶν τοῦ
ἀνθρώπου ἐν σώματι τίθησιν, ἀλλ' ὅτι φύσει οὕτως ἔχει τὸ
πρᾶγμα· εἰ γάρ τινος ἐν σωρείᾳ νεκρῶν ἐρωτήσαντος, τίς ἂν
εἴη ἐξ αὐτῶν Πάτροκλος, ὑποδείξας τις δακτύλῳ τὸν κείμε-
νον ἐρεῖ, ὅτι αὐτός ἐστι· — ὅτε μέντοι ἐπὶ μόνης κεῖται ψυ-
χῆς, τότε κατ' ἐξοχήν τινα κεῖται τὸ, αὐτός· ὡς κυρίως αὐτοῦ,
τουτέστιν ἀνθρώπου τῆς ψυχῆς οὔσης, δι' ἧς τὸ εἶναι τῷ σώ-
ματι. Ἰστέον γὰρ, ὅτι τὸ αὐτὸς, ποτὲ μὲν ἐπὶ μόνου σώματος,
ποτὲ δὲ ἐπὶ μόνης ψυχῆς, ποτὲ δὲ ἐπὶ τοῦ συναμφοτέρου
ἤτοι τοῦ συνθέτου ἀνθρώπου. Ε. — Ἑλώρια] Ἑλκύσματα, σπα-
ράγματα. Σ. — Τεῦχε] Ἐποίει.

Σ. 5. Οἰωνοῖσι] Τοῖς σαρκοφάγοις ὄρνεσι· λέγει δὲ γυψὶ καὶ
κόραξιν. Σ. — Διὸς κτλ.] Ὅτι ἔφθασε μὲν ὁ Ὅμηρος μεγεθῦναι
τὴν ἑαυτοῦ ποίησιν, διὰ τοῦ ὑποσχέσθαι καὶ μυρία τινὰ
εἰπεῖν, καὶ ἡρωϊκά· ἐνταῦθα δὲ κορωνίδα τινὰ ἐπιτιθεὶς αὐ-
ξήσεως, ἐπάγει, Διὸς δ' ἐτελείετο βουλή· ὡς μὴ ἂν τῆς τοῦ
Ἀχιλλέως μήνιδος τοιαῦτα δυνησομένης, εἰ μὴ θεία τις ἦν

НБ ОНУ імені І.І.Мечникова

βουλή· ἐὰν δὲ τοῦτο ἦν, ἄρα μεγάλα τινὰ γενήσονται καὶ Διὸς βουλῇ πρέποντα. Ἐνταῦθα δὲ καὶ τοῦ Ἀχιλλέως ὑπεραπολογεῖται, οἱονεὶ λέγων, μή δι᾽ ἐκεῖνον, ἀλλὰ διὰ τὸ εἱμαρμένον, ἐξ ἀνάγκης ταῦτα γενέσθαι· βουλὴν γὰρ Διὸς τὴν εἱρμαμένην φασί· (ἴδ. Χαύν. Τόμ. Δ. σελ. 10.) — ὡς δὲ Ζεὺς οὐ μόνον ὁ κατὰ μῦθον πατὴρ ἀνδρῶν τε θεῶν τε, οὐδὲ μόνον ὁ καθ᾽ ἱστορίαν Κρητικὸς βασιλεύς, ἀλλὰ καὶ ὁ κατὰ ἀναγωγὴν ἀὴρ καὶ αἰθὴρ, καὶ ἥλιος καὶ οὐρανὸς καὶ εἱρμαμένη, καὶ ἡ ψυχὴ τοῦ παντὸς, ἡ καὶ πρόνοια, καὶ ὁ νοῦς δὲ ὁ κατὰ ἀνθρώπων, καθωμίληται τοῖς παλαιοῖς. Ε. (ἴδ. στ. 544.)

Σ. 6. Ἐξ οὗ] Οὐχὶ ἄλλοθεν, ἀλλὰ ἐξ οὗ δὴ καιροῦ τὰ πρῶτα διέστησαν Ἀτρείδης τε ἄναξ ἀνδρῶν καὶ δῖος Ἀχιλλεὺς, τουτέστι, μὴ ὥσπερ τὰ Τρωϊκὰ οὕτω καὶ τὴν τοῦ Ἀχιλλέως μῆνιν ἐκ τῶν ἐσχάτων θελήσεις ἀείδειν, ἀλλ᾽ αὐτὴν ἀρχῆθεν κατὰ φύσιν διεξόδευσον, ἀρξαμένη ἐξ αὐτοῦ τοῦ καιροῦ, τῆς τῶν βασιλέων διαστάσεως, καὶ εἰποῦσα καὶ αὐτὸν τὸν τῇ ἔριδι ξυμβαλόντα ἐκείνους, ἤτοι τὸν δαίμονα τὸν τῆς στάσεως αἴτιον· ὃ δὴ καὶ ποιεῖ καὶ ἀρξάμενος ἀπὸ τῆς τοῦ Χρύσου πρεσβείας, παραίνει τὴν ἱστορίαν κατὰ ἀκολουθίαν μέχρι τέλους· τινὲς δὲ οὐ χρονικὸν εἶπον τὸ, ἐξ οὗ δὴ τὰ πρῶτα, πρὸς ὁμοιότητα τοῦ ἀφ᾽ οὗ, καὶ ἐξ ὅτου καὶ ἀφ᾽ ὅτου, καιροῦ δηλαδή· ἀλλὰ αἰτιολογικόν· οἷον, ἐξ οὗ αἰτίου τὰ πρῶτα ἡ ἔρις γέγονεν· οἳ καὶ ἱστῶντες τὴν Ὁμηρικὴν ἐρώτησιν εἰς τὸ διαστήτην ἐρίσαντε, ἐπιφέρουσιν ὡς ἀόριστον ὄνομα τὸ, τίς τ᾽ ἄρ᾽ σφῶε, καὶ ἑξῆς, ὅ ἐστι, ἔκειτο τῶν τίς, ὡς δὴ, θεῶν αὐτοὺς ἐρίσαι ἀνέπεισε, κρεῖσσον μέντοι ἐρωτηματικὸν εἶναι τὸ τίς· ἵνα μετὰ τὸ τοιοῦτον πύσμα ἡ μοῦσα λαλήσῃ. Ε.—Διαστήτην] Διεχωρίσθησαν. Σ. ὅτι περιέργως τινὲς ἐπιβαλόντες Θεοκρίτου Στήτην τὴν γυναῖκα εἰπόντος, γράφουσιν ἐνταῦθα, διὰ στήτην ἐρίσαντο ἵνα λέγῃ ὁ ποιητὴς ὡς διὰ γυναῖκα ἤρισαν· ὁ δὲ τούτοις προσέχων, εἴη ἂν φιλόκαινος. Ε.

Σ. 7. Δῖος] Ὅ ἐστιν, ἔνδοξος, ἐπὶ ἀνθρώπων ὑπερεχόντων λέγεται, καθ᾽ ὁμοιότητα τοῦ Διός· ἐξ οὗ δίϊος, καὶ κράσει δῖος. — Φέρουσι δὲ κατὰ τους παλαιοὺς οἱ δῖοι τὰς ὑπεροχὰς οὕτως· οἷον Ἀχιλλεὺς δῖος, χάριν ἀνδρείας· Ὀδυσσεὺς, χάριν συνέσεως· Ἀλέξανδρος καὶ Κλυτεμνήστρα δῖοι, διὰ κάλλος· Εὔμαιος δι᾽ εὔνοιαν· θάλασσα καὶ χάρυβδις, διὰ μέγεθος·

НБ ОНУ імені І.І. Мечникова

τὸν δὲ Ἀχιλλέα καὶ διογενῆ λέγει, ὥστε πολλοὶ δῖοι, καὶ δι᾽ εὐγένειαν. Ε.

Σ. 8. Ξυνέηκε μάχεσθαι] Ἤτοι συνέβαλε, συνέπλεξε πρὸς ἔριν· ἵνα διαστείλῃ τὴν τοιαύτην συμπλοκὴν τῆς φιλικῆς· — λείπει δὲ τῷ ὥστε ἐν τῷ μάχεσθαι, ἢ καὶ ἄλλως λείπει ἄρθρον, ἵνα λέγει, ἔριδι τῇ τοῦ μάχεσθαι. Ε.

Σ. 9. Λητοῦς καὶ Διὸς υἱός] Πάλιν δὲ τοῦτο, ὡς ἀπὸ τῆς Μούσης. Ζεὺς δὲ ἐρασθεὶς Λητοῦς τοῦ Κοίου θυγατρὸς, ἑνὸς τῶν Τιτάνων, καὶ Φοίβης, ἔγκυον αὐτὴν ἐποίησεν· ἥτις δεκαμηνιαίου χρόνου διαγενομένου, ἠπείγετο διὰ θαλάσσης πρὸς Ἀστερίαν τὴν νῆσον, μίαν οὖσαν τῶν κυκλάδων· ἐκεῖσε δὲ ἐλθοῦσα, δρεψαμένη δύο φυτῶν, διδύμους ἀπεκύησε παῖδας, Ἄρτεμιν καὶ Ἀπόλλωνα, καὶ τὴν νῆσον ἐκάλεσε Δῆλον, ὅτι ἐξ ἀδήλου βάσεως ἐῤῥιζώθη. Σ. (Ἴδ. Χάϋνε εἰς Ἀπολλόδωρον Α 4. 1.) — ἀρητῆρα ἱερέα· παρὰ τὸ ἀρᾶσθαι, ὅ ἐστιν εὔχεσθαι. Σ.

Σ. 11. Τὸν Χρύσην] Διὰ τὴν τάξιν τοῦ ἄρθρου, τὸν ἀρητῆρα χρύσην.

Σ. 12. Θοὰς] Θοαὶ δὲ νῆες, ἡ ταχεῖαι, ἢ, ὥσπερ θοὸν βέλος τὸ ὀξὺ, οὕτω θοαὶ καὶ αὐταὶ, ὡς ὀξεῖαι τὰ περὶ πρῶραν, ἵνα ταχὺ οὕτω πλέοιεν, τέμνουσαι ῥᾷστον τὸ ὕδωρ. Ε.

Σ. 13. Ἄποινα] Δῶρα, λύτρα, ἄφοινά τινα ὄντα, τὰ ἕνεκεν φόνου διδόμενα Σ. Ὅτι ἐπὶ αἰχμαλώτων ἐξωνήσεως οἰκεῖον τὸ λύεσθαι· ὅθεν καὶ λύτρα τὰ δῶρα λέγονται, τὰ εἰς τοῦτο διδόμενα, τὰ δ᾽ αὐτὰ καὶ ἄποινα, ὡς ἄν τις εἴποι ἄφοινα· δι᾽ ὧν τις φόνου λύεται· ὁ μέν τοι μὴ ἐξωνησάμενος, ἀλλὰ τρόπον ἄλλον ἐκ τῶν πολεμίων τινὰ ἐξαγαγὼν, ῥύεσθαι λέγει, οὐ μὴν λύεσθαι, καὶ τὰ ὑπὲρ τούτου διδόμενα οὐ λύτρα, ἀλλὰ σῶστρα, ποτὲ δὲ καὶ ζωάγρια· τὸ γὰρ λύεσθαι καὶ τὸ λύτρον κυρίως ἐπὶ ἐξωνήσεως αἰχμαλώτου, ἢ ζῶντος ἢ καὶ τεθνεῶτος. — Λέγεται δὲ καὶ παθητικῶς, καὶ κατ᾽ ἐνέργειαν, ὡς δῆλον ἐκ τοῦ ποιητοῦ, ποτὲ μὲν λέγοντος, Λυσόμενός τε θύγατρα, ποτὲ δὲ, Παῖδα δέ μοι λύσατε φίλην· καὶ, Τὴν δ᾽ ἐγὼ οὐ λύσω. — Ἀπερείσια] Ἤτοι λαμπρὰ, καὶ, ὡς ὁ Ὅμηρος ἐρεῖ, ἀγλαά· — ἢ καὶ ἄλλως ἀπερείσια, ἤγουν κατὰ μετάθεσιν εἰπεῖν, ἀπειρέσια. — ἰστέον δὲ ὅτι τε τὸ φέρων ἄποινα ἀντὶ τοῦ βαστάζων λέγεται, ὃ, τί διαφέρει τοῦ ἄγειν πολλαχοῦ φανήσεται, καὶ ὅτι ἐπὶ βάρους ἀχθεινοῦ κυρίως τὸ φέρειν· διὸ τὸ

НБ ОНУ імені І.І.Мечникова

στέμμα οὐ φέρει ὁ Χρύσης, ἀλλ᾽ ἐν χερσὶν ἔχει, ὡς ἐλαφρόν· καὶ ὅτι κατ᾽ ἔρωτα τῆς μυθολογουμένης Δάφνης δάφνινον ἦν τὸ στέμμα τὸ τοῦ Ἀπόλλωνος, καὶ ὅτι αὐτῷ ἀνάκειται τὸ τῆς δάφνης φυτόν· — καὶ ὅτι μαντικῆς αὐτό ἐστι σύμβολον. Ε.

Σ. 14. Ἑκηβόλου Ἀπόλλωνος] Τὸ τοῦ Ἀπόλλωνος αἴρει στέμμα, ἵνα ἡ δοκῇ καὶ αὐτὸς ὁ Ἀπόλλων συμπαρεῖναι αὐτῷ ἢ πρέσβυς οὗτος ἥκειν ἐκ τοῦ Ἀπόλλωνος· ὡς ἂν κατὰ τοὺς παλαιοὺς, εἰ μὲν εἴη φιλοχρήματος ὁ Ἀγαμέμνων, δῶρα λαβὼν λύσηται τὴν παῖδα· εἰ δὲ φιλόθεος, αἰδέσηται τὰ τοῦ Ἀπόλλωνος παράσημα. — εἰ τοίνυν ὁ βασιλεὺς οὐ πεισθήσεται, ἀλλὰ καὶ ἀπειλήσεται τῷ γέροντι, καί τι καὶ κατὰ τοῦ στέμματος ἐρεῖ καὶ τοῦ σκήπτρου, πιθανῶς ἂν ὁ Ἀπόλλων θυμωθείη καὶ ποιήσῃ τὰ μυθευόμενα. Ε.—Ἑκηβόλου] Ἕκαθεν, ὅ ἐστι πόῤῥωθεν βάλλοντος, εὐστόχου τοξότου. Σ.

Σ. 15. Σκήπτρῳ] Περὶ τῷ κεχρυσωμένῳ σκήπτρῳ· ὅ ἐστι τῇ χρυσῇ ῥάβδῳ τῇ βασιλικῇ. Σ. — σημεῖον δὲ βασιλείας καὶ λόγων καὶ δίκης, κατὰ τοὺς παλαιοὺς, τὸ σκῆπτρον ἦν. Ἀγαμέμνων τε γὰρ, ὁ εὐρυκρείων, ἵσταται σκῆπτρον ἔχων· καὶ Τηλεμάχῳ (Ὀδ. β, 37.) δημηγοροῦντι δίδωσί τις σκῆπτρον, ὡσαύτως καὶ Ἀχιλλεὺς δημηγορῶν σκῆπτρον ἔχει· ὁ δ᾽ αὐτὸς ἀδικηθεὶς, κατ᾽ αὐτοῦ ὄμνυσιν, ὡς συμβόλου τῆς δίκης (στ. 234)· ἔστι δὲ ὅτε καὶ ἐπὶ βακτηρίας εὐτελοῦς τὸ σκῆπτρον λαμβάνεται, ὡς ἐν Ὀδυσσείᾳ φαίνεται. — Ὅτι ἡ ἀνὰ πρόθεσις ἰσοδυναμοῦσα μὲν τῇ κατὰ, αἰτιατικῇ συντάσσεται παρὰ τῷ ποιητῇ, οἷον, ἀνὰ οὔλαμον ἀνδρῶν (δ, 251.), καὶ νοῦσον ἀνὰ στρατὸν ὦρσε κακήν· (α, 10.) καὶ ἀνὰ στρατὸν ᾤχετο κῆλα θεοῖο (α, 53.)· ἑαυτῆς δὲ οὖσα, καὶ τὴν ἄνω σχέσιν δηλοῦσα, ποτὲ μὲν δοτικῇ συντάσσεται· ὡς τὸ ἐτίθει ἅρματα ἀνὰ βωμοῖς· (θ, 441.) καὶ ἀνὰ γαργάρῳ ἄκρῳ (ο, 152.) — ποτὲ δὲ μετὰ αἰτιατικῆς· ὡς τὸ ἀνὰ τ᾽ ἔντεα καὶ μέλαν αἷμα (κ, 298.)· ἐνταῦθα δὲ, ἐν τῷ, χρυσέῳ ἀνὰ σκήπτρῳ, τὴν ἀνὰ πρόθεσιν οἱ μὲν ἀντὶ τῆς σὺν ἔλαβον, ἵνα λέγῃ, ὅτι σὺν τῷ χρυσῷ σκήπτρῳ· οἱ δὲ ἀντὶ τοῦ ἄνω, ἵνα νοῆται τὸ στέμμα ἐξαρτᾶσθαι τοῦ σκήπτρου. Ε.

Σ. 16. Κοσμήτορε λαῶν] Κοσμήτορας δὲ πολλαχοῦ τοὺς ἡγεμόνας λέγει· ὡς κοσμοῦντας ἤτοι εὐτακτοῦντας τὸν λαόν· κόσμος γὰρ ἡ τάξις· — ἀφ᾽ οὗ καὶ ὁ πάντων περιεκτικὸς κόσμος, ὃν εὐτάκτως ἡ πρόνοια ἔπαξεν· ἀγαθὴ δὲ καὶ ἄλλως εἰς ἔπαινον ᾗ

НБ ОНУ імені І.І. Мечникова

λέξις· ἀπ' αὐτῆς γὰρ κόσμιος ἀνήρ, καὶ πρᾶγμα κατὰ κόσμον πραχθὲν, τὸ εὔκοσμον· οὗ τὸ ἀνάπαλιν ἄκοσμον· καὶ μάψ, ἀτὰρ οὐ κατὰ κόσμον γινόμενον. Ε.

Σ. 17. Ἐϋκνήμιδες] Ὅτι ὥσπερ θώραξ ὅπλον σκέπον τὸν τοῦ ἡμετέρου σώματος θώρακα, οὕτω καὶ κνημὶς τὸ σκέπον τὰς κνήμας τῶν στρατιωτῶν· ἀφ' οὗ εὐκνήμιδες Ἀχαιοὶ, ἀπὸ μέρους, οἱ εὔοπλοι· — ἀρετὴ γὰρ στρατιώτου καὶ ἡ τῶν ὅπλων διευθέτησις. Ε.

Σ. 18. Ὑμῖν μὲν — ἐκπέρσαι κτλ.] Ὅτι ὁ Χρύσης ἢ κολακεύων τοὺς Ἕλληνας εὔχεται κατὰ τῶν ὁμοεθνῶν Τρώων, ἢ καὶ ἐνδιαθέτως, ὡς δι' ἐκείνους ἀποστερηθεὶς τῆς παιδός· εἰ γὰρ μὴ Ἀλέξανδρος ἥρπασεν, οὐκ ἂν ἡ παῖς ἠχμαλώτιστο· διὸ οὐ μόνον ἐκπορθῆσαι αὐτοὺς εὔχεται τὴν τοῦ Πριάμου πόλιν, ἀλλὰ προσεπεύχεται καὶ εὖ οἴκαδε ἱκέσθαι αὐτοὺς, οἷα μαντικῶς εἰδὼς, ὡς κακὰ ἐν τῷ νόστῳ πείσονται· σύντομος δὲ τῷ Χρύσῃ ἡ δημηγορία, μόνων γινομένη τῶν καιρίων· οὐ γὰρ ἐπέτρεπεν αὐτῷ ἡ συστολὴ, πλείω δημηγορεῖν. — ὅτι Ὄλυμπος παρὰ τῷ ποιητῇ ὄρος Μακεδονίας, ἢ καθ' Ἡρόδοτον Θετταλίας ὑψηλότατον (ἴδ. Σνεΐδερ. Φυσικὴ Ἐκλογὴ, σελ. 410.), θεῶν οἰκητήριον κατὰ μύθου ἄδειαν, θελήσαντος, ὡς ἀνθρωποπαθέσιν αὐτοῖς καὶ τόπον τινὰ ἐξαίρετον δοῦναι εἰς ἀνθρωπικωτέραν διαγωγὴν, ὅθεν καὶ Ὀλύμπιοι λέγονται· ἡ δὲ ἀλληγορία, ὅλυμπον τὸν οὐρανὸν λέγει· εἰσὶ δὲ καὶ ἕτεροι ὄλυμποι.

Σ. 19. Πριάμοιο] Ὅτι δὲ ὁ Πρίαμος παρὰ τὸ πρίασθαι λέγεται, ἱστορεῖ καὶ Λυκόφρων. Ὅτε γάρ ποτε ἡ Τροία ἑάλω ὑφ' Ἡρακλέους, πριαμένη αὐτὸν Ἡσιόνη ἡ ἀδελφὴ καλύπτρας γυναικείας, αὐτὴ μὲν ἀπῆλθεν αἰχμάλωτος, ὑπὸ Τελαμῶνι οὖσα, τὸν δὲ ἀδελφὸν ἀφῆκε ζώπυρον γένους ἐκεῖ, ἔχοντα ἐπ' ὀνόματος τὸ τοῦ πρίασθαι ὄνειδος· ἐξ οὗ καὶ μετωνομάσθη Πρίαμος, Ποδάρκης πρώην καλούμενος. Ε.

Σ. 20. Λῦσαι τε] Ἀπίων καὶ Ἡρόδωρος διδόασι καὶ ἀπαρεμφάτως γράφεσθαι· παῖδα δέ μοι λῦσαι τε φίλην, τά δ' ἄποινα δέχεσθαι, λαμβανομένου φασὶν ἀπὸ κοινοῦ τοῦ δοῖεν, ἵνα λέγῃ, ὅτι δοῖεν, θεοὶ τὴν δε παῖδα λῦσαι καὶ τὰ δῶρα λαβεῖν.

Σ. 21. Ἀζόμενοι] Τὸ δὲ ἀζόμενοι καθ' ὑπέρβατόν φασιν· Ἀτρεΐδαι καὶ Ἀχαιοὶ ἀζόμενοι Διὸς υἱόν. — Ἄζεσθαι, τὸ σέβεσθαι. Ε. Ἐντρεπόμενοι, σεβόμενοι. Σ.

Σ. 22. Ἔνθα] Τότε, χρονικὸν ἐπίρρημα· ἐνταῦθα δὲ τοπι-

НБ ОНУ імені І.І.Мечникова

κόν.—Ἐπευφήμησαν] Μετ᾽ εὐφημίας ἐβόησαν Σ.—ὅτι εὐφημεῖν παρὰ τῷ ποιητῇ οὐκ αὐτόχρημα τὸ ἐπαινεῖν, ἀλλὰ τὸ ἐνθεαστικῶς ἀγαθὰ λέγειν· διὸ ἐπάγει τί ἦν τὸ ἐπευφήμησαν· αἰδεῖσθαί τε ἱερέα καὶ ἄποινα δέχεσθαι· εἰ τοίνυν οὐ πεισθείη ὁ βασιλεὺς, ὑπὲρ πάντας ἐθέλει φρονεῖν μόνος· ὅπερ ἐπισφαλὲς, εἴγε εἷς ἀνὴρ, οὐδεὶς ἀνὴρ. Ε.

Σ. 25. Κακῶς] Αὐστηρῶς ἢ σὺν τῷ οἰκείῳ κακῷ. — Ἐπὶ — ἔτελε] Ἐπιτέλλειν φησὶ τὸ προστάσσειν καὶ ἐντέλλεσθαι. Ε. — Κρατερὸν δὲ μῦθον· ἀπηνῆ — ἰσχυρὸν, ἀπειλητικόν. Σ. Κρατερὸν δὲ μῦθον, τὸν μετὰ ἀπειλῆς λέγει λόγον· ἀλλαχοῦ δὲ τὸν αὐτὸν ἀπηνέα τέ φησι κρατερόν τε. Σημείωσαι δὲ, ὅτι μῦθον ἀεὶ ὁ ποιητὴς ἁπλῶς τὸν λόγον φησί· τὸ δὲ ἐπὶ ψευδοῦς λόγου τεθῆναι αὐτὸν, τῶν ὑστέρων ἐστί· παραμένει δὲ καὶ μέχρι νῦν ἡ ὁμηρικὴ χρῆσις ἔντε ταῖς παραμυθίαις καὶ τοῖς παραμυθητικοῖς λόγοις· ὁ μέντοι λόγος, ἦν ὅτε τὴν τῆς παρ᾽ ἡμῖν ψευδομυθίας τάξιν εἶχεν, ὡς ὅτε τὸν Αἴσωπον λογοποιὸν ἀκούομεν ἀντὶ τοῦ μυθογράφον (ἴδ. Κρέουτζ. Ἱστ. Ἑλ. σελ. 176—81.) — παρὰ δὲ τοῖς ὕστερον ὁ μὲν μῦθος εἰς ψευδολογίαν ἔῤῥιπται, ὁ δὲ λόγος ἐπὶ τῆς ὁσημέραι ἀνθρωπίνης ὁμιλίας τίθεται· οὕτω καὶ τὸ εὐφημεῖν ἄλλως νῦν ἤπερ ἐπὶ Ὁμήρου λέγεται, καὶ ἄλλα δὲ μυρία, τῆς ἀρχαίας ἐνήλλακται χρήσεως· πανοῦργος γὰρ, πάλαι μὲν ὁ πανοῦργος, ὡς καὶ παρὰ Σοφοκλεῖ. νῦν δὲ θεία ἐστὶν ἡ λέξις· καὶ ἡ συμφορὰ δὲ μέση οὖσα λέξις, καὶ τιθεμένη ποτὲ καὶ ἐπὶ συμφέροντος, νῦν κακὸν μόνον δηλοῖ· ὁ τύραννος τὸ βασιλικόν ποτε ὄνομα, βλασφημεῖται νῦν· ἐλέγετο ἐξαίσιον καὶ ἔκδικον τὸ ἔξω τοῦ αἰσίου καὶ δικαίου, νῦν δὲ ἀγαθολογοῦνται· χυδαῖοι οἱ πεπληθυσμένοι, νῦν δὲ οἱ οὐδαμινοί· πολλοστὸς, οὐχ ὡς πάλαι, ὁ πολλὺς καὶ ἔνδοξος, ἀλλὰ ὁ τὸ μηδέν· ὠμὸς, οὐχ ὁ στεῤῥὸς καὶ ἀνένδοτος, ἀλλ᾽ ἐπὶ φαυλότητος νῦν· ὁ ἀνόσιος, νῦν μὲν οἴδαμεν τί λέγει, πάλαι δέ ποτε ἐδήλου τὸν ἄταφον· οὕτω καὶ καθωσιωμένος ἀρχῆθεν μὲν ὁ ὅσιος, οἱ δὲ ὕστερον ἄλλως φασί. Ε.

Σ. 28. Μή νύ τοι οὐ χραίσμῃ] Λείπει τὸ δέδοικα, ἢ ὅρα μή σοι οὐ χραισμεύῃ τὰ τοῦ θεοῦ. Ε.

Σ. 29. Πρίν μιν καὶ γῆρας ἔπεισιν] Μᾶλλον γηράσει παρ᾽ ἐμοὶ, ἢ λυθήσεται. — Πρὸ τοῦ αὐτὴν τὸ γῆρας καταλάβῃ. Σ. τουτέστι, οὐδέποτε λύσω αὐτήν. — Καιρὸν ὑποτιθεὶς ὁ βασιλεὺς, ἐν ᾧ ἔσται τὸ ὑπεσχημένον, ἀνάνευσιν τελείαν ποιεῖται

НБ ОНУ І.І.Мечникова

τῆς πράξεως (ἴδ. Χαύνιον ). — Ὅρα δὲ οἷος ἔσται ὁ βασιλεὺς, ἐὰν μετὰ μικρὸν ἐξ ἀνάγκης ψεύσηται, καὶ οὔτε τὰ δῶρα λαβὼν, ἀλλὰ καὶ ἑκατόμβην προςεπιθεὶς, τὴν παιδίσκην ἀποπέμψῃ τῷ πατρί· ἐν δὲ τῷ, καὶ γῆρας ἔπεισι, δοκεῖ ἐκ περισσοῦ κεῖσθαι, καὶ πρὸς οὐδὲν ἀναγκαῖον ὁ καὶ σύνδεσμος· τὸ δὲ ἔπεισιν, ἀντὶ μέλλοντός ἐστι τοῦ, ἐπελεύσεται. — Καὶ ὁ ποιητὴς αἰτιατικῇ συντάσσει τὸ ἔπεισι, λαβὼν αὐτὸ ἀντὶ τοῦ καταλήψεται, οἱ δὲ μετ' Ὅμηρον, δοτικῇ συντάσσουσιν, οἷον, ἔπεισί μοι ποιεῖν τάδε. Ε.

Σ. 30. Ἄργεϊ] Ὅ ἐστι τῇ Πελοποννήσῳ νῦν καλουμένῃ· ὁ δὲ Ἀγαμέμνων βασιλεὺς ἦν Μυκήνης πόλεως ἀργολικῆς. Ἰστέον δὲ, ὅτι ἡ Πελοπόννησος τὸ ἀρχαῖον Αἰγιάλεια ἐκαλεῖτο, ἀπὸ Αἰγιαλέως, τοῦ υἱοῦ Ἰνάχου, τοῦ ἐν Ἄργει ποταμοῦ, καὶ Μελίας τῆς Ὠκεανοῦ· ὕστερον δὲ πάλιν Ἀπία ἐκλήθη, ἀπὸ Ἄπιδος τοῦ Φορωνέως παιδὸς· εἶθ' οὕτως Ἄργος, ἀπὸ Ἄργου τοῦ Πανόπτου· τελευταῖον δὲ πάντων Πελοπόννησος, ἀπὸ τοῦ κρατῆσαι τῆς χώρας τὸν Ταντάλου υἱὸν Πέλοπα Σ. (ἴδ. Χαύν. εἰς Ἀπολλόδωρ. Β, σελ. 96.) Ὅτι Ἄργος ἐνταῦθα, ὡς καὶ ἐν τοῖς ἑξῆς πολλαχοῦ τὴν Πελοπόννησον λέγει. — Οὐ γὰρ τὸ ἰδίως οὕτω λεγόμενον Ἄργος ἡ πόλις, οἶκος ἦν Ἀγαμέμνονος, ἀλλ' αὐτὸ μὲν ὑπὸ τὸν Διομήδην ἦν, ὁ δὲ Ἀγαμέμνων τῶν Μυκηνῶν ἦν βασιλεύς. — Ἱστὸν ἐποιχομένην κ. τ. λ.] Ὅτι ἡ τοῦ βασιλέως πρὸς τὸν Χρύσην δημηγορία μίγμα ἔχει λυπηρῶν τε καὶ ἡδέων· λυπηρὸν μὲν, τὸ μὴ λαβεῖν τὴν θυγατέρα, καὶ τὸ μετὰ ἀπειλῆς ἀποπεμφθῆναι· ἡδὺ δέ πως, ἡ περὶ τῆς παιδὸς ἀγαθὴ ὑπόσχεσις· οὐ γὰρ σιτοποιὸν αὐτὴν ἕξειν φησὶν ὁ βασιλεὺς, οὐδὲ ὑδροφόρον, ἀλλὰ ἱστὸν ἐποιχομένην, ὃ δὴ καὶ Ἑλένη ἐν Τροίᾳ ποιεῖ καὶ Πηνελόπη ἐν Ἰθάκῃ καὶ Καλυψὼ δὲ καὶ Κίρκη· ἔτι δέ φησι, καὶ ἐμὸν λέχος ἀντιόωσαν· ὅπερ ταὐτὸν εἶναι δοκεῖ τῷ, λέχος πορσαίνουσαν ἢ πορσύνουσαν, ὃ ἐν τῇ γάμμα ῥαψῳδίᾳ κεῖται· (στ. 411.) τοῦτο δὲ εἴρηται μὲν σεμνῶς, ἔχει δέ πως μέσως κατὰ τὴν ἔννοιαν, ἵνα ὁ μὲν γέρων ἔχῃ νοεῖν ἀντὶ τοῦ μετέχουσαν καὶ κοινωνοῦσάν μοι κοίτης· ὁ δὲ λοιπὸς ἀκροατὴς, ἀντὶ τοῦ ἀντῶσαν τῷ ἐμῷ λέχει τρόπον θαλαμηπόλου σχολαζούσης παρὰ κοιτῶνα (ἐπιμελομένην τοῦ βασιλικοῦ κοιτῶνος, (σελ. 67 ἐκδ. Ῥώμ.). Ἰστέον δὲ ὅτι Ὅμηρος μὲν οὕτω σεμνῶς ἔφρασε, φειδοῖ τοῦ τε βασιλέως καὶ τῶν ἀκροατῶν. Θεόκριτος δὲ μιμησάμενος ἐν τῷ, αὐτή μοι στορέσει καλὰ δέμνια (Εἰδύλλ.



Наукова бібліотека
ОДЕСЬКОГО НАЦІОНАЛЬНОГО
УНІВЕРСИТЕТУ
імені І. І. МЕЧНИКОВА

ς'. στ. 33.), σαφέστερον μὲν εἶπε, καθεῖλε δὲ τὴν ἡρωϊκὴν ἔμφασιν καὶ σεμνότητα· τοιοῦτον δὲ καὶ παρ' Εὐριπίδου ἐν Ἑλένῃ τὸ λέχος ὑποστρῶσαι (ἵνα μὴ λέκτρ' ὑποστρώσω τινί. στ. 59.). Σημειῶσαι δὲ ὅτι ἐνταῦθα μὲν τὸ ἀντιόωσαν αἰτιατικῇ συνέταξεν· ἐν μέν τοι τῷ, ἀντιόων ταύρων καὶ αἰγῶν ἑκατόμβης (Ὀδυσ. Α, 25.) γενικῇ τὸ ἀντιόων συντέτακται· διότι καὶ ἄλλο ἐκεῖνο τὸ ἀντιᾶν· τοῦτο μὲν γὰρ, ἐπὶ ἁπλῶς ἐγγύτητος, ἐκεῖνο δὲ ἐπὶ γευστικῆς ἀπολαύσεως. Ε. Καὶ τῆς ἐμῆς κοίτης ἀντιλαμβανομένην καὶ μετέχουσαν Σ. — Τὸ δὲ, Ἱστὸν ἐποιχομένην, περιφραστικῶς ἀντὶ τοῦ ὑφαίνουσαν· ἑστῶσαι γὰρ καὶ ἐπιπορευόμεναι ὕφαινον, αἱ ποιούμεναι τὴν ἱστουργίαν, διὰ τὴν τῶν ὑφαινομένων, ὡς εἰκὸς, πλατύτητα· (ἴδ. Σχολ. Πινδ. Πύθ. Θ'. 33.) πρώτη δέ τις Αἰγυπτία γυνὴ καθεζομένη ὕφανεν, ἀφ' ἧς καὶ Αἰγύπτιοι Ἀθηνᾶς ἄγαλμα καθημένης ἱδρύσαντο· καὶ ἄλλως δὲ ἱστὸν ἐποιχομένην ἀντὶ τοῦ ἐπιστατοῦσαν ταῖς ὑφαινούσαις καὶ περιϊοῦσαν καὶ ἐπισκεπτομένην αὐτάς τε καὶ ὅσα ἔργα χρήσιμα ταῖς ἱστουργούσαις. Ε. Ἱστουργοῦσαν καὶ ὑφαίνουσαν. Σ.

Σ. 32. Ἀλλ' ἴθι] Τὸ ἴθι λείπεται προθέσεως, δηλοῖ γὰρ τὸ ἄπιθι. — Σαώτερος ὥς κε νέηαι] Ἤγουν ὅπως ἀνακρωτηρίαστος ἀπονοστήσῃς· ὃ μεγάλην ἀπειλὴν ἔχει κατὰ τοῦ γέροντος Χρύσου, εἰ καὶ εὐφήμως ἐσχημάτισται· παραλαλεῖ γὰρ ὡς ἀκρωτηριασθήσεται, εἰ μὴ ταχὺ μνήσεται νόστου. — Νέηαι] Ἤγουν ἀπέλθῃς. Ε.

Σ. 33. Ἔδδεισεν δ' ὁ γέρων] Οὐ μάτην ἐνταῦθα προσέθηκε τὸ, γέρων· ἀλλ' ἢ φιλοσοφῶν ἑτοίμους φυσικῶς εἰς δέος τοὺς γέροντας εἶναι· τὸ γὰρ θαῤῥεῖν αὐτοὺς ἐπιλέλοιπεν· ἢ καὶ οἰκτιζόμενος τὸν Χρύσην, ὡς παθόντα οὐκ ἄξια τῆς πολιᾶς, καὶ οὐ δεόντως ἀπ' ἐλπίδος γενόμενον. Ε.

Σ. 34. Ἀκέων] Ἡσυχάζων, σιωπῶν. Σ. — Πολυφλοίσβοιο θαλάσσης] Πολυήχου, πολυταράχου. Σ. — Ὅτι φλοῖσβος κατὰ ὀνοματοποιΐαν, ἦχος ὕδατος θαλασσίου ἐν τῇ ἐκκυμάνσει γινόμενος πρὸς τοῖς αἰγιαλοῖς παλινοστοῦντος· διὸ καὶ πολύφλοισβος λέγεται θάλασσα· ἔστι δὲ ὅτε καὶ ἁπλῶς ἐπὶ θορύβου κεῖται· οἷον, ἐπὶ πολεμικοῦ. Ε.

Σ. 36. Ἀπόλλωνι] Ἀπόλλων παρὰ τοῖς παλαιοῖς οὐκ εὐφήμως μὲν, ὅμως δὲ φοβερώτερον ὁ ἥλιος, εἰς ὃν ἀναφέρεται τὰ λοιμώδη νοσήματα. Ὥσπερ γὰρ Ποσειδῶν, τῇ μὲν σεισίχ-

НБ ОНУ імені І.І. Мечникова

θων, τὸ φοβερὸν, πῇ δὲ ἀσφάλιος, τὸ εὔφημον, οὕτω καὶ ἥλιος, πῇ μὲν Ἀπόλλων, πῇ δὲ ἀλεξίκακος· εὐκράτως μὲν γὰρ ἔχουσαι διὰ τοῦ ἡλίου αἱ ὧραι, ὑγείας εἰσὶν αἴτιαι, δυςκράτως δὲ διακείμεναι, ἀπόλλυσιν. — Οὐκ ἔστι δὲ ὁ Ἀπόλλων μετοχικόν· ἐκλίνετο γὰρ ἂν, ἀπόλλοντος, ὡς λέοντος, ἀλλὰ μάλιστα ῥηματικὸν, ὡς τὸ ἀγάλλωνος, καὶ εἴ τι τοιοῦτον· φυλάσσει δὲ τὸ ω ἐν τῇ γενικῇ, ὡς καὶ πάντα τὰ εἰς λων ὀνόματα λήγοντα. Ε.

Σ. 37. Ἀργυρότοξε] Τουτέστιν, λαμπρότοξε· οὐ γάρ ἐστι πλάσαι τόξον ὅλον ἀργύρεον. — Ὅτι ἀμφιβαίνειν παρὰ τῷ ποιητῇ ὡς ἐπιπολὺ τὸ σκοπεῖν καὶ περιέπειν. — Καὶ Ἀπόλλων οὖν ἀμφιβεβηκέναι λέγεται τὴν Χρύσην πόλιν καὶ τὴν Κίλλαν, οἷα σκέπων καὶ βαίνων ἀμφὶ αὐτάς· τάχα γὰρ ἄσυλον διέμεινε τό τε Κιλλαῖον ἱερὸν τοῦ Ἀπόλλωνος καὶ τὸ ἐν τῇ Χρύσῃ· διὸ καὶ περιουσιαζόμενος δῶρα εἶχε διδόναι ὁ Χρύσης, εἰς λύτρα τῆς θυγατρὸς, καὶ οὐχ ἁπλῶς, ἀλλὰ καὶ ἀπερείσια καὶ οἷα μὴ πρὸς αὐτοῦ τοῦ γέροντος φέρεσθαι, ἀλλὰ παρ' ἑτέρων βαστάζεσθαι, ὡς εἰκὸς, εἰ καὶ Ὅμηρος αὐτὸ σιωπᾷ, καθὰ καὶ τὸ κατ' εἶδος τῶν δώρων Ε. Περιβέβηκας, ὑπερμαχεῖς. — Χρύσα, πόλις Τρωϊκή. Σ. Ἡ Χρύση πόλις ἦν Ἀτραμυττηνὴ, πλησίον Θήβης, τῆς μετὰ ταῦτα ῥηθησομένης· οὐκ ἔστι δὲ ἄρτι αὐτὴ, πάλαι ἀφανισθεῖσα, — παραλία δὲ ἦν. Ε. — (ἴδ. Στράβ. ΙΓ'. σελ. 398.)

Σ. 38. Κίλλαν] Ἡ δὲ Κίλλα, πολίχνιον μὲν ἦν τρωϊκὸν, κείμενον περί που τὴν Ἀτραμυττηνὴν χώραν· ἠφάνισται δέ· τὸ δὲ ὄνομα ἔσχεν ἀπό τινος ἡνιοχοῦντος τῷ Πέλοπι, ὃς Κίλλας μὲν ἐκαλεῖτο· αὐτόθι δὲ τεθνεὼς καὶ ταφεὶς, ἐτιμήθη πρὸς τοῦ Πέλοπος κτίσματι πόλεως, ἥτις δι' ἐκεῖνον Κίλλα ἐκλήθη, καὶ ἀπ' αὐτοῦ Κιλλαῖος Ἀπόλλων αὐτόθι καὶ ποταμός. — Ἀφ' οὗ καὶ Κίλικές φησιν, οἱ τὸ Θήβης πεδίον οἰκοῦντες· οὐ γὰρ Θηβαίους αὐτοὺς Ὅμηρος, ἀλλὰ Κίλικάς φησιν, ἑτερωνύμως δηλαδή. Ε. — Τενέδοιό τε] Ἔστι δὲ ἡ μὲν Τένεδος νῆσος Αἰολικὴ, ποτὲ μὲν λεύκοφρυς καλουμένη, διὰ τὸ λευκὰς ἔχειν ὀφρῦς, ἤγουν ἐξοχὰς παρὰ τοὺς αἰγιαλούς· διὰ δὲ τὸν τρωϊκὸν Τένην, οὗπερ ἕδος, ἤτοι κατοικητήριον γέγονε, μετακληθεῖσα Τένεδος. Ε. Ἡ Τένεδος νῆσός ἐστι πρὸ τῆς Τροίας κειμένη, οὔπω δὲ πρότερον τοῦτο εἶχε τὸ ὄνομα. Κύκνου γὰρ τοῦ Ποσειδῶνος Τέννης ἦν καὶ Λευκοθέα παῖδες, καὶ ἡ μὲν μήτηρ αὐτῶν οὐκ ἔτι ἦν·



НБ ОНУ імені І.І.Мечникова

ἐπέγημε δὲ ὁ Κύκνος Φυλονόμην, ἢ ὥς ἔνιοι, Πολύβοιαν· Ἡ Φυλονόμη δὲ (καὶ γὰρ εἰς ἄνδρας ἐτέλει ἤδη ὁ Τέννης) ἐρασθεῖσα αὐτοῦ, λόγους περὶ συνουσίας ἠνέγκατο πρὸς αὐτόν· τοῦ δὲ τὰ πρὸς τὴν φύσιν δίκαια τηρήσαντος, κατηγορήσατο πρὸς τὸν πατέρα αὐτοῦ, ὅτι τεθελήκει αὐτὴν βιάσασθαι· ὁ δὲ πιστεύσας τῇ κατηγορίᾳ συλλαβὼν τὸν παῖδα ἐνέλαβεν εἰς λάρνακα, καὶ ἔῤῥιψεν εἰς τὴν ὑποκειμένην θάλασσαν· ὃν διὰ σωφροσύνην, καὶ διὰ τὸ εἶναι υἱωνὸν, ἔσωσεν ὁ Ποσειδῶν· τὴν γὰρ λάρνακα προςενεχθῆναι τῇ Λυκόφρῃ (Λευκόφρῃ, Λυκόφρων στ. 346.) νήσῳ ἐποίησεν, ἣν οἱ ἐπιχώριοι θεασάμενοι, καὶ ἀφελόντες τὸ ἐπίθεμα, μαθόντες τὸ γεγονὸς, οὐ μόνον ἑαυτῶν βασιλέα τὸν Τέννην κατεστήσαντο, ἀλλὰ καὶ ἀπ' αὐτοῦ Τένεδον τὴν νῆσον προςηγόρευσαν. Σ.

Σ. 39. Σμινθεῦ] Ὅτι Σμινθεὺς, Ἀπόλλωνος ἐπίθετον· καὶ οἱ μὲν φασιν, ἀπὸ Σμίνθης πόλεως περὶ Τροίαν· ἥσπερ ὁ πολίτης καὶ Σμινθαῖος λέγεται καὶ Σμινθεὺς, ὡς εἶναι οὕτω Σμινθέα, τὸν ἐν τῇ πόλει Σμίνθῃ τιμώμενον· οἱ δὲ ἀπὸ τῶν σμίνθων, ὃ δηλοῖ τοὺς μῦας, αὐτὸν οὕτω καλεῖσθαί φασι· δοκεῖ γάρ ποτε ἀναιρέτης γενέσθαι σμίνθων, βλαπτόντων τοὺς ἐκεῖ· ὡς διὰ τοῦτο ναόν τε αὐτοῦ ἱδρυθῆναι καὶ αὐτὸν Σμινθέα κληθῆναι, διὰ τοὺς ἀποσβηθέντας μῦας, οὓς οἱ ἐγχώριοι σμίνθους ἐκάλουν· φησὶ γὰρ ἡ ἱστορία, ὅτι ἐν τῇ Χρύσῃ Σμινθέως ἐστὶν ἱερὸν, καὶ μῦς ὑπόκειται τῷ ποδὶ τοῦ ξοάνου· Σκόπα ἔργον τοῦ Παρίου (ἴδ. Στράβ. ΙΓ'. τελ. 364.)· τὸ σύμβολον τὸ τὴν ἐτυμότητα σῶζον τοῦ ὀνόματος, ἤγουν ἐν ᾧ κεῖται ἡ τοῦ Σμινθέως ἐτυμολογία. — Διὸ καὶ Σμινθέως ταὐτὸν δ' εἰπεῖν μυοκτόνου Ἀπόλλωνος ἱδρύσατο ἱερόν. — Ὅτι δὲ καὶ μικρῶν τινων ἕνεκεν μεγάλας ἤθελον χάριτας ὀφλεῖν οἱ παλαιοὶ τοῖς ἐκδικηταῖς, καὶ ὅτι ἐξ αὐτῶν ἐκείνους παρωνόμαζον, δηλοῦσιν αἱ ἱστορίαι· οἱ γὰρ περὶ Τραχῖνα Οἰταῖοι, κορνοπίωνα λέγονται τιμᾷν Ἡρακλέα, χάριν ἀκρίδων ἀπαλλαγῆς, ἤτοι παρνόπων, οὓς ἐκεῖνοι κόρνοπας λέγουσιν. Ἐρυθραῖοι δὲ Ἡρακλῆν ἱπποκτόνον σεβάζονται, ὡς φθείροντα τοὺς ἀμπελοφάγους Ἶπας· Ῥόδιοι δὲ Ἀπόλλωνα ἐρυθίβιον, τὴν ἐρυσίβην ἐρυθίβην καλοῦντες. Ε. Ἄλλοι δὲ οὕτως εἶπον, ὅτι Κρῆτες, ἀποικίαν στέλλοντες, χρησμὸν ἔλαβον παρὰ τοῦ Ἀπόλλωνος, ὅπου αὐτοῖς ἐναντιωθῶσι γηγενεῖς, ἐκεῖ κτίσαι τὴν πόλιν· οἱ δὲ ἀπέστειλαν τοὺς ἀποίκους· ἐλθόντων δὲ εἰς τὸν Ἑλλήσποντον καὶ νυκτὸς

НБ ОНУ імені І.І. Мечникова

ἐπιγενομένης, μύες ἔκοψαν αὐτῶν τοὺς τελαμῶνας τῶν ὅπλων· πρωῒ δὲ ἀναστάντες, καὶ θεασάμενοι τοῦτο, σοφισάμενοί τε καθ' ἑαυτοὺς, ἔκτισαν ἐκεῖ πόλιν, ἥντινα καὶ ἐκάλουν Σμινθίαν· οἱ γὰρ Κρῆτες τοὺς μύας, σμίνθους καλοῦσιν· ἐκ τούτου καὶ Ἀπόλλων Σμίνθιος ἐκλήθη, διὰ τὸ ὑπερασπίζειν αὐτῆς. Σ. — Ἔρεψα] Τὸ ἔρεψα σημαίνει μὲν τὸ, ὠρόφωσα (ἰδ. Πλάτ. Πολιτ. σελ. 447. 48. ἐκδ. Ἀστίου.). — Πίονα μηρί' ἔκηα] Πίονα δὲ μηρία καίειν, λέγει τῷ Ἀπόλλωνι, διότι αὐτὰ ὡλοκαυτοῦντο μόνα ἐν ταῖς θυσίαις· τῶν δὲ λοιπῶν τοῦ ζώου μελῶν ἐξῆν μετέχειν τοῖς θύουσιν. — Πίονα δὲ τὰ μηρία, ἢ διὰ τὸ εὔλιπῆ ζῶα θύεσθαι, ἢ διὰ τὸ λίπος τῆς κνίσσης, ὑφ' ἧς ἐκαλύπτοντο οἱ μηροί. Ε.

Σ. 42. Τίσειαν] Τιμωρίαν δοῖεν, ὅ ἐστι παράσχοιεν. Σ. — Ἤγουν τιμωρηθεῖεν τοῖς σοῖς βέλεσι διὰ τὰ ἐμὰ δάκρυα καὶ ἀντιπτωτικῶς δὲ εἰπεῖν, ἀντὶ τῶν ἐμῶν δακρύων· καὶ ὅρα ὅτι καὶ ἐδάκρυσεν ἀποπεμφθεὶς ὁ γέρων, εἰ καὶ Ὅμηρος οὐκ ἐπισημήνατο αὐτὸ ἀνωτέρω· σημείωσαι, ὅτι πολλὰ τοιαῦτα εὑρήσεις παρὰ τῷ ποιητῇ τὰ λεγόμενα κατὰ τὸ σιωπώμενον. — Ἐπειγόμενος γὰρ εἰς τὰ ἀναγκαῖα, σιγᾷ τὰ μὴ πάνυ τοιαῦτα, καὶ ἀφίησι τῷ ἀκροατῇ ἐπινοεῖν αὐτά. Ε. — Δαναοί] Οἱ Ἕλληνες, ἀπὸ Δαναοῦ τοῦ Βήλου· Βῆλος δὲ Ἀγήνορος μὲν ἦν ἀδελφὸς, υἱὸς δὲ Ποσειδῶνος, καὶ Λιβύης, ἀφ' ἧς ἡ χώρα ὠνομάσθη Λιβύη· βασιλεύων δὲ Αἰγυπτίων, γαμεῖ Ἀγχινόην τὴν Νείλου θυγατέρα· καὶ γίγνονται παῖδες αὐτῷ δίδυμοι, Αἴγυπτος καὶ Δαναός. Δαναὸν μὲν οὖν ὁ Βῆλος ἐν Λιβύῃ κατοικίζει, Αἴγυπτον δὲ ἐν Ἀῤῥαβίᾳ, ὃς καταστρεψάμενος τὴν Μελαμπόδων χώραν, ἀφ' ἑαυτοῦ ὠνόμασεν Αἴγυπτον· γίγνονται δὲ ἐκ πολλῶν γυναικῶν Αἰγύπτῳ μὲν πεντήκοντα παῖδες, Δαναῷ δὲ θυγατέρες πεντήκοντα· στασιασάντων δὲ πρὸς ἀλλήλους περὶ τῆς ἀρχῆς, ὕστερον Δαναὸς τοὺς τοῦ Αἰγύπτου παῖδας, πλὴν ἑνὸς ἢ δυεῖν, διὰ τῶν θυγατέρων ἀνεῖλε· δεδοικὼς, καθότι καὶ ἐκ χρησμοῦ ἠκηκόει, ὅτι φονευθήσεται ὑπὸ ἑνὸς αὐτῶν· καὶ ὑποθεμένης Ἀθηνᾶς αὐτῷ, ναῦν πρῶτος κατεσκεύασε τὴν κληθεῖσαν, ὡς ἀπὸ τοῦ ἀριθμοῦ τῶν θυγατέρων αὐτοῦ, Πεντηκόντορον, ἐν ᾗ τὰς κόρας ἐνθέμενος ἔφυγε· προσχὼν δὲ Ῥόδῳ, τὸ τῆς Λινδίας Ἀθηνᾶς ἄγαλμα ἱδρύσατο· ἐντεῦθεν ἧκεν εἰς Ἄργος, καὶ τὴν βασιλείαν αὐτῷ παραδίδωσιν Γελάνωρ, ὁ τότε βασιλεύων. Αὐτὸς δὲ κρατήσας τῆς χώρας, ἀφ' ἑαυτοῦ τοὺς ἐνοικοῦντας Δα-

ναοὺς ὠνόμασεν· ἱστορεῖ Ἀπολλόδωρος. (Ἴδ. Χαΐνιον Ε. 111 εἰς Ἀπολλόδ. Β. 1. 4. σελ. 116.) Διατί δὲ ὁ Χρύσης οὐ κατὰ Ἀγαμέμνονος ηὔχετο τοῦ ὑβρίσαντος αὐτὸν, ἀλλὰ κατὰ πάντων τῶν Ἑλλήνων; φαμὲν δὴ, ὅτι Ἀγαμέμνονος ἀποθανόντος ὁ στρατὸς ἐλύετο, καὶ Χρυσηῒς εἰς Ἑλλάδα ἀπήγετο· ἀναιρουμένων δὲ τῶν ὄχλων, ζήτησις ἦν τοῦ πάθους, ἀπόδοσις δὲ τῆς κόρης· καὶ ἀποθανὼν μὲν Ἀγαμέμνων, ἄλυπος ἦν· ζῶν δὲ βασανίζεται, βλέπων, ἅτε βασιλεὺς, ἀπολλυμένους τοὺς ὄχλους· ἢ ὅτι πᾶσιν ἠράσατο, ἀνθ' ὧν πάντες ὁμοῦ γενόμενοι, οὐκ ἐπέσχον τὴν τοῦ βασιλέως ὕβριν· δικαίως οὖν αὐτοὶ ἔπαθον· καὶ γὰρ Ἡσίοδος φησί· Πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα. [ἔργ. 238.] Σ.

Σ. 43. Φοῖβος Ἀπόλλων] Ὅτι Φοῖβος Ἀπόλλων ἢ ὡς οἷον φαόβιος, ἐπεὶ καὶ ἀργυρότοξος, ἢ καὶ παρωνύμως ἀπὸ τῆς μάμμης Φοίβης· ἢ καὶ παρὰ τὴν φοίβην, τὴν τρίχα ὡς ἀκειρεκόμης· ἐξ αὐτοῦ δὲ ἐῤῥέθη τραγικῶς κατ' ἀλληγορίαν τὸ, Ἡλίου φοίβη φλογί. Ὅτι τοὺς ποιητικοὺς δαίμονας καὶ θεοὺς, τὰ μὲν ἄλλα σεμνύνει ποίησις, αἰὲν ἐόντας ἀποκαλοῦσα, καὶ ἀειγενέτας, καὶ ἀφθίτους, καὶ ἀθανάτους, καὶ πάντα δυναμένους δίχα τοῦ τὴν εἱμαρμένην ἀναλύειν· καὶ μηδὲ ὁρωμένους, εἰ μὴ ἄρα ἐν μεταμορφώσει διὰ ἐνάργειαν τὰ δ' ἄλλα, σωματώδεις αὐτοὺς πλάττει καὶ ἀνθρωποπαθεῖς, εἶγε καὶ τιτρώσκονται, ὡς Ἀφροδίτη, καὶ Ἄρης, καὶ Ἅδης, καὶ κεραυνῷ βληθέντες, οὐδὲ εἰς δεκάτους ἐνιαυτοὺς τὰ ἕλκη θεραπεύονται· βάλλονται δὲ καὶ ὑπὸ Ἔρωτος Ἀθηνᾶς δίχα καὶ Ἀρτέμιδος· αὗται [ἴσως αὗται] γὰρ παρθένοι πλάττονται· καὶ δέος πάσχουσιν, ὡς οἱ δείσαντες ὑπὸ τῷ Βριάρεῳ· [ἴσως ὑπὸ τοῦ Βριάρεω] καὶ τρόμον ἐπὶ τῷ δέει, ὡς ἡ Ἀφροδίτη· καὶ φθονοῦσιν, ὡς ἡ Καλυψὼ αὐτοὺς αἰτιωμένη λέγει· [Ὀδ. Ε, 118.] καὶ ἐσθίουσι καὶ πίνουσι, καὶ ὑπνοῦσι, καὶ ὅλως, πάντα πάσχουσιν, ὥσπερ ἄνθρωποι. —Οὕτω γοῦν καὶ ἐνταῦθα ὁ Ἀπόλλων ἥλιος ὑπακούει τῷ ἱερεῖ καὶ ἀναλαμβάνει θυμόν. — Τὸ κατὰ τύχην φυσικῶς γενόμενον εἰς ἠθικὴν αἰτίαν ἀνάγει παιδευτικῶς ὁ ποιητής· συνέβη μὲν γὰρ λοιμὸς κατὰ φύσιν, Ὅμηρος δὲ κατά τι θεῖον αὐτὸν γενέσθαι φησὶν, ἵνα ὁ Ἀγαμέμνων δίκας δώσῃ, ἐφ' οἷς τὸν Ἀπόλλωνα περιφρονήσας, τὸν Χρύσην ἠτίμησε· καθόλου γὰρ ὁ ποιητὴς οὐδεμίαν εὔλογον εὐχὴν ἄπρακτον πίπτειν ἱστορεῖ· ἀλλ' ἐάν τις δίκαια δέηται παρ' αὐτῷ, ἢ ἐχθροὶ πίπτουσιν ἢ σύμβολα δίδονται, ἃ

НБ ОНУ імені І.І.Мечникова

φίλοι ἐπανήκουσιν, ἢ ἔργα εὐοδοῦνται, ἢ ἁπλῶς ἀγαθὰ ἕτερα γίνονται, οὕτω παιδευτικὸς καὶ βιωφελὴς ὁ ποιητὴς καὶ ἐν μύθοις καὶ πλάσμασιν. Ἰστέον δὲ καὶ ὅτι οὐ πάντας οἱ παλαιοὶ τοὺς παρ' αὐτοῖς θεοὺς ἀνθρωποπαθεῖς ἐνόμιζον, ἀλλά φασιν ὡς τοῦ δαιμονίου φύλου τὸ μὲν ἐμπαθὲς οἶδεν ἡ ποίησις, ὡς προείρηται, τὸ δὲ οὐ τοιοῦτον, ὡς ὅτε λέγει, θεοὶ ῥεῖα ζώοντες, (Ἰλιάδ. ζ, 138.), τουτέστι μετὰ ῥαστώνης καὶ ἀπαθείας. Ε.

Σ. 44. Κατ' Οὐλύμποιο] Ὅτι τὸ εἰπεῖν Οὐλύμπια κάρηνα, οἰκειότερον ἐπὶ ὄρους νοεῖν, ἤπερ ἐπὶ τοῦ οὐρανοῦ· Ὄλυμπος μὲν γὰρ τὸ ὄρος ἔχει κάρηνα ἤτοι ἐξοχάς. — Ὅλως γὰρ ὁ Ὅμηρος περὶ Ὀλύμπου, ὡς μὲν ὄρους λέγειν ἔργον ἔχει, καθὰ ποιητής· ὡς δὲ περὶ οὐρανοῦ ἀλληγορικῶς, πάρεργον (ἴδ. στ. 18.). Τὸ δὲ κάρηνα ἐκ μεταφορᾶς εἴληπται τῆς τῶν ζώων κεφαλῆς· οὕτω δὲ καὶ ἀπὸ ἄλλων μερῶν τοῦ σώματος ἄλλα κατὰ μεταφορὰν μέρη τοῦ ὄρους λέγεται· οἷον ὀφρύες ὄρους καὶ πόδες καὶ ἄλλα δι' ἄλλα. Ε.

Σ. 45. Ἀμφηρεφέα τε φαρέτρην] Ὅτι ἐοίκασιν οὐ μικραὶ τοῖς παλαιοῖς αἱ φαρέτραι εἶναι, οὐδὲ τοὺς ὀϊστοὺς ἔξω προκύπτοντας ἔχειν, ἀλλὰ ὅλους αὐτοὺς ἔσω στέγειν· καὶ δῆλον ἐκ τοῦ, ἀμφιρεφέα φαρέτραν εἰπεῖν τὴν κύκλῳ ἐρεφομένην· ἔνθα ὅρα οὐ μόνον ὡς τὸ ἐρέφειν ἐπὶ φαρέτρας τέθεικε, μετενεγκὼν ἀπὸ τῆς τῶν οἰκοδομημάτων στέγης, ἐφ' ὧν κυρίως τὸ ἐρέφειν καὶ ὄροφος λέγεται, ἀλλὰ καὶ ὅτι οὐκ εἴθισται τὸ ἀμφηρεφὲς ἐπὶ οἴκου λέγεσθαι, εἰ καὶ ἀπὸ τοῦ ἐρέφειν γίνεται, ἀλλ' ἀποκεκλήρωται ἡ λέξις μόνῃ τῇ θήκῃ τῶν ὀϊστῶν. Ε. Ἀμφηρεφέα· τὴν ἑκατέρωθεν ἐσκεπασμένην φαρέτραν ἤγουν βελοθήκην. Σ.

Σ. 46. Ἔκλαγξαν δ' ἄρ' ὀϊστοί] Ὀνοματοποιΐα ἐστὶ καὶ ποιότης ἤχου, ὃν ἐν συντόνῳ κινήσει ἀποτελοῦσιν ἔσω τῆς φαρέτρας οἱ ὀϊστοί. — Καιρία δὲ λέξις τὸ ἔκλαγξαν· διὸ καὶ ἐπιμένει αὐτῇ ὁ ποιητής· λειότερον δὲ ἡ κλαγγὴ τῆς κραυγῆς. Ε.

Σ. 47. Ἤϊε κ. τ. λ.] Παρεγένετο σκότει παραπλήσιος, φοβερὸς καὶ ἀόρατος. Σ. — Ὅτι τὸ, ὃ δ' ἤϊε νυκτὶ ἐοικώς, ἡ μὲν ἀλληγορία ἐπὶ Ἀπόλλωνος ἤγουν ἡλίου λέγει, ὡς ἐν τῷ καιρῷ τοῦ λοιμοῦ μὴ καθαρῶς ἀκτινοβολοῦντος — ἀλλὰ διὰ τὴν παχύτητα τοῦ ἀέρος, ἀμυδρὰν καὶ ἀμαυρὰν καὶ ζοφώδη κατάστασιν ἔχοντος· ὅτι γὰρ λοιμώδης νόσος ἦν ἡ τοῦ Ἀπόλλωνος τοξεία κατὰ τῶν Ἀχαιῶν, καὶ ὅτι τοῦ τοιούτου κακοῦ αὐτὸς αἴτιος, πάντες οἱ παλαιοί φασι· καὶ οὕτω μὲν ἡ ἀλληγορία· ἡ δὲ ῥητορικὴ ἐπιβολὴ νυκτὶ

НБ ОНУ імені І.І. Мечникова

ἐοικέναι λέγει τὸν βλοσυρὸν καὶ ἄγριον τὴν ἰδέαν.—Διὰ τοῦτο καὶ τὸν Ἕκτορά που νυκτὶ ἐοικέναι, τὰ ὑπώπια λέγει διὰ τὸ δεινὸν καὶ δυσαντίβλεπτον [Ιλ. μ', 462.] Ε.

Σ. 48. Ἕζετ' ἔπειτ' ἀπάνευθε] Κατὰ τὴν πιθανότητα τοῦ μυθικοῦ πλάσματος ἔργον τοξότου δηλοῖ, ὡς μὴ δυναμένου τὸ οἰκεῖον ἔργον ἀνύειν, εἰ μὴ ἀπάνευθε γενόμενος, ἀφήσει βέλη· οὐ γὰρ ἀγχέμαχος ὁ τοξότης, ἀλλὰ διαστήματος μακροτέρου δέεται τοπικοῦ. Ε. ἐφεδρείαν δηλοῖ τὸ ἕζετο καὶ ἀναμονὴν ἐπιστροφῆς.

Σ. 50. Οὐρῆας μὲν πρῶτον] Ὁ δὴ λοιμὸς πρῶτα μὲν πάσης νομαδιαίας ἐκεῖ ἀγέλης ἥψατο. — Πλέον δὲ τοὺς ὀρέας ἔβλαψεν, οἳ καὶ αὐτοὶ κάτω κεκυφότες ἀδιαφορήτου σήψεως μετέχοντες, καὶ μὴν καὶ ὀσφρύσεως εὖ ἔχοντες, καὶ δι' αὐτὸ ῥᾷον φθειρόμενοι· φασὶ γὰρ τὰς ἡμιόνους ἀπολειφθείσας τινῶν, ἀνευρίσκειν δι' ὀσφρήσεως τὴν ὁδόν· ὅθεν καὶ αὐταὶ μὲν ῥᾷον ὑπὸ τοῦ λοιμοῦ ἔπασχον. Μάλιστα δὲ οἱ καθαροῦ ἀέρος δεόμενοι κύνες, ᾔσθοντο τοῦ κακοῦ διὰ τὴν ὀξύτητα καὶ αὐτοὶ τῆς ὀσφρήσεως, ὀξὺ μετειληφότες τῆς κακώσεως, καὶ μάλιστα ἐὰν καὶ ἀργοὶ ἦσαν, ὅ ἐστι λευκοί· ὡς τῶν λευκῶν φασι, σωμάτων διὰ τὸ ἀραιότερον, εὐπαθεστέρων ὄντων, εἴπερ τὰ μέλανα. — Οἱ μὲν ἀργοὺς φασι· κατ' ἀντίφρασιν, τοὺς ταχεῖς θέειν· ἕτεροι δὲ τοὺς ἀληθῶς ἀργούς, ὁποίους τραπεζῆαι, ἀγλαΐης ἕνεκεν, κομέουσιν ἄνακτες· ἄλλοι δὲ τοὺς λευκοὺς ἢ ὡς εἰπεῖν, ἀργεννούς. Ε.

Σ. 51. Βέλος ἐχεπευκές] Ἐχεπευκὲς δὲ, τὸ οἷον ἔχον τι πεύκης, πικρίαν δηλαδή· καὶ γὰρ πικρὸν καὶ τῆς πεύκης τὸ δάκρυον. — Τινὲς δὲ ἐχεπευκὲς εἶπον τὸ θανάσιμον, καὶ ἐκτέμνον τοῦ βίου τὸν βληθέντα, δίκην πεύκης, ἥτις ἐκτμηθεῖσα οὐκέτι ἀναβλαστάνει (Ἰδ. Πλιν. Ἰς. 19. σελ. 314. ἐκδ. Χαρδ.) Ε. ἐχεπευκές· ἔχον πικρίαν· ἀπὸ τῆς πεύκης ἡ μεταφορά· καὶ γὰρ ἡ πεύκη κοπεῖσα οὐκ ἀνίησι βλαστόν· καὶ τὸ δάκρυον αὐτῆς ἐστι πικρὸν, ἡ πίσσα. Σ.

Σ. 52. Βάλλ' κ. τ. λ.] Ὅτι βάλλειν παρὰ τῷ ποιητῇ ὡς ἐπιπολὺ τὸ μήκοθεν ἀφιέντα βέλος τυγχάνειν τοῦ σκοποῦ· ἄλλως μέν τοι ἀφιείς τις καὶ μὴ ἐπιτυγχάνων οὐκ ἄν ποτε κυρίως βάλλειν λεχθείη· βάλλειν γὰρ ἁπλῶς τὸ ἐπιτυγχάνειν. — Ὡς δὲ τριχῶς τὸ βάλλειν, ὡμολόγηται· σημαίνει γὰρ τὸ ἐπιτυγχάνειν, τὸ ῥίπτειν, τὸ τιθέναι. Ε. — Βάλλ', ἀντὶ τοῦ ἐφόνευσεν. — Ἐκ βολῆς ἀνῄρει, ἐτίτρωσκεν. Σ. — Πυραί] Πυρκαϊαί· τὸ γὰρ παλαιὸν, τὰ σώματα τῶν θνηακόντων πρότερον ἐκαίετο, διὰ

НБ ОНУ імені І.І. Мечникова

τὸ ἀπέριττα γίγνεσθαι· εἶθ' οὕτως ἐθάπτετο ὑπὸ γῆν· ἡ δὲ αἰτία τοῦ καίεσθαι τὰ σώματα παρὰ τοῖς Ἕλλησιν αὕτη· πρῶτος, φασὶν, οὕτως ἐτάφη Ἀργεῖος, ὁ Λικυμνίου, δι' ἀνάγκην ὑπὸ Ἡρακλέους· συναγαγὼν γὰρ στρατείαν ἐπὶ Ἴλιον Ἡρακλῆς, διὰ τὸ τὸν Λαομέδοντα παρὰ σύνταξιν ποιῆσαι αὐτῷ σώσαντι τοῦ κήτους τὴν θυγατέρα αὐτοῦ Ἡσιόνην, μὴ καὶ δοῦναι τοὺς ἵππους, οὓς ὑποσχόμενος ἦν αὐτῷ, ὑπὲρ τοσαύτης εὐεργεσίας, ἐζήτει καὶ τὸν Ἀργεῖον. Λικυμνίου δὲ φασι, τοῦ πατρὸς Ἀργείου φοβουμένου, ὅτι καὶ τὸν πρότερον αὐτοῦ υἱὸν ὀνόματι Ἠωνὸν [ἴσως Οἰωνὸν] ἀποστείλας εἰς Λακεδαίμονα μεθ' Ἡρακλέους ἀπέβαλεν, καὶ μὴ διδόντος, Ἡρακλῆς ὤμοσεν ἀπάξειν πάλιν αὐτόν· τότε δ' οὖν, συμπεσούσης Ἀργείῳ τῆς τοῦ βίου τελευτῆς, διαπορηθεὶς ὁ Ἡρακλῆς, πῶς ἂν διατηρήσοι τὸν ὅρκον, ἔκαυσεν αὐτόν· καὶ πρῶτον, φασὶ, τοῦτον τοιαύτης ἐπιμελείας τυχεῖν· ἡ ἱστορία παρὰ Ἄνδρωνι. Σ. — Πυραὶ λέγονται αἱ μεγάλαι πυρκαϊαί· καὶ ἴσως παρ' Ὁμήρῳ ἡ πυρὰ μὲν καὶ αἱ πυραὶ ἐπὶ νεκρῶν καύσεως· τὸ πῦρ δὲ καὶ τὰ πυρὰ, ἐπὶ τοῦ ἄλλως ἁπλῶς ἀναπτομένου πυρός. Σημείωσαι δὲ ὅτι καίονται οὐ μόνον σώματα, ἀλλὰ καὶ πυραί· τοῦτο δὲ ἀντὶ ἐξάπτονται. — Ἔδοξε δέ τισιν, οὐ μὴν ἀληθῶς, τὸν Ἡρακλέα κατάρξαι τοῦ ἔθους τῆς τῶν νεκρῶν καύσεως. Παῖδα γάρ φασι φίλου τινὸς Λικυμνίου τὸν Ἀργεῖον ἐξαιτησάμενος ἐπὶ συμμαχίᾳ τῇ κατὰ τοῦ Λαομέδοντος, καὶ ὁρκωμοτήσας, ἦ μὴν ἐπανασώσασθαι τῷ πατρὶ τὸν υἱὸν, διεξέπεσε τῆς εὐορκίας, εἶτα τοῦ Ἀργείου πεσόντος ἐν τῷ πολέμῳ· ἀφοσιοῦται δὴ τὴν ἀνακομιδὴν ὁ Ἡρακλῆς, καύσας τὸν Ἀργεῖον, καὶ τὰ ὀστᾶ κομίσας τῷ πατρί· καὶ σοφίζεται αὐτὸν, ὡς ἤδη ἔχοντα τὸν υἱόν· καὶ τὸ ἔθος φασὶ παραμεῖναν ἔκποτε, γέγονε κοινὸν τοῖς Ἕλλησιν. Ε.

Σ. 53. Ἐννῆμαρ — τῇ δεκάτῃ δὲ ἡμέρᾳ] Ἐσχημάτισε καινοπρεπέστερον, καὶ ἀπὸ τοῦ ἤματος οὐδετέρου ὀνόματος ἀνέπαυσε τὴν σύνταξιν εἰς θηλυκὸν ἰσοδύναμον, εἰπών· τῇ δεκάτῃ δὲ ἡμέρᾳ· τοιοῦτόν τι σχηματίσαι καὶ ἐν τοῖς ἑξῆς, ὅτε εἴπῃ, ἔθνεα πολλὰ ὀρνίθων ἀγαλλόμεναι πτερύγεσσιν [β, 459.]· οὐδέτερον μὲν γὰρ τὸ ἔθνεα, καὶ δηλοῖ τὰς ἀγέλας· θηλυκὸν δὲ τὸ ἀγαλλόμεναι οὐκ ἀποδοθὲν πρὸς τὸ ἔθνεα, ἀλλὰ πρὸς τὸ νοούμενον δι' αὐτοῦ, ὅπερ εἰσὶν ἀγέλαι· εἰπεῖν δὲ κατὰ τοὺς παλαιοὺς, συνταχθὲν οὐ πρὸς τὸ ῥητὸν, ἀλλὰ πρὸς τὸ νοητόν. — Ὅτι πιθανὸς ἀεὶ ἐν τοῖς πλάσμασιν ὢν ὁ ποιητής,

НБ ОНУ імені І.І. Мечникова

τοιοῦτος καὶ ἐνταῦθά ἐστι περὶ τὰς ἡμέρας τοῦ λοιμοῦ· εἰ μὲν γὰρ πρώτην εὐθὺς ἡμέραν, ἢ δευτέραν, ἢ τρίτην τὸ τῆς νόσου ἐζητεῖτο αἴτιον, ἀπίθανος καὶ οὐκ εὔπλαστος ὁ λόγος ἦν· τί γὰρ ἰδὼν βαρὺ ὁ Ἀχιλλεὺς ζητήσει τὴν αἰτίαν; πόθεν δὲ καὶ στοχάζεται, ὅτι μηνίει Ἀπόλλων, ὁ τῷ λοιμῷ ἐπιστατῶν, μηδενὸς παραδόξου συμβάντος· ἐπεὶ δὲ παρῆλθον ἤδη ἐννέα ἡμέραι, τόσον χωσαμένου Ἀπόλλωνος, καὶ τὸ κακὸν δέον ὄν, κατὰ τοὺς παλαιοὺς, ἐν τοσαύταις ἡμέραις ὑπολωφῆσαι, εἰ μὴ θεόθεν ἦν, τὸ δὲ ἐπιπλέον προάγεται, τότε δὴ ζητεῖται τὸ αἴτιον. Ἀχιλλεὺς δὲ ζητεῖ τὴν αἰτίαν, καὶ οὐκ ἄλλος τις τῶν Ἑλλήνων, ὡς μὲν Ὅμηρος λέγει, ἐπεὶ αὐτῷ ἐν φρεσὶν ἔθετο Ἥρα, κ. τ. λ. — Σημείωσαι δὲ καὶ ἐνταῦθα τὸ τῶν Ἑλλήνων δημοκρατικόν· Ἀχιλλεὺς γὰρ δίχα βασιλέως ἀγείρει τὸν λαόν. Ε.

Σ. 56. Κήδετο] Ἐφρόντιζεν· εὐλόγως δὲ φροντίζει τῶν Ἑλλήνων ἡ Ἥρα, ὅτι τὸ Ἄργος ὅλον ἱερὸν αὐτῆς· ἄλλως τε καὶ ἦν ὑβρισθεῖσα ὑπὸ Ἀλεξάνδρου, ὡς καὶ ἡ Ἀθηνᾶ ἐν τῇ τοῦ μήλου κρίσει· ἤθελον οὖν σώζεσθαι τοὺς Ἕλληνας, ἵνα γένηται τοῖς Τρωσὶν ὄλεθρος. Σ.

Σ. 58. Τοῖσι δ' ἀνιστάμενος] Ὅτι ἀναστὰς ὁ Ἀχιλλεὺς δημηγορεῖ· οὕτω δὲ ἦν ἔθος τοῖς παλαιοῖς, κἂν βασιλεῖς ἦσαν. — Εἰ δέ ποτέ τις καθήμενος ἐδημηγόρησε, καινὸν τὸ πρᾶγμα ἐδόκει, καὶ ὁ τοῦτο ποιῶν παραιτήσεως ἐδέετο, καθά που ὁ Ἀγαμέμνων ποιήσει, ὅτε διὰ τὸ τραυματίσθαι, αὐτόθεν ἐξ ἕδρης διαλέγεται (Ἰλ. Τ, 79) καὶ ἐνταῦθα δὲ σημείωσαι, ὅτι σχῆμά ἐστι τὸ λεγόμενον κατὰ τὸ σιωπώμενον· νοητέον γὰρ, ὅτι καὶ σκῆπτρον κατέχει ὁ Ἀχιλλεὺς, οἷα ἔθους ὄντος καὶ τούτου· διὸ προιὼν ἐν τῷ δημηγορεῖν, καὶ εἰς τὸ σκῆπτρον ὄμνυσιν, εἰπών· Ναὶ μὰ τόδε σκῆπτρον, καὶ ὕστερον εἰς γῆν ῥίπτει αὐτό. Ε.

Σ. 59. Παλιμπλαγχθέντας] Εἰς τοὐπίσω πλανηθέντας. Σ. Ὅτι ἐξ αὐτοῦ τοῦ καιροῦ προοίμιον ὁ Ἀχιλλεὺς πορισάμενος, φησί· νῦν ἡμᾶς οἴομαι κ. τ. λ. Ἀεὶ δὲ σχεδὸν ἔθος Ὁμήρῳ, οὕτω ποιεῖν, καὶ ἐκ τῶν ἐγγὺς καὶ ὅ φασι παρὰ πόδας προοιμιάζεσθαι· τὸ δὲ παλιμπλαγχθέντας, οἱ μὲν ἀντὶ τοῦ ἐκ δευτέρου πλανηθέντας φασί· χρώμενοι τῇ τῶν νεωτέρων ἱστορίᾳ, τῇ λεγούσῃ, ὅτι τὰ πρῶτα ἐπιστρατεύσαντες τῇ Τροίᾳ οἱ Ἕλληνες, ἥμαρτον τῆς ὁδοῦ, καὶ τὴν μηδὲν αὐτοῖς εἰς τιμωρίαν προσήκουσαν γῆν ἐληίζοντο· ἡ δὲ ἦν ἡ ὑπὸ τῷ Τη-

НБ ОНУ імені І.І.Мечникова

ὁ δὴ Τήλεφος ἀντικαταστὰς, ἐποίησέ τι κακὸν
λέγῳ Μυσία· ὁ δὴ Τήλεφος ἀντικαταστὰς, ἐποίησέ τι κακὸν ὑπὸ Ἀχιλλέως, ἀμ-
καὶ ἔπαθε· πέπονθε μὲν τραῦμα δεινὸν ὑπὸ Ἀχιλλέως, ἀμ- κατὰ Διονύσου
πέλου ἕλικι συμποδισθέντος αὐτῷ τοῦ ἵππου κατὰ Διονύσου ἀπράκτους ὑ-
πρόνοιαν, καὶ πεσόντος εἰς γῆν· ἐποίησε δὲ τὸ, ἀπράκτους ὑ- ἀθεράπευ-
ποχωρῆσαι τοὺς Ἕλληνας· ὡς δὲ τὸ τραῦμα εἶχεν ἀθεράπευ- ὡς ἄρα
τον, χρᾶται καὶ ὁ χρησμὸς ἀνεῖπε τὸ θρυλλούμενον· ὡς ἄρα Ἀχιλλέα, καὶ
ὁ τρώσας ἰάσεται· πλέει οὖν τὴν ταχίστην ἐπ' Ἀχιλλέα, καὶ δοῦναι μι-
συμβαίνει τὸν μὲν, ἰάσασθαι τὴν ὠτειλὴν, τὸν δὲ, δοῦναι μι- ἅπαξ ποτὲ
σθὸν τῆς ὑγείας, τὴν εἰς Τροίαν ὁδηγίαν· ὡς οὖν ἅπαξ ποτὲ ὁ Ἀχιλλεὺς,
τὴν ἀρχὴν ἐπλανήθησαν, οὕτω φασὶ δέδιε καὶ νῦν ὁ Ἀχιλλεὺς, τινες ἀκο-
μὴ πάλιν πλαγχθῶσιν, ἤτοι τὸ δεύτερον· καὶ οὕτω μέν τινες ἀκο- ὅτι ὁ
λουθοῦντες καὶ τῷ γεωγράφῳ (Στράβ. Α, σελ. 10) εἰπόντι, ὅτι ὁ ἐπα
τοῦ Ἀγαμέμνονος στόλος Μυσίαν, ὡς Τρῳάδα, πορθῶν, ἐπα ὅτι
λινδρόμησεν αἰσχρῶς· ἄλλοι δὲ οὐκ ἀρεσκόμενοι, φασὶν, ὅτι παρὰ τῷ
οὔτε τὸ πάλιν ὅλως ἐπὶ τοῦ ἐκ δευτέρου κεῖται που παρὰ τῷ ἑτέρῳ τινὶ
ποιητῇ, καὶ οὐδὲ φαίνεται ὁ ποιητὴς Τηλέφῳ ἢ ἑτέρῳ τινὶ μάντει
ἀνατιθεὶς τὴν ὁδηγίαν τὴν εἰς τὸ Ἴλιον, ἀλλ' ἢ τῷ μάντει μαντο-
Κάλχαντι· ἐρεῖ γὰρ, ὅτι ὁ Κάλχας διὰ τὴν ἑαυτοῦ μαντο- Ἴλιον. —
σύνην ἡγήσατο ταῖς τῶν Ἀχαιῶν νηυσὶν εἰς τὴν Ἴλιον. — τὸ πα-
Ταῦτα καὶ ἄλλα εἰπόντες, φασὶ, κάλλιον εἶναι νοῆσαι τὸ πα- ὡς ἐκ
λιμπλαγχθέντας ἀντὶ τοῦ ὀπίσω μάτην ἀπονοστήσαντας, ὡς ἐκ σώματι καὶ
μεταφορᾶς βέλους τινὸς ἐμπελάσαντος στερεῷ τινι σώματι καὶ 'Ρεῖσκ.).
ὀπίσω στραφέντος. Ε. (ἴδ. Διονύσ. Ἁλικαρν. Ζ. σελ. 341. 'Ρεῖσκ.).

Σ. 62. 63. Μάντιν ἐρείομεν κ. τ. λ.] Ἐρωτήσωμεν· ἔστι γὰρ γέ-
νος τι τῆς μαντικῆς, διαιρούμενον εἰς εἴδη τρία· εἰς οἰωνοσκοπίαν,
ἀεροσκοπίαν καὶ τὴν διὰ τῶν ὀνειράτων μαντείαν. Σ. — Ἢ καὶ
ὀνειροπόλον] Λέγει τὸν περὶ ὀνείρους στρεφόμενον· κἀκεῖθεν τὸ
μέλλον προειδότα διὰ τοῦ κρίνειν τοὺς ὀνείρους· ἱερέα δὲ τὸν
θυτικὴν εἴτουν ἱερατικὴν μαντεύοντα, καὶ δι' ἐντόμων μαντευόμενον,
ἤγουν ἱερείων σφαγίων. — Μάντιν δὲ, οἱ μὲν γενικῶς καὶ ἀδιορίστως
εἶπον τὸν ἁπλῶς εἰδότα τὸ μέλλον καθ' οἱονοῦν τρόπον μαν-
τικῆς· ἕτεροι δὲ κατ' ἐξοχὴν μάντιν ἐνταῦθα τὸν οἰωνοσκόπον
ἐνόησαν, διὸ καὶ τοιοῦτος ἀνίσταται ὁ Κάλχας· οὐχ ἱερεὺς, ταὐ-
τὸν δ' εἰπεῖν, θυηπόλος, οὐδὲ ὀνειροπόλος, ἀλλὰ οἰωνοπόλων,
ὅ ἐστι, τῶν περὶ τοὺς κισσοὺς οἰωνοὺς πολουμένων ἤτοι ἀνα-
στρεφομένων ὁ ἄριστος. — Καὶ ἔοικε τάχα, εἶναί τι μέρος ἢ
εἶδος μαντικῆς καὶ τὸ τοιοῦτον ὄνομα τὸ μάντις, ἐξιδιασθέν-
τας ἐν αὐτῷ τοῦ γενικοῦ ὀνόματος· καὶ ἴσως τοιοῦτός ἐστιν ὁ

НБ ОНУ імені І.І.Мечникова

ἐνθουσιαστὴς, ἤτοι ἔνθεος, οἱονεὶ μαινόμενος καὶ ἐξεστηκὼς ἐν τῷ προλέγειν τὰ μέλλοντα· ὅθεν καὶ μάντις παρὰ τὸ μαίνεσθαι εἴρηται· μανίαν γάρ τινα ἔνθεον ἐκστατικῶς οἱ μάντεις ἐν τῷ προλέγειν ἔπασχον· ὥστε γένος μὲν, ὁ μάντις· εἴδη δὲ αὐτοῦ, ὁ ἐνταῦθα μάντις, ἤγουν, ὁ ἐνθουσιαστὴς, καὶ ἱερεὺς καὶ ὁ ὀνειροπόλος· ἰστέον δὲ, ὅτι οὐκ ἔξω λόγου καὶ τὸ γενικῶς μὲν, ὡς καὶ προεῤῥέθη, νοῆσαι τὸν μάντιν, εἴδη δὲ αὐτοῦ εἰπεῖν, τὸν ἱερέα, καὶ τὸν ὀνειροκρίτην· ἵνα λέγῃ, ὅτι ἐρωτηθήτω τις μάντις· οἷον, ἱερεὺς, ἢ ὀνειροπόλος. Οὕτω καὶ ἐν Ὀδυσσείᾳ, (Ω, 245.) γένος εἰπὼν τὸ φυτὸν, ἐπάγει τὰ εἴδη, ἐν τῷ, οὐ φυτὸν, οὐ συκῆ, οὐκ ἄμπελος, οὐ μὲν ἐλαίη. — Ὀνειροπόλος δὲ, διχῶς· ἢ ὁ βλέπων αὐτοὺς ὀνείρους, καὶ κατ' αὐτοὺς προλέγων, ἢ ὁ τοὺς ὑπ' ἄλλων βλεπομένους διευκρινῶν. — Καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστι] Τοῦτο γὰρ εἰς λύσιν ἀπορίας ἐπήγαγεν, ὡς τινος ἐρωτήσοντος· Τί οὖν καὶ ὀνειροπόλον ἐρωτήσομεν τὸν περὶ ψευδῆ καταγινόμενον; τοῦτο δὴ λύων φησὶν, ὅτι οὐ πάντες ὄνειροι ψευδεῖς, ἀλλά τινες ἂν γένοιντο καὶ ἐκ Διὸς, οὓς καὶ διοπέμπτους ἐκάλουν· οἱ δὲ τοιοῦτοι κυρίως εἶχον τὴν τοῦ ὀνείρου κλῆσιν. Ε.

Σ. 65. 66. 67. Εὐχωλῆς] Εὐχῆς, δεήσεως. — Ἑκατόμβης] Τελείας θυσίας, ἤτοι τῆς ἀπὸ τῶν ἑκατὸν βοῶν, ἢ τῆς ἀπὸ ἑκατὸν βάσεων, ὅ ἐστιν, ἐξ εἴκοσι πέντε ζώων. — Τελείων] Ἤτοι τὴν ἡλικίαν ὁλοκλήρων· λελωβημένον γὰρ οὐ θύεται, ἀλλ' ὑγιὴς ἡ τῶν τελουμένων θυσία. — Ἀντιάσας] Ἀπαντήσας, μετασχών. Σ. — Ὅτι ἑκατόμβη ἡ θυσία οὐχ ἁπλῶς, ἀλλ' ἡ πολυτελής· ἡ ἐξ ἑκατὸν δηλονότι κυρίως — καθὰ καὶ χιλιόμβη, ἡ ἀπὸ χιλίων· καταχρηστικῶς μέντοι, καὶ ἡ ἐξ ἑκατὸν ζώων ἢ καιριώτερον εἰπεῖν, βοσκημάτων. — Τινὲς δὲ ἑκατόμβην εἶπον ἐξ ἑκατὸν βάσεων, ἤτοι ποδῶν. — Ἄλλοι δὲ εἰς ἀοριστίαν τὸν λόγον ἐξαγαγόντες, καὶ τὸ ἑκατὸν ἀντὶ τοῦ πολλὰ νοήσαντες, ἀορίστως ἑκατόμβην φασὶ τὴν ἐκ πολλῶν ἁπλῶς ζώων· οἷα τὸν ἑκατὸν ἀριθμὸν πολλάκις καὶ ἐπὶ τοιούτου σημαινομένου εὑρίσκοντες κείμενον· ὡς καὶ ἐν τῷ ἑκατόνζυγος ναῦς, ἢ πολύζυγος. — Ἰστέον δὲ ὅτι ἐν τῷ εὐχωλῆς ἐπιμέμφεται, λείπει τὸ ἕνεκεν. — Τὸ δὲ ἀρνῶν κατὰ τοὺς παλαιοὺς οὐκ ἀπὸ μονοσυλλάβου εὐθείας κλίνεται· ἄῤῥητος γὰρ ἡ τοιαύτη· ἀλλ' ἔστιν εὐθεῖα δισύλλαβος ἀρὴν ἀρῆνος· καὶ ἐξ αὐτοῦ, κατὰ συγκοπὴν, τὸ ἀρνὸς, ἀρνί. — Κνίσσης] Κνίσσα δὲ λέγεται μὲν καὶ ἐπὶ

НБ ОНУ імені І.І. Мечникова

λίπους καὶ ἄλλων τινῶν. — Ἐνταῦθα δὲ ἡ λέξις τὴν ἀπὸ κρεάτων ἀπτομένων ἀνάδοσιν δηλοῖ τοῦ καπνοῦ. Ε.

Σ. 68. Ἤτοι ὅγ᾽ ὣς εἰπὼν] Ὅτι ὁ ἤτοι καὶ ὁ μὲν, ἄλλως ἀδιάφοροι ὄντες, ὅμως διαφέρουσι· καθότι ὁ μὲν ἤτοι, ἐν καταρχῇ ἀεὶ λόγου τίθεται· οἷον ἤτοι ὅγ᾽ ὣς εἰπὼν κτλ. ὁ δὲ μὲν σύνδεσμος οὐ πίπτει ποτὲ ἐν λόγου ἀρχῇ· οἷον ἀλλὰ σὺ μὲν ταύτην θεῷ πρόες· [στ. 127.] καὶ ὁ μὲν ἤτοι, ποιητικός ἐστιν, ὁ δὲ μὲν, τῆς κοινῆς φράσεως· τοιοῦτον δέ τι καὶ περὶ τοῦ ἀτὰρ, καὶ αὐτὰρ, καὶ δὲ, ῥηθήσεται· ἰστέον δὲ ὡς οἱ μεθ᾽ Ὅμηρον τὸ ἤτοι, χυδαϊστὶ μὲν ἑρμηνευτικὸν οἴονται σύνδεσμον· καθὰ καὶ τὸ ἤγουν καὶ εἴτουν· ἀκριβῶς δὲ νοήματα διαζευγνύουσιν ἐν αὐτῷ· οἷον, ἤτοι τέθνηκεν, ἢ ζῇ. Ε. (ἴδ. Σχολ. Ἀπολ. Ῥοδ. σελ. 321. ἔκδ. Σχαιφερ.).

Σ. 69. Θεστορίδης] Ἔθος πολλάκις τῷ ποιητῇ, ὁπηνίκα τὴν ἀρχὴν προσώπου μνησθείη τινὸς ἢ ἐπιφανοῦς, ἢ ἄλλως αὐτῷ χρησίμου λαλεῖν τι περὶ αὐτοῦ ἐγκωμιαστικὸν, καὶ οὕτως αὐτὸ ἐγγράφειν, καὶ οἷον ἐγκαθίζειν εἰς μνήμην ταῖς τῶν ἀκροωμένων ψυχαῖς. — Ἡ δὲ τοιαύτη τῷ ποιητῇ μέθοδος ἀφορμὴ γίνεται τοῦ πολλὰ ἱστορεῖν· ἐν γὰρ τοιούτοις τόποις καὶ γενεαλογεῖ, καὶ τοπογραφεῖ, καὶ πράξεις ἀρχαίας ἐκτίθεται, καὶ ἄλλα καλὰ μυρία ποιεῖ. Περίπυστος δὲ τὰ εἰς μαντικὴν ὁ Κάλχας, εἰ καὶ τὰ εἰς τελευτὴν ἐδυστύχησεν. Ὃς Μόψῳ, τῷ ἐγγόνῳ Τειρεσίου, περιτυχὼν περί που Κολοφῶνα, κατὰ τὸν Γεωγράφον, (Στράβ. ΙΔ. σελ. 545.) καὶ ἡττηθεὶς ἐπὶ μαντικῇ, διὰ λύπην ἀπέθανεν. — Ὄχ᾽ ἄριστος· ἤγουν ἐξόχως· ἐν ᾧ λείπει πρόθεσις πάντως ἡ Ἐξ.

Σ. 71. Καὶ νήεσσ᾽ ἡγήσατ᾽] Τὸ ἡγεῖσθαι, ἐπὶ μὲν ἀρχῆς τινος λαμβανόμενον καὶ ἐξουσίας γενικῇ φαίνεται συντάσσεσθαι· οἷον ὁ Ἀγαμέμνων ἡγεῖται τῶν Ἑλλήνων· ἐπὶ δὲ προοδεύσεως καὶ ὁδηγίας, δοτικῇ μάλιστα συντάσσεται· ὡς τὸ, Κάλχας, ἡγήσατο κτλ. — Ἰστέον δὲ ὡς οἱ μεθ᾽ Ὅμηρον ἔστιν ὅτε καὶ ἀντὶ τοῦ οἴεσθαι τὸ ἡγεῖσθαι τιθέασιν. — Ἴλιον εἴσω] Ὥσπερ ἀπὸ τῆς ἐξ προθέσεως, ἀεὶ γενικῇ συντασσομένης, τὸ ἔξω ἐπίῤῥημα γενόμενον ἀεὶ καὶ αὐτὸ τὴν γενικὴν ἔχει σύνταξιν, οὕτως οὐδὲν παράλογον, εἰ καὶ τὸ εἴσω γενόμενον ἀπὸ τῆς εἰς προθέσεως διφορουμένης ἐν τῇ συντάξει, διφορεῖται καὶ αὐτὸ καθ᾽ ὁμοίωσιν ἐκείνης· καὶ ἐπείπερ ἡ εἰς πρόθεσις καὶ αἰτιατικῇ κοινῶς οἶδε συντάσσεσθαι, καὶ μὴν ἀλλὰ καὶ γενικῇ ἀττικῶς,

ὡς τὸ, εἰς ἄδου· διὰ τοῦτο καὶ τὸ εἴσω, ποτὲ μὲν οὕτω
συνταχθήσεται· Ἴλιον εἴσω· ποτὲ δὲ ἄλλως· οἷον εἴσω τοῦ
οἴκου. Ε.

Σ. 73. Ἐϋφρονέων] Καλῶς νοῶν. Σ. εὖ φρονέων.

Σ. 76. Τοιγὰρ ἐγὼν ἐρέω] Ὅτι ὁ Κάλχας, οἷα μάντις, εἰδὼς τὸ
τῆς δημηγορίας ἀποτέλεσμα, καὶ ὅτι μεγάλα λυπήσει τὸν βα-
σιλέα ἐφ' οἷς ἐρεῖ, οὐκ εὐθὺς ἅμα τῷ τοῦ Ἀχιλλέως λόγῳ,
τὴν τοῦ λοιμοῦ αἰτίαν ἐκτίθεται· ἀλλὰ πρῶτα μὲν οἷον ἀπο-
λογεῖται, ὡς οὐχ ἑκὼν λαλῶν, ἀλλὰ διὰ τὸ τὸν Ἀχιλλέα
κελεύειν τὸν Διῒ φίλον· εἶτα καὶ τὸ δέος ἐνδεικνύμενος τὸ
πρὸς τὸν βασιλέα, θεραπεύων δὲ καὶ τὸ πλῆθος, ὡς φόβῳ
τοῦ ἄρχοντος μὴ φθάσας προειπεῖν τὰ κακὰ, ἔπειτα ἐκ τοῦ
Ἀχιλλέως ἀπαιτεῖ προασφαλιζόμενος ἑαυτόν. — Προσαπαιτεῖ δὲ,
καὶ μὴ τὴν σήμερον, ἀλλὰ καὶ εἰς τὸ μέλλον ἐπάρηξιν· τοῦτο
γὰρ δηλοῖ τὸ, εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ, κατα-
πέψῃ, κ. τ. λ. Μονονουχὶ γὰρ λέγει, ὡς οὔ με χρεία τῆς πρὸς
τὸ παρὸν βοηθείας ἀλλὰ τῆς εἰς τὸ μέλλον μάλιστα, εἴγε
τοιοῦτον ἄνδρα μέλλω λυπήσειν, ὃς ἀμύνασθαί με καὶ μετὰ
ταῦτα δύναται. Ε. (ἴδ. Ὁμ. Ἰλιάδ. Σ. 6. ἔκδ. Βοσκ.).

Σ. 77. Πρόφρων] Τὸ δὲ πρόφρων ταὐτόν ἐστι τῷ ὑπέρφρων·
αὐτὸ δὲ διχῶς· ὑπέρφρων γὰρ, οὐ μόνον ὁ ὑπέρ τινος φρο-
νῶν, ὡς ἐν τοῖς ῥηθεῖσι νοεῖται· ἀλλὰ καὶ ὁ περιφρονῶν τινα,
καθὰ κεῖται ἀλλαχοῦ. Ε.

Σ. 80. Κρείσσων] Τὸ κρεῖσσον ἐπὶ νικῶντος καὶ ἐπικρατε-
στέρου τίθεται. Ε.

Σ. 81. Καταπέψῃ] Ὅρα δὲ καὶ ὅτι πάνυ κυριολεκτεῖ ἐν
τῷ· εἰ γάρ τε χόλον κ. τ. λ. Χόλος γὰρ καταπεμφθεὶς, κό-
τος γίνεται· τοῦτο δὲ καὶ ὁρισμὸς μνησικακίας ἐστίν· ὀρθῶς
γὰρ ἔχει φάναι, ὅτι μνησικακῆσαί ἐστι τὸ, χόλον αὐτῆμαρ
καταπέψαι, μετόπισθεν δὲ ἔχειν κότον, ὄφρα τελέσσῃ· τὸ
δὲ καταπέψῃ, μετηνέχθη ἀπὸ τῶν σιτίων, τῶν μετὰ βρῶ-
σιν, ἱκανῶς κατασχεθέντων ἔσω ἄχρι καὶ πέψεως· οὕτω καὶ
γὰρ ὁ κρυψίχολος πέττειν, δοκεῖ τὸν θυμὸν, ὃ δὴ κότος ἐστὶν
(Βιργιλ. Αἰν. Α. 209.)· ὁ δὲ μὴ κρύπτειν εἰδὼς τὸν θυμὸν,
ἐκεῖνος οὐ πέττει, ἀλλὰ τρόπον τινὰ ἐξεμεῖ. — Οὐκ ἀπὸ τοῦ
πέττω δὲ γίνεται τὸ, πέψῃ· ἀλλ' ἀπὸ τοῦ πέπτω, σεσι-
γημένου ἐνεστῶτος· διφορεῖται γὰρ καὶ αὐτὸς, ὡς καὶ τὸ
καλύπτω, ὅπερ ἔοικε καὶ καλύσσω εἶναι, ἀφ' οὗ ὁ κάλυξ

НБ ОНУ імені І.І. Мечникова

γίνεται. — Ὅτι δὲ τοῦ πέττειν προϋπάρχει τὸ πέπτειν, καὶ ὅτι αἰολικόν ἐστιν, Ἡρακλείδης δηλοῖ φάμενος οὕτως, Αἰολεῖς τὰ εἰς πτω λήγοντα βαρυτονοῦντες, μετατιθέασιν εἰς δύο σσ, οἷον πέπτω πέσσω, ὄπτω ὄσσω. Ἡρόδοτος δὲ τὸν χόλον καταπέψαι, χόλον πιέπαι φησίν. Ε. — Καταπέψῃ] Κατάσχῃ, καταδαπανήσῃ· ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐν γαστρὶ πλείονι χρόνῳ κατεχομένων σιτίων, διὰ τὴν πέψιν, τὴν ἐν αὐτῇ γιγνομένην Σ. [Ἴδ. Ἐτυμολ. Μ. πέσσει.].

Σ. 85. Θεοπρόπιον] Ὅτι Θεοπρόπος ὁ μάντις, ὁ θεοῖς πρέπων, ἢ τὰ θεοῖς πρέποντα λέγων, καὶ Θεοπρόπιον, τὸ αὐτοῦ λόγιον ἤτοι μάντευμα, καὶ Θεοπροπία, ἡ μαντεία. Ε. — Θεοπρόπιον· ἐκ τοῦ Θεοπρόπος· τοῦτο ἐκ τοῦ Θεοπρόπω — παρασύνθετον ἐκ τοῦ θεὸς καὶ τοῦ προέπω, τὸ λέγω· ὁ τὰ ἐκ θεοῦ προλέγων· οὕτως οὖν καὶ Θεοπρόπιον. Β.

Σ. 88. Δερκομένοιο] Ὅ ἐστι φαινομένου· οἱονεὶ γὰρ λέγει, ὅτι οὐκ εἰσαεὶ κατὰ τὸ μέλλον βοηθήσω σοι· ἀλλ' ἕως ἂν ζῶν περίβλεπτος ὦ, καὶ ἐπιφανῶς ἔχω. — Κοίλης παρὰ νηυσὶ μονονουχὶ λέγων, ὅτι καὶ ζῶν καὶ φαινόμενος, οὐδ' οὕτω διόλου ἐπαρήξω σοι, ἀλλ' ἕως ἐνταῦθα ἐν τῇ Τροίᾳ ἐσμέν· οὐ γὰρ δήπου καὶ εἰς τὴν Φθίαν ἀπονοστήσας, ὀφειλέτης σοι τῆς ἀρωγῆς ἔσομαι. Ε. — Βαρείας χεῖρας] Κακοποιούς. Ε. Ὑβριστικάς, φονικάς. Σ. — Οὐ τὸ ἔπεσι βοηθῆσαι ῥητῶς ἐξεφώνησεν, ἀλλὰ νοηθῆναι αὐτὸ ἀφῆκεν· οὐ γὰρ ἔχρην ὀμόσαι τὸν Ἀχιλλέα γλώσσαις ἀντεπεξάλλειν λοιδόροις καὶ ἔπος ἐρίδειν πρὸς ἔπος· ὃ καὶ γυναῖκες ἂν ποιήσαιεν. Ε.

Σ. 90. Οὐδ' ἢν Ἀγαμέμνονα εἴπῃς] Ὅτι ὁ μὲν Κάλχας ἠδέσθη ἄντικρυς καὶ ὀνομαστὶ εἰπεῖν, ὅτι λυπήσει τὸν Ἀγαμέμνονα. — Συμβολικῶς δὲ εἰπεῖν, ὅτι χολώσει τὸν μέγα δυνάμενον· ὁ δέ γε Ἀχιλλεὺς καὶ ἐξ ὀνόματος εἶπεν αὐτὸν, πολὺ τὸ θάρσος ἔχων, ὃ καὶ αὐτὸ τὸν βασιλέα πάντως ἐλύπησεν. Ε. Οὐχ ὑβριστικῶς εἴρηται, ἀλλὰ φιλοφρόνως, ὡς ἂν ἐπιτρέποντος καὶ τοῦ βασιλέως τοιαύτην ἀσφαλῆ ποιεῖσθαι ἐγγύην· τῇ ὑπερβολῇ θεραπεύει τὸν Ἀγαμέμνονα. Β.

Σ. 91. Ἄριστος Ἀχαιῶν] Ὅρα ὅπως ἔχῃ τι οὐκ ὀλίγον αὐστηρότητος ὁ τοῦ Ἀχιλλέως οὗτος λόγος· οὔτε γὰρ εἶπεν ἀπολύτως, ὅτι ὁ Ἀγαμέμνων ἄριστος, ἀλλὰ νῦν ἄριστος, καὶ οὐδὲ ὅτι ἄριστός ἐστιν, ἀλλὰ εὔχεται εἶναι, τουτέστιν, ᾄδεται, λέγεται, καὶ οὐδὲ ἄριστος ἁπλῶς, οἷον, καὶ γένει καὶ ἀγ-

НБ ОНУ імені І.І. Мечникова

ὁρίᾳ καὶ παρὰ ὅλοις Ἕλλησιν, ἀλλὰ ἐν τῷ στρατῷ· [Εὐστ. ἐνὶ στρατῷ εὔχεται.] (ἴδ. Χαίν. Τόμ. Δ. σελ. 43.) ἑαυτὸν δὲ προϊὼν ἐρεῖ τοιοῦτον ἐν τῷ· Ἄριστον Ἀχαιῶν οὐδὲ ἐτίμησας [στ. 244.], τουτέστιν ἐμὲ, τὸν καὶ βασιλέα, καὶ ἀνδρειότατον καὶ εὐγενέστατον· διὸ καὶ ὁ Ἀγαμέμνων συνάγει χόλον τινὰ καὶ ἐν τούτοις· πικρὰ γὰρ τάτε ἄλλα, καὶ τὸ οὐδ' ἢν Ἀγαμέμνονα εἴπῃς· εἰ καὶ παράκειται οἷον γλυκύ τι τὸ, ἄριστος ἐν στρατῷ, ὃ καὶ αὐτὸ ἔχει τι πικρίας, ὡς εἴρηται. Ε.

Σ. 92. Πὔδα] Ὅτι αὐδᾷν λέγεται τὸ ἀνθρωπίνως λαλεῖν· αὐδὴ γὰρ οὐχ ἁπλῶς ἡ τυχοῦσα φωνὴ, ἀλλ' ἡ ἀνθρωπίνη. Ε.

Σ. 97. Πρίν γ' ἀπὸ κ.τ.λ.] Ὅτι ὁπηνίκα τὸ Πρὶν δὶς ἐν λόγῳ ποιητικῷ παραλαμβάνεται, τὸ μὲν ἓν νοεῖται ἀντὶ τοῦ, πρότερον, καὶ οὐδὲ ἔχει ὡρισμένην τὴν σύνταξιν, τὸ δὲ ἕτερον μετὰ ἀπαρεμφάτου ῥήματος συντάσσεται, ταυτὸν ὂν τῷ, πρὸ τοῦ γενέσθαι τόδε τι· οἷον οὐ πρὶν Ἀπόλλων λοιμοῦ χεῖρας ἀφέξει, πρὶν ἀποδοῦναι, ἤγουν πρὸ τοῦ ἀποδοῦναι, τῷ Χρύσῃ τὴν παῖδα. Ε. (Ὀδυσ. Υ, 263. καὶ Χ, 316. χεῖρας ἀφέξει.)

Σ. 98. Δόμεναι] Ἰστέον δὲ ὅτι δοῦναι μὲν ἐπὶ ἁπλῶς ἑκουσίου δόσεως, ὅθεν καὶ τὸ δῶρον· ἀποδοῦναι δὲ, ἐπὶ τῶν χρεωστικῶς δεδομένων, ἐπιδιδόναι δέ ἐστι, τὸ ἐπέκεινα τῶν προϋπαρχόντων δοῦναί τι. — Ἑλίκωπες οἱ ἀξιοθέατοι καὶ ἑλίσσοντες τοὺς ὦπας τῶν βλεπόντων εἰς ἑαυτούς· κούρη δὲ ἡ ἑλικῶπις, ἡ ἀξιοθέατος καὶ τοὺς ἐραστὰς ἐφελκομένη· οὐ μὴν δὲ, ἀλλὰ καὶ ἡ αἰδήμων καὶ ὥς φασιν οἱ παλαιοὶ, ἡ οὐκ ἀτενὴς τὴν θέαν, ἀλλ' εἰς ἑαυτὴν ἑλίσσουσα, ἢ καὶ ἡ μελανόφθαλμος, καὶ οὕτως εὐπρεπὴς, διὰ τὸ ἑλικοὺς, ὅ ἐστι μέλανας ἔχειν τοὺς ὦπας· ἡ δὲ τοιαύτη καὶ ἑλικοβλέφαρος λέγεται. Ε. Μελανόφθαλμον· ἀφ' οὗ εὐπρεπῆ· ἑλικὸν γὰρ κατὰ διάλεκτον καλεῖται τὸ μέλαν. Σ. — Ἰστέον δὲ, ὅτι τὰ κόρην τὴν Χρυσηΐδα λέγει, οὐχ ὡς παρθένον· ψευδὲς γὰρ νῦν τοῦτο· ἀλλ' ὡς ἁπλῶς νεάνιδα· τοῦτο δὲ καὶ ἐν τοῖς ἑξῆς εὑρεθήσεται παρὰ τῷ ποιητῇ. Ε.

Σ. 99. Ἀπριάτην] Τὸ δὲ ἀπριάτην, ἀνάποινον, ἐπιῤῥήματά φασιν οἱ παλαιοὶ, ἀντὶ τοῦ ἀπριάδην καὶ ἀναποίνως, ἤγουν δίχα τοῦ πρίασθαι καὶ δίχα ἀποίνων. — Εἰ καὶ φανερῶς διαφέρει τὸ ἄγειν καὶ τὸ φέρειν, καθὰ δηλοῖ καὶ τὸ, τὰ μὲν ἦγον, τὰ δὲ ἔφερον· ὡς δοκεῖν ἄγεσθαι μὲν, τὰ αὐτοκίνητα, φέρεσθαι δὲ τὰ βασταζόμενα, ὅμως ἔστιν ὅτε ἀδιαφοροῦσιν, ὡς

НБ ОНУ імені І.І. Мечникова

ἀντὶ ἀλλήλων λαμβάνεσθαι, ὡς πολλαχοῦ φανήσεται, καὶ μάλιστα παρὰ τοῖς ὕστερον, οἳ καὶ τὸ προςφέρειν καὶ τὸ προςάγειν ἀδιαφορεῖν οἴδασι. Ε. Ἄγειν ἐπὶ νηὸς καὶ ἅρματος. Β. ἰσχρύσην (ἴδ. στ. 390).

Σ. 102. Εὐρυκρείων] Ἔστι δὲ Εὐρυκρείων ὁ εὐρὺ βασιλεύων, καὶ ὡς εἰπεῖν, μέγας βασιλεὺς, ἢ βασιλεὺς βασιλέων· εἴτε φύσει τοῦτο εἶχεν, εἴτε ὡς αἱρετὸς, ἁπάντων ἦν τῶν συμμάχων βασιλεὺς, ἵνα μὴ τῇ πολυαρχίᾳ διασπᾶται τὸ συμμαχικόν. Ε.

Σ. 103. Φρένες] Ὅτι φρένες οὐ μόνον ἀσωμάτως καὶ νοητῶς ἐπὶ λογισμοῦ, ἀλλὰ καὶ μέρος τι τῶν σπλάγχνων, ὃ καὶ διάφραγμα λέγεται. — Μελαίνας δὲ φρένας ἔφη ὁ ποιητὴς, διὰ τὸ ἐντὸς αὐτὰς ἐν βάθει κεῖσθαι, καὶ μὴ ὁρᾶσθαι· ἢ καὶ ἄλλως μελαίνας τὰς τοῦ θυμουμένου καὶ μὴ ἔχοντος ἡμέρως, ἀλλ' οἷον σκοτεινοῦ καὶ νυκτὶ ἐοικότος· ὅπερ ἐπὶ θυμουμένου Ἀπόλλωνος εἶπεν ὁ ποιητής· καὶ ἐπὶ Ἕκτορος δὲ ὁμοίως ἐρεῖ. Ε. Ἀμφιμέλαιναι· αἱ ἐν βάθει κείμεναι καὶ συνεταὶ διάνοιαι αὐτοῦ· ἢ τεταραγμέναι διὰ τὴν ὀργήν. Σ.

Σ. 105. Πρώτιστα] Πρὸ πάντων. — Κάκ' ὀσσόμενος] Δεινὸν καὶ ὀργίλον ὑποβλεπόμενος. Σ. [Βιργιλ. Αἰν. ΙΒ. στ. 101.2.] Τὸ κακοσσόμενος οὐ σημαίνει τὸ κακῶς ὑποβλεψάμενος· ἀλλὰ τὸ κακομάντις· ἐπεὶ γὰρ ὄσσα ἡ θεία φωνή· ἀπὸ τῆς ὄσσης πεποίηκε τὸ κακοσσόμενον, ἀπὸ τοῦ ὡς κακομάντιν αὐτὸν ὀνειδίζοντος. Β.

Σ. 106. Μάντι κακῶν] Συντείνει δὲ τοῦτο εἰς τὸ δεκαέτη μαντεύσασθαι αὐτὸν ἐν Αὐλίδι τὸν πόλεμον, ὅσον ἀπὸ τοῦ συμβόλου τῶν στρουθῶν. Σ. — Κρήγυον] Τὸ τῷ κέαρι ἡδὺ καὶ προσηνὲς, ὃ ταὐτόν ἐστι τῷ θυμῆρες. Β. — Ὅτι εἰ καὶ τῶν μάντεων ἐν ἐλπίδι κακῶν χρήζομεν, ἀλλ' ὅμως ἐν τῷ, ὦ μάντι κακῶν, ἵνα μή τις τοιοῦτόν τι νοήσῃ, τοῦτο γὰρ ἔπαινος μάντεως, ἐπάγει ἑφερμηνεύων, οὐ πώποτέ μοι τὸ κρήγυον εἶπας; (Βολφ. εἶπες), ὅ ἐστι, τὸ ἀγαθόν· ἵνα μάντιν κακῶν νοήσωμεν ἐνταῦθα οὐ τὸν ἐν κακοῖς χρήσιμον, ἀλλὰ τὸν δύσφημον καὶ κακὰ μαντευόμενον, καὶ καθά τις ἔφη, κακόμαντιν. — Σημείωσαι δὲ καὶ, ὅτι ἐν τῷ πλεοναχῶς τὴν αὐτὴν ἔννοιαν φράσαι, ταυτολογεῖ ὁ ποιητὴς ἐπίτηδες, πλεονάκις τὸ αὐτὸ στρέψας νόημα. — Καὶ μιμεῖται τὸ τῶν ὀργιζομένων ἐν κατηγορίᾳ δυςκατάπαυστον· οἳ τὰ αὐτὰ πολλάκις ἀναπολοῦσιν,



НБ ОНУ імені І.І. Мечникова

ὡς μήπω κατ' ἀξίαν εἰπόντες. — Ὅρα γοῦν οἷον ἡ ὀργὴ, ἐφ' ὕβρει προφέρουσα, τὰ ἐφ' οἷς ἄν τις ἐγκωμιάζοιτο· καθάπερ καὶ εἴ τις ἰατρὸν ψέγει νόσους προλέγοντα, καὶ τὰς ἐκείνων θεραπείας ἐπάγοντα. — Τὸ οὐ πώποτε ταὐτόν ἐστι τῷ οὔπω ποτέ. Ε.

Σ. 108. Ἐσθλὸν δὲ] Ἰστέον δὲ καὶ, ὅτι τοῦ ἀγαθοῦ ἀνδρὸς ἐν δυσὶ τούτοις χαρακτηριζομένου, τῷ, ἀγαθὰ λέγειν, καὶ τῷ, ἀγαθὰ τελεῖν, ἀμφοτέρων τούτων ὁ βασιλεὺς στερίσκει τὸν Κάλχαντα, τῇ γλώσσῃ διὰ θυμὸν χαριζόμενος. — Λείπει δὲ κατὰ ἐοικυῖαν ἔννοιαν τὸ ἔργον, ἵνα λέγει, ὅτι, οὔτε ἔπος εἶπας (Β. εἶπες) οὔτε ἔργον ἐτέλεσας. Ε. — Ἐμφατικόν ἐστι τὸ οὐδὲ δὶς λεγόμενον, καὶ τὴν τῆς μαντείας τύχην λοιδορεῖ. Β.

Σ. 109. Θεοπροπέων ἀγορεύεις] Ὅτι δεινῶς καὶ πρὸς τὸ συμφέρον ἑαυτῷ τὴν δημηγορίαν διοικονομεῖται ὁ βασιλεύς· Κάλχας μὲν γὰρ τρία ταῦτα τοῦ βασιλέως, ὡς ἐν προβολῇ, ἐμέμψατο· ὅτι τὸν ἱερέα ἠτίμησεν· ὅτι τὴν θυγατέρα οὐκ ἀπέλυσε· καὶ ὅτι οὐκ ἀπεδέξατο ἄποινα· ὁ δὲ, οἷα ῥήτωρ δεινὸς, τὸ μὲν βαρύτατον σιωπᾷ· ὅτι δηλαδὴ τὸν ἀρητῆρα ἠτίμησεν· ἐπὶ δὲ τοῖς λοιποῖς δυσὶν ἐξελέγχειν τὸν Κάλχαντα βούλεται, ὡς ἀλόγιστα λέγοντα. Καὶ πρῶτα πρὸς τὸ περὶ τῶν ἀποίνων κεφάλαιον ἀποτεινόμενος, κατειρωνεύεται, βαρυνόμενος ὅτι θεοπροπέων ἀγορεύει τοῦδε ἕνεκα τοὺς Ἕλληνας ἀλγεῖν, ὅτι τὰ τῆς Χρυσηίδος οὐκ ἐδέξατο ἄποινα, τρόπον τινὰ λέγων πρὸς τὸ τρίτον κεφάλαιον τὸ οὐκ ἀπεδέξατο ἄποινα, ὅτι τίς ἂν φρονῶν εἴπῃ τὸν Ἀπόλλωνα τοιαῦτα κακὰ κοινὰ ποιεῖν ἡμῖν, ὅτι μὴ δῶρα παρὰ αἰχμαλώτου τοῦ Χρύσου ἐγὼ ἔλαβον, δέον ὂν καὶ χάριτάς μοι ὁμολογεῖν· εἶτα καὶ πρὸς τὸ δεύτερον ἀπολογούμενος τὸ, οὐδ' ἀπέλυσε θύγατρα, φησὶν, ὅτι οὐκ ἐποίησα τοῦτο, ἐπεὶ πολὺ αὐτὴν βούλομαι οἴκοι ἔχειν· προκρίνων αὐτὴν καὶ Κλυταιμνήστρας τῆς κουριδίης ἀλόχου· καὶ ὅρα ὅλον τὸ, ἐπεὶ πολὺ βούλομαι αὐτὴν οἴκοι ἔχειν· δεινοποιῶν γὰρ τὴν ἀπολογίαν, φησὶν, ὅτι, οὐχὶ ὧδε θέλω, ἀλλὰ μάλιστα οἴκοι ἔχειν αὐτήν· ὥστε οὐχ ὡς παλλακήν· καὶ οὐχ ἁπλῶς θέλω, ἀλλὰ βούλομαι, ὅπερ ἐπίτασις τοῦ θέλειν ἐστὶ, καὶ οὐ τυχόντως βούλομαι ἀλλὰ κατὰ πολύ· ἔχει δὲ ἔμφασιν καὶ τὸ ἔχειν, ὡς περὶ γυναικὸς καὶ οὐ δούλης· ἔχεται γὰρ ἡ γυνὴ τῷ ἀνδρί· εἶτα καὶ αἰτίαν προστίθησιν, ὅτι οὐ γάρ ἐστιν αὕτη τῆς Κλυταιμνήστρας χερείων, τὸ

δέμας κ. λ. ταῦτα δὲ λέγει ὁ βασιλεὺς, οὐχ οὕτω φρονῶν, ἀλλὰ τὸν μάντιν ἐλέγχων, ὡς μὴ δέον ὂν χολοῦσθαι τὸν Ἀπόλλωνα, ὥςπερ οὐ διὰ τὸ μὴ δέξασθαι τὰ ἄποινα, οὕτως οὐδὲ διὰ τὴν αἰχμάλωτον, ἣν καὶ τῆς κουριδίης γυναικὸς ὁ ἥρως, βασιλεὺς προβέβουλε· τάχα δὲ καὶ ῥητορικῶς αὐξάνων τὸ πρᾶγμα μεγάλα τὴν αἰχμάλωτον φιλεῖν λέγει ἐπίτηδες, ἵνα τὴν χάριν αὐξήσῃ, καί τι μέγα τοῖς Ἕλλησι φανείη χαρίζεσθαι, εἰ δι᾽ αὐτοὺς τὴν οὕτω φιλουμένην δίδωσι, μήτε λαβὼν ἄποινα, ἀλλὰ καὶ ἑκατόμβην ἐπιδούς. Ε.

Σ. 113. Προβέβουλα] Προβέβουλα δηλοῖ τὸ προκρίνω καὶ πρὸ τῆς Κλυταιμνήστρας βεβούλημαι. Β. Προκέκρικα, προτιμῶ. Σ.

Σ. 114. Κουριδίης ἀλόχου] Κουριδίη ἄλοχος, ἣν τις κόρην ἔτι οὖσαν ἠγάγετο· οὐ μὴν ἢ ἑτέρῳ προςυζευχθεῖσαν εἰς γάμον, ἢ καὶ ἄλλως γραῦν. Τὸ δὲ οὐ ἔθεν, ἤγουν, οὐκ αὐτοῖς ἐστι χερείων. — Παρθενικῆς γυναικός· διατί δὲ ὁ Ἀγαμέμνων τὴν αἰχμάλωτον τῆς γαμετῆς προκρίνει, καὶ οἱ μὲν φασιν, ὅτι ἕνεκεν τοῦ μὴ δοκεῖν τοῖς Ἕλλησιν ἐφ᾽ ὕβρει κατέχεσθαι τὴν κόρην· οἱ δὲ ὅτι ἐπαινεῖ τὴν Χρυσηΐδα, ἵνα μὴ τὰ τυχόντα τοῖς Ἕλλησιν, ἀλλὰ τὰ μέγιστα δοκῇ χαρίζεσθαι· ἔνιοι δὲ, ὅτι ψευδόμενον ἀποδεικνυσιν τὸν Κάλχαντα· πῶς γὰρ ὀργίζοιτο ἂν ὁ θεὸς, τῆς αἰχμαλώτου μηδὲν ἐφύβριστον πασχούσης; Σ.

Σ. 115. Οὐ δέμας] Ἐν δὲ τῷ, οὐ δέμας κ. τ. λ. ἐπαινεῖται ὁ ποιητὴς, ὡς ἐνὶ στίχῳ πᾶσαν γυναικὸς ἀρετὴν ἐμπεριλαβὼν, τὴν τοῦ σώματος εὐσυνθεσίαν, τὸ εὐφυὲς, τὸ συνετὸν, τὸ ἐργατικόν· εὐφυὲς δὲ φαμεν τὸ δεξιὸν τοῦ ἤθους καὶ ἐπαγωγόν· οὐ στερούμενον τὸ κάλλος, δέλεάρ ἐστι, κατὰ τοὺς παλαιοὺς, ἄτερ, ἀγκίστρου νηχόμενον· ἰστέον δὲ, ὅτι σημειοῦνται οἱ παλαιοὶ τὸ δέμας τὸν μὲν ποιητὴν ἐπὶ ἐμψύχου ἀεὶ τιθέναι σώματος, ὡς συνδεδεμένου τῇ ψυχῇ, καὶ δ᾽ αὐτῆς συνεστῶτος. — Δεῖ δὲ εἰδέναι, ὅτι καὶ αὐτὸς ὁ ποιητὴς τὸ δέμας ἐπὶ ἀψύχου ποτὲ τίθησιν, ὡς ἐν τῷ, δέμας πυρός [N. 673.]· ἡ δὲ ἐν τοῖς ἑξῆς εὐφυὴς πτελέα γλυκέως, ὡς ἐν κυριολεξίᾳ, εἴρηται [Φ, 242.]. ἑτέρως δέ γε οἱ μεθ᾽ Ὅμηρον, εὐφυΐαν φασὶ τὴν εἰς μάθησιν δεξιότητα. — Φρένας δὲ νῦν εἶπε τὴν φρόνησιν. Ε.

Σ. 116. Δόμεναι πάλιν] Ὅρα δὲ τὸ τοῦ βασιλέως σεμνόν· εἰ



НБ ОНУ імені І.І.Мечникова

γὰρ καὶ ὁ Κάλχας δεῖν ἔφη ἀποδοῦναι τῷ πατρὶ τὴν κόρην, ἀλλ᾽ ὁ βασιλεὺς δώσειν αὐτήν φησιν· ἑκουσίως δηλαδή· οὐ μὴν ἀποδώσειν, δηλονότι ἀκουσίως. [ἴδ. στ. 98.] — Τὸ δὲ πάλιν ἀντὶ τοῦ ἔμπαλιν, καὶ ὀπίσω καὶ ἐξ ἀρχῆς νοεῖται ἐκφανέστατα· οὐ γὰρ λέγει ὁ βασιλεὺς, ἐκ δευτέρου δώσειν τὴν Χρυσηΐδα, ἀλλὰ πάντως εἰς τὰ ὀπίσω πέμψειν τῷ πατρί.

Σ. 117. Βούλομ᾽ ἐγώ] Ἰστέον δὲ ὅτι ἐκ τῆς Ὁμηρικῆς ἐννοίας τοῦ, βούλομαι ἐγὼ τῆς ἑξῆς, ὠφελημένος ὁ περιᾳδόμενος Φωκίων, ἐν τῷ μέμφεσθαι τοῖς Ἀθηναίοις ἀγνωμονοῦσιν, ἔφη ἐπ᾽ ἐκκλησίας, τό, βούλομαι μᾶλλόν τι ὑφ᾽ ὑμῶν παθεῖν αὐτὸς, ἢ κακόν τι δρᾶσαι αὐτὸς εἰς ὑμᾶς. Ε. — Ὅτι Ζηνόδοτος αὐτὸν [ἴδ. στ. 117.] ἠθέτηκεν, ὡς τῆς διανοίας εὐηθοῦς οὔσης· οὐ δεῖ δὲ αὐτὸν ἰδίᾳ προφέρεσθαι, ἀλλὰ συνάπτειν τοῖς ἄνω· ἐν ἤθει γὰρ λέγεται. Β.

Σ. 119. Ἔοικεν] Ἀγέραστον δηλαδὴ εἶναι τὸν ἐν πᾶσιν, ὡς μετὰ ταῦτα δειχθήσεται, γεραρώτατον. Ε. [ἄνευ τιμῆς ἴδ. Θεοκρ. Τόμ. β΄. σελ. 52. ἔκδ. Βάλκεν.]

Σ. 120. Ἔρχεται ἄλλῃ] Ἤγουν ἀπέρχεται ἀλλαχοῦ. Σ.

Σ. 121. Ποδάρκης] Ὅτι ἐξαίρετον τῶν ἄλλων Ἑλλήνων ἔοικεν ἔχειν τὸ τῶν ποδῶν τάχος ὁ Ἀχιλλεύς· καὶ δὲ καὶ τὸ κάλλος, ὡς ἐν τῇ Βοιωτίᾳ φανήσεται· ἀφ᾽ οὗ καὶ θεοείκελος λέγεται· ὡς καὶ ὁ Πάρις Ἀλέξανδρος, θεοειδής· καὶ γένει μὲν, καὶ ἄλλοι προεῖχον· ἐν ἀνδρείᾳ δὲ, ὁ Αἴας οὐκ εἶχε τὰ δευτερεῖα αὐτοῦ· ἐρεῖ γάρ που ὁ ποιητὴς, ὅτι ἐν αὐτοσταδίᾳ μάχῃ οὐκ ἂν Αἴας ὁ μέγας εἴξῃ οὐδ᾽ αὐτῷ Ἀχιλλεῖ, [Ν, 324]. ποδωκείᾳ μέν τοι πάντων ὁ Ἀχιλλεὺς προεῖχε· καὶ ποδῶν οὐκ ἦν ἐρίσαι αὐτῷ, ὡς ἀλλαχοῦ ὁ ποιητὴς λέγει· διὸ συχνὰ ποδώκη τε αὐτὸν καλεῖ, ἀλλὰ καὶ ποδάρκη, ὅ ἐστιν ἐπαρκοῦντα ἢ ἐξαρκοῦντα τοῖς ποσὶ, καὶ ἐπιπολὺ θέειν δυνάμενον. Ε.

Σ. 122. Ἀτρείδη κύδιστε] Ὅτι τὸ, Ἀτρείδη κύδιστε φιλοκτεανώτατε πάντων, ἐπιπλοκή ἐστιν ἐπαίνου καὶ, ψόγου ἐπιτιμητικὴ, ἐπ᾽ αἰσχύνῃ τοῦ βασιλέως· οἱονεὶ λέγοντος τοῦ Ἀχιλλέως, ὡς οὐκ ἔδει τὸν κύδιστον φιλοκτέανον εἶναι, τῷ κρείττονι πλουτοῦντα, τουτέστι, τῇ δόξῃ. — Ἔστι δὲ φιλοκτέανος, ὁ φιλοκτήμων· ἐπεὶ καὶ ταὐτὸν, κτῆμα καὶ κτέαρ καὶ κτέανον εἰπεῖν. Ε. Οὐ γὰρ γέρως Ἀγαμέμνων, ἀλλὰ κέρδους ἀντεποιεῖτο. Β.

Σ. 124. Κείμενα] Ἀποκείμενα. Σ.

НБ ОНУ імені І.І.Мечникова

Σ. 125. Ἐξεπράθομεν] Ἐξεπορθήσαμεν. Σ.

Σ. 126. Παλίλλογα] Παλισύλλεκτα· ἀντὶ τοῦ, οὐ δίκαιόν ἐστιν, εἰς τὸ αὐτὸ πάλιν συναγαγεῖν τοὺς Ἕλληνας τὰ ἅπαξ φθάσαντα αὐτοῖς διαμερισθῆναι χρήματα. Σ. — Οὐδὲ γὰρ χρὴ γενέσθαι ἀναδασμὸν, ἤγουν δεύτερον μερισμὸν τῶν προμερισθέντων. Ε.

Σ. 129. Δῶσι] Παράσχῃ, τὸ σι ἐπέκτασις. Σ. — Ἐξαλαπάξαι] Κυρίως τὸ ἐκκενῶσαι. — Καταχρηστικῶς δὲ καὶ τὸ πορθεῖν τὸ ἀλαπάζειν λέγεται, ὡς ἐν ταῖς ἁλώσεσιν ἐκκενουμένων τῶν πόλεων. Ε.

Σ. 131. Ἀγαθός περ ἐών] Ἀντειρωνεύεται πρὸς τὸ κύδιστε (στ. 122.)· ὁ δέ περ ἐναντιωματικός ἐστιν· τὸ δὲ ἀγαθὸς σημαίνει καὶ τὸν ἀνδρεῖον, καὶ τὸν φρόνιμον, καὶ τὸν δίκαιον. Η. — Θεοείκελε] Θεοῖς τὸ εἶδος ὅμοιε, ὅ ἐστι τὸ καλλος· εὐειδὴς γὰρ παρὰ πάντας τοὺς ἥρωας Ἀχιλλεὺς καὶ γυναικοπρόσωπος· ὡς καὶ ἐν τῷ Λυκομήδους παρθενῶνι ἀγνοηθῆναι, ὅτι εἴη ἀνήρ. Σ.

Σ. 132. Κλέπτε νόῳ] Ἀντὶ τοῦ παραλογίζου καὶ θέλε ἀπατᾶν· ἔστι δὲ καὶ οὗτος ὁ λόγος κρᾶμα ἐπαίνου καὶ ψόγου· ἰστέον δὲ, ὡς τρεῖς εἰσι τρόποι καθ' οὓς ἐξίσταταί τις τοῦ οἰκείου βουλήματος· ἢ γὰρ πειθόμενος, ἢ ἀπατώμενος, ὅπερ ὁ ποιητὴς παρελεύσεσθαι λέγει ἢ ἄκων, ἐν τῷ κελεύεσθαι· ἅπερ ὁ Ἀγαμέμνων οὐκ ἂν ἐνταῦθα παθεῖν ὑπὸ τοῦ Ἀχιλλέως διανίσταται· οὔτε γὰρ νόῳ κλέπτων, φασὶ, παρελεύσεαί με, ἤγουν παραδράμῃς, οὔτε πείσεις, οὔτε κελεύσεις ἀποδοῦναι τὴν Χρυσηΐδα· τὸ δὲ παρελεύσεαι ἔχει τι λεληθότως καὶ σκωπτικόν· οἱονεὶ γὰρ λέγει, ὅτι εἰ καὶ τῇ ποδωκείᾳ παρελθεῖν με δύνασαι, ἀλλὰ ἀπατῶν καὶ δολιευόμενος οὐκ ἄν με νικήσαι παρέλθῃς. Ε. — Οὐ παρέλθῃς, οὐ νικήσεις με· ἀπὸ μεταφορᾶς τοῦ δρόμου, ἐν ᾧ [ὁ] παρελθὼν νικᾷ. Σ.

Σ. 133. Ἦ ἐθέλεις] Ὅτι τὸ ἐθέλειν καὶ τὰ ὅμοια προαιρετικὰ ῥήματα, οἷον τὸ αἱρεῖσθαι· τὸ βούλεσθαι, τὸ γλίχεσθαι, τὸ ἐφίεσθαι, καὶ τὰ ὅμοια, δύο συντάξεις ἔχουσι, μίαν μετὰ ἀπαρεμφάτου ῥήματος, οἷον αἱροῦμαι λέγειν, ἐθέλω γράφειν. — Καὶ τὰ ἐφεξῆς ὁμοίως· ἑτέραν δὲ μετὰ ἐγκλίσεως ὑποτακτικῆς· οἷον ἐθέλω, ἵνα γράφω, βούλομαι, ἵνα λαλῶ, καὶ τὰ ἄλλα ὡσαύτως· ταύτας τὰς δύο συντάξεις ὁ ποιητὴς ἐν

НБ ОНУ імені І.І. Мечникова

μιᾷ ἐννοίᾳ ἐνταῦθα τιθεὶς, φησίν· ἢ ἐθέλεις κ. τ. λ. Ε. — Αὔτως] Ἐμὲ δὲ ματαίως. Σ.

Σ. 135. Ἀλλ' οἱ μὲν] Ὅτι σχῆμα ἐλλειπτικὸν ἐνταῦθα, τὸ, ἀλλ' εἰ μὲν δώσουσι — εἰ δὲ μὴ δώσουσιν, ἐγὼ ποιήσω τάδε· χωλεύει γὰρ ἡ σύνταξις, καὶ μένουσα ἐκκρεμὴς, οὐκ ἀπήρτισται· λείπει γὰρ τὸ ἐφησυχάσω ἢ παύσομαι, ἢ τοιοῦτόν τι· ἐλλέλειπται δὲ ἀρχαϊκῶς διὰ τὸ πάνυ δῆλον καὶ αὐτόθεν φανερόν. Ε.

Σ. 136. Ἄρσαντες κατὰ θυμόν] Ἁρμόσαντες κατὰ τὴν ψυχήν. Ἀντάξιον] Ἴσον τῇ τιμῇ, ἄξιον, ἰσότιμον. Σ. — Τηρητέον δὲ, ὅτι τὸ ἀντάξιον οὐ μάτην ὁ βασιλεὺς προσέθετο, ἀλλ' εἰς ἀφορμὴν πάλιν ἔδιρος· ἵνα κἂν τυχὸν γέρας αὐτῷ θέλωσιν οἱ Ἕλληνες δοῦναι, ἔχῃ αὐτὸς πάλιν καὶ οὕτω κατὰ τοῦ Ἀχιλλέως θυμοῦσθαι, προβαλλόμενος, μὴ εἶναι τὸ γέρας ἀντάξιον. — Τὸ δὲ ἄρσαντες κατὰ θυμὸν, ἀρχή ἐστι καὶ ἀφορμὴ τῆς τοῦ θυμήρους συνθέσεως· πάντως γὰρ ὅπερ τις ἄρσει κατὰ θυμὸν, ὅ ἐστιν, ἁρμόσει ἢ ἀρέσει, θυμῆρες ἐκεῖνό ἐστι. Ε.

Σ. 138. Ἢ τέον] Ἢ τὸ σὸν, ὅ ἐστι τὴν Βρισηΐδα — ἢ Αἴαντος· Τέκμησσαν λέγει, τὴν Τελεύταντος θυγατέρα — ἢ Ὀδυσσῆος· Λαοδίκην λέγει Κύκνου θυγατέρα. Σ. Ὅτι καὶ ἡ παροιμία φασὶν, ὡς αἱ δεύτεραί πως φροντίδες σοφώτεραι, καὶ ὁ ποιητὴς δὴ πολλαχοῦ τοῦτο αὐτοῖς ἔργοις ὑποδηλοῖ, ἐν οἷς τὰς δευτέρας συμβουλὰς κρεῖττον ἤπερ τὰς προϋπαρξάσας μελετᾷ πραγματικῶς· οὕτω αὖ γοῦν ἐνταῦθα καὶ ὁ βασιλεὺς τὰ μὲν πρῶτα οὐ μόνον τῷ Ἀχιλλεῖ, ἀλλὰ καὶ τοῖς μηδὲν αἰτίοις, συναπειλεῖται· τῷ τε Ὀδυσσεῖ καὶ τῷ Αἴαντι. — Εἶτα μεταγνοὺς, ὡς οὐ καλῶς ἀπειλησάμενος ταῦτα μὲν μεταφράσασθαι λέγει καὶ ὕστερον· τελευτῶν δὲ, εἰς μόνον ἀποτείνει τὸν Ἀχιλλέα τὰ τῆς ἀπειλῆς. Ε.

Σ. 140. Μεταφρασόμεσθα] Ὅμηρος μεταφράζεσθαί φησι, τὸ μεταβουλεύεσθαι. Ἰστέον δὲ, ὅτι τὸ τὸ, Ἀλλ' ἤτοι — ὑστεροβουλίας ἐστι σκοπός· ὃ δὴ καὶ ἐπιφράζεσθαι καὶ ἐπιμηθεύεσθαι λέγεται. Καὶ ὅτι ἀνωτέρω τούτου στίχος εἷς κεῖται, δοκῶν, κατὰ τὸν Λογγῖνον, εἶναι παρένθετος. — Ἀρκεῖ τὸ γάρ, φησιν, εἰς τελείαν ἔννοιαν τὸ ἄνω αὐτοῦ κείμενον ἔπος, καὶ τὸ ἐφεξῆς δὲ τοῦ ἄξω ἑλὼν, ὁ δὲ κεχολώσεται, ὃν ἂν ἵκωμαι, εἰς οὐδὲν δέον ἐκ περισσοῦ τίθειται. Τίς γὰρ οὐκ οἶδεν, ὡς λυπήσεται ὁ ἀδικηθείς. Ε.

НБ ОНУ імені І.І. Мечникова

Σ. 141. Μέλαιναν] Βαθεῖαν, ἢ πίσσῃ κεχρισμένην. Σ.

Σ. 142. Ἀγείρομεν] Ἰστέον, ὡς τὸ ἐρύσομεν, ἀγείρομεν, θείομεν, βήσομεν, εἰ καὶ συμβουλευτικά εἰσιν, ὅμως οὐ μεγεθύνουσι τὴν παραλήγουσαν. Ἴωνες γὰρ ἀδιαφοροῦσι περὶ τὰ τοιαῦτα ὡς μυριαχοῦ φανήσεται. Ε.

Σ. 144. Βουληφόρος] Ὅτι βουληφόρος παρὰ τῷ ποιητῇ, οὓς νῦν τῆς συγκλήτου φαμέν· ἰστέον γάρ, ὅτι ἡ μὲν ἀγορὰ παντὸς ἦν τοῦ δήμου κοινή, καὶ κηρύγματι ἐξακούστῳ ἠθροίζοντο, ἡ δὲ βουλή, τῶν ἐκκρίτων μόνων, συγκαλουμένων ἰδίᾳ, καὶ οὐ μετὰ τοῦ πλήθους. Ε. Βουληφόρος· ᾧ τὰ κοινὰ τῆς βουλῆς ἐπανεφέρεται.

Σ. 146. Ἐκπαγλότατ'] Τὸ δ' ἐκπαγλότατε, ἐκ τοῦ ἐξεπλάγη δευτέρου ἀορίστου γενόμενον, ὤφειλεν ἐκπλαγώτατε εἶναι διὰ τοῦ ω μεγάλου· ἐπεὶ δὲ ἡ τοιαύτη γραφὴ ἀσυντελὴς ἦν δακτυλικῷ μέτρῳ, γέγονε μετάθεσις τοῦ λ ἐπὶ τὰ ἔμπροσθεν· ὡς ἂν οὕτω σμικρυνθέντος τοῦ ο διὰ τὴν πρὸ αὐτοῦ μακρὰν συλλαβήν, γένηται ἡ λέξις εἰς δάκτυλον χρήσιμος· σημείωσαι δέ, ὅτι τὸ ἐκπαγλότατε, δόξειε μὲν ἂν μέτριόν τι σκῶμμα εἶναι, καί πως ὅμοιον ὡς ἐν εἰρωνείᾳ τῷ, θαυμάσιε, ὃν δηλαδὴ ἐκπλαγείς τις θαυμάσεται· ἔχει δὲ πολύ τι βαρύτητος· διὸ καὶ εἰς θυμὸν ἐκμαίνει τὸν Ἀχιλλέα· ἔχει δέ τι σφοδρότητος καὶ τὸ σχῆμα ἡ ἀποστροφή. Ε. Ἵνα ἢ ἀπελθὼν ἠπιωθῇ, ἢ μὴ ἀπελθών, τὴν τοῦ λοιμοῦ αἰτίαν αὐτὸς ἐξῇ. Β.

Σ. 148. Ὑπόδρα] Ὅτι τὸ ὑπόδρα ἰδὼν, ἀντὶ τοῦ δραστικὸν καὶ δριμύ, ὡς ἀπὸ τοῦ δρῶ, τὸ πράττω· μάλιστα δὲ ὡς ὀρθῶς δοκεῖ τοῖς παλαιοῖς, ἀντὶ τοῦ ὑποβλεπτικῶς, παρὰ τὴν ὑπὸ πρόθεσιν καὶ τὸ ὁρῶ, τὸ βλέπω, καὶ οἱονεὶ διορῶ· ἐξ οὗ φασι καὶ τὸ δέρκω παράγωγον. — Ὡς τῆς ὄψεως μὴ κατὰ φύσιν ἐχούσης τοῖς ὀργιζομένοις· ἀλλά πως παρατιθεμένης καὶ ὑποβαλλομένης· ὅθεν καὶ βλοσυρὸς λέγεται, ὁ τὸ βλέμμα ὑποσαύρων. Ε.

Σ. 149. Ἀναιδείην ἐπιειμέν'] Ἀντὶ τοῦ προφανῆ ἔχων ἀναίδειαν καθά τι περίβλημα, κατὰ τὸ ἐπιειμένος ἀλκήν· καλεῖ δὲ αὐτὸν καὶ κερδαλεόφρονα, ὥσπερ καὶ φθάσας φιλοκτεανώτατον ἔσκωψεν αὐτόν· δοκεῖ δὲ τοῖς παλαιοῖς φύσει ὁ φιλοχρήματος καὶ ἀναιδὴς εἶναι· δῆλον δέ, ὡς κερδαλεόφρων ἐστὶ καὶ ὁ ὕπουλος, δίκην κερδοῦς, ὅ ἐστιν ἀλώπεκος τῆς δολίας· ἢ ὁ τὰ πρὸς κέρδος ἤτοι δόλον φρονῶν. Ε. — Κερδαλεόφρον]

НБОНУ імені І.І.Мечникова

Πανοῦργε τὸ φρόνημα, ἢ περικερδῆ τὸν νοῦν ἔχων, τοῦτ' ἔστι κερδαίνειν φρονῶν. Σ.

Σ. 151. Ὀδὸν ἐλθέμεναι] Ἡ εἰς ὁδὸν παραγενέσθαι, ὅ ἐστιν εἰς ἐνέδραν κατελθεῖν. Σ. Ὅτι δύο οἶδεν ἐνταῦθα τρόπους πολέμου ὁ ποιητής· ἢ ὁδὸν ἐλθεῖν, ἢ ἀνδράσιν ἶφι μάχεσθαι. [ἴδ. στ. 226. 27.] Ἔστι δὲ ὁδὸν μὲν ἐλθεῖν, τὸ τοὺς ἀριστεῖς εἰς λόχον ἀπελθεῖν, ὡς δοκεῖ τοῖς παλαιοῖς. — Ἶφι δὲ μάχεσθαι, τὸ κοινῶς μετὰ τοῦ λαοῦ ἐξ ἀντιπαρατάξεως φανερᾶς· ὅπερ καὶ ἔστι κυρίως ἶφι πολεμεῖν· ὡς τοῦ λόχου δόλῳ, καὶ οὐ τοσοῦτον ἰσχύϊ εὐοδουμένου. — Δύναται δὲ καὶ ἄλλως ὁδὸς πλατυκώτερον λέγεσθαι πρὸς διαστολὴν ἀντιπροσώπου παρατάξεως, καὶ τὸ ἐπὶ λεία ἀπελθεῖν που· καὶ τὸ ἐπὶ κατασκοπεύσει λαοῦ, ἢ τείχους ἀναμετρήσει. Ε.

Σ. 152. Αἰχμητάων] Ὅτι αἰχμηταὶ μὲν ἁπλῶς οἱ στρατιῶται, καὶ καλοῦνται οὕτως ἀπὸ ἑνὸς μέρους τῶν ὅπλων, ἤτοι τῆς αἰχμῆς· ὥσπερ καὶ ἀπὸ κνημίδων, εὐκνήμιδες, οἱ καθόλου εἰπεῖν εὔοπλοι· καὶ ἀπὸ θώρακος, θωρηκταί, καὶ ἀπὸ ἀσπίδων, ἀσπιδιῶται καὶ ἀσπισταί, καὶ ἀπὸ κόρυθος, κορυθάϊκες καὶ κορυθαίολοι καὶ κορυσταί· προςτεθέντων δὲ καὶ τῶν ἵππων, ἱπποκορυσταί, καὶ ἀπὸ δοράτων, δορύκλυτοι· ὁπλῖται μέντοι μεθ' Ὅμηρον, ἀπὸ γενικοῦ ὀνόματος τῶν ὅπλων ἐκλήθησαν· ὥςπερ καὶ ὁπλότεροι οἱ νέοι καὶ ὑπέροπλοι, οἱ αὐθάδεις. Ε.

Σ. 153. Αἴτιοί εἰσιν] Ὅτι αἴτιος παρ' Ὁμήρῳ λέγεται ὁ αἰτιατέος, καὶ ὑπὸ μέμψιν καὶ αἰτίασιν κείμενος· καὶ ἀπολύτως λαμβάνεται. — Οἱ δὲ μεθ' Ὅμηρον ἄλλως χρῶνται τῇ λέξει. Ε.

Σ. 154. Οὐ γὰρ κ. τ. λ.] Ἐταῦθα δὲ δηλοῖ ὁ ποιητής, ὅτι πολέμου ἀφορμὴ τοῖς παλαιοῖς ὡς ἐπιπολὺ, τὸ βοῦς ἢ ἵππους ἀπελάσαι πόθεν, ἢ καρπὸν γῆς ἐπιδραμόντας δηλήσασθαι, ἤγουν βλάψαι. Σημείωσαι δὲ ὅτι ἡ διάφορος σημασία τῶν ῥημάτων διαφόρους πολλάκις συζυγίας ποιεῖ· δηλῶ μὲν γὰρ δηλώσω, τὸ φανερὸν ποιήσω, δηλῶ δὲ δηλήσω, τὸ βλάψω· οὕτω καὶ νοῶ, νοήσω, τὸ εἰς νοῦν λήψομαι, νοώσω δὲ, τὸ ἐμβαλῶ νοῦν· καὶ πολεμήσω μὲν, τὸ μαχήσομαι, πολεμώσω δὲ, τὸ κινήσω ἕτερον εἰς μάχην, καὶ σταθμῆσαι μὲν τὸ ζυγοστατῆσαι, σταθμώσασθαι δὲ παρὰ Ἡροδότῳ, τὸ στοχάσασθαι· καὶ βοήσω μὲν, τὸ τρανῶς φωνήσω, βοώσω δὲ τὸ μεταμορφώσω εἰς βοῦν· καὶ τὸ σκηνῶ δὲ, σκηνώσω, ἐξ οὗ καὶ σκήνωμα, καὶ τὸ σκηνῶ σκη-

НБ ОНУ імені І.І. Мечникова

νήσω, ἀφ᾽ οὗ οἱ σκηνῆται, διαφορὰν ἔχουσι φανεράν· ὁμοίως καὶ τὸ ζηλῶ ζηλώσω, τὸ πρωτότυπον τοῦ ζηλωτοῦ, καὶ τὸ ζηλῶ ζηλήσω, τὸ τοῦ ζηλήμονος, καὶ τὸ κυκλῶ, κυκλώσω καὶ κυκλήσω, κ. λ. —Τὰς βοῦς δὲ θηλυκῶς, Ἴωνές φασι, ἤδη δὲ καὶ Ἀττικοί, ὥςπερ καὶ τὰς ὄϊς καὶ τὰς ἵππους καὶ τὰς ἡμιόνους καὶ τὰς κύνας. — Σημείωσαι δὲ, ὅτι ἐνταῦθα μὲν ἐλάσαι, τὸ πολέμου νόμῳ ἀπελάσαι· λέγεται δὲ καὶ ἐπὶ σιδήρου ἐλάσεως καὶ ἐπὶ κτίσεως τείχους καὶ ὀρύξεως τάφρου καὶ ἱππηλασίας. Ε.

Σ. 155. Ἐν Φθίῃ] Ὅτι τὴν Φθίαν, ἤγουν τὰ νῦν κατά τινας λεγόμενα Φάρσαλα, τὴν τοῦ Ἀχιλλέως πατρίδα, ἐριβώλακα λέγει, διὰ τὸ πίονα εἶναι τὴν ἐκεῖσε γῆν, — ἧς τὸ τοπικὸν καὶ Φθιώτης καὶ Φθῖος λέγεται Ε. Φθία πόλις Θεσσαλίας παραθαλασσία, πατρὶς Ἀχιλλέως. Σ.

Σ. 157. Σκιόεντα] Ἰστέον δὲ, ὅτι σκιόεντα μὲν ἀπὸ τοῦ παρακολουθοῦντος λέγει τὰ δασέας καὶ σκιᾶς ἀποτελεστικὰ, διὰ τὸ τῆς ὕλης λάσιον. Ε.

Σ. 158. Ἀρνύμενοι] Ὅτι τὸ ἄρνυσθαι παρὰ τοῖς παλαιοῖς κυρίως ἐπὶ τοῦ ἀντικαταλάσσεσθαι ἔκειτο — τιμὴν τὴν τιμωρίαν· φασίν. — Οἱ γὰρ Ἕλληνες πολιορκοῦντες τὴν Τροίαν, τιμωρίαν ταύτην τοῖς βασιλεῦσιν ἀντικαταλλάσσονται τῆς ὑπὸ Τρώων πεπλημμελημένης εἰς τὴν Ἑλένην ἁρπαγῆς, — καίτοι οὐ κακῶς ἔχει καὶ ἐπὶ κλέους ἐνδόξου νοηθῆναι τὴν τιμὴν, ὡς ἐν τοῖς ἑξῆς φαίνεται· καὶ γὰρ ὁ βασιλεὺς ἐρεῖ μετ᾽ ὀλίγα· ὅτι πάρεισι καὶ ἄλλοι, οἵ κέ με τιμήσουσιν. Σ.

Σ. 160. Μετατρέπῃ] Ἐπιστροφὴν ποιῇ, ἢ φροντίζεις. Ε. ὅτι ὅπερ ἐν Ὀδυσσείᾳ [Α, 60] εἶπεν ἐντρέπεσθαι, ἤγουν ἐπιστρέφεσθαι, τοῦτο ἐνταῦθα μετατρέπεσθαι λέγει· οὗ ἑρμηνεία ποιητικὴ τὸ ἀλεγίζειν, ὅ ἐστι, λόγον ἔχειν. Ε.

Σ. 161. Ἀφαιρήσεσθαι] Βαρὺ δὲ ἡγεῖται καὶ ὅτι ἀφαιρεῖται ἀπ᾽ αὐτοῦ ὁ βασιλεὺς, ὃ μὴ δέδωκεν αὐτὸς, ἀλλ᾽ οἱ Ἀχαιοί. Ε.

Σ. 165. Πολυάϊκος πολέμοιο] Πρὸς ὁμοιότητα τοῦ τριχάϊξ τριχάϊκος κεῖται τὸ πολυάϊκος πολέμοιο, διὰ τὰς ἐν αὐτῷ πολλὰς ὁρμὰς καὶ μετατροπάς· ὧν ἕνεκα καὶ Ἄρης ἀλλοπρόσαλλος ῥηθήσεται ἐν τοῖς ἑξῆς. Ε. Πολλὰς ὁρμὰς καὶ κινήσεις ἔχοντος, ἀστάτου. Σ.

Σ. 167. Σοὶ τὸ γέρας] Οἰκεῖα δὲ ταῦτα λέγεσθαι παρὰ τῶν φι-

НБ ОНУ імені І.І. Мечникова

λοπονούντων μὲν, ἐν αὐταρκείᾳ δὲ ζώντων, πρὸς τοὺς πλεονεκτεῖν θέλοντας. Ἰστέον δὲ, ὅτι λείας ἐπισυναχθείσης πολλῆς, ἀμερίζοντο ἐπίσης τὰ λάφυρα διά τινος λαχμοῦ· ἐδίδοντο δὲ ἰδίᾳ τοῖς βασιλεῦσι καὶ ἀριστεῦσι κατ᾽ ἐξαίρετον, ἀπόμοιραί τινες· αἳ δὴ καὶ γέρας ἐλέγοντο. — Τῷ μέν τοι βασιλεῖ ἐκ τῆς λείας καί τι πλέον ἢ τὸ γέρας προσεπεδίδοτο, καθά τινές φασι τῶν παλαιῶν, ἵνα ἔχῃ δαπανᾷν αὐτὸ, καὶ μὴ τρύχεσθαι ἀναλῶν τὰ οἰκεῖα εἰς τὰ κατὰ καιρὸν τῶν ἀριστέων συμπόσια εἰωθότα γίνεσθαι, ὡς ἐν πολλοῖς τῶν Ὁμήρου φαίνεται· καὶ ταῦτά εἰσιν ἐφ᾽ οἷς πλεονεξίαν καὶ κερδαλεότητα τοῦ βασιλέως ὁ Ἀχιλλεὺς κατηγορεῖ· ὡς δῆθεν νοσφιζομένου πολλὰ ἐξ ἐκείνων, καὶ, ὡς εἰπεῖν, δημοβόρου· ὅπερ μετ᾽ ὀλίγα ἐρεῖ. Ε.

Σ. 168. Ἐπήν κεκάμω] Ἰστέον δὲ, ὅτι οὐ πάντες ἀρέσκονται γράφειν, κεκάμω· ἀλλ᾽ οἱ πλείους τὸ κὲ συνδετικὸν ἔχοντές φασιν, ἐπήν κε ἤγουν ἐπειδὰν κάμω. Ε.

Σ. 169. Φέρτερον] Ὅτι φέρτερον πρᾶγμα λέγει ὁ ποιητὴς, τὸ παρ᾽ ἡμῖν προφερέστερον καὶ κρεῖττον καὶ διαφέρον ἢ ὑπερφέρον τῶν ἄλλων. — Καὶ τὸ πολὺ φέρτερον διὰ τὴν προσθήκην τοῦ πολὺ, ταὐτόν ἐστι τῷ, φέρτατον. Ε.

Σ. 170. Κορωνίσιν] Ὅτι ἀπὸ τοῦ ζώου τῆς κορώνης, εὐλύγιστον ἐχούσης τὸν τράχηλον, ἡ τῶν θυρῶν κορώνη μετήνεκται· ἀπὸ δὲ τῆς τῶν θυρῶν ταύτης κορώνης διὰ τὸ ἐπικαμπὲς τοῦ ὀργάνου, ἴσως δὲ ἀπὸ τοῦ ζώου καὶ κορωνίδες λέγονται νῆες, οὐ μόνον, ὡς κατὰ τὴν κορώνην μέλαιναι, ἀλλὰ καὶ ὡς τὰ ἄφλαστα, τὰ κατὰ πρῶραν καὶ πρύμναν, οἷα ἐν λυγισμῷ ἐπικαμπτόμενα ἔχουσαι. — Ἰστέον δὲ, ὡς εἴπερ νῆες κορωνίδες, αἱ μέλαιναι λέγονται, πρὸς διαστολὴν οὕτω καλοῦνται τῶν μιλτοπαρῄων, ἃς ἡ βοιωτία δηλοῖ· κοῖλαι μέν τοι, οὐ διασταλτικῶς ὀνομάζονται. Ε.

Σ. 171. Ἐνθάδ᾽ ἄφενος] Ὅτι κατὰ τοὺς παλαιοὺς, ἄφενος μὲν, ὁ δι᾽ ὀλίγου συναγόμενος, (ἡ ἀπὸ ἑνὸς ἐνιαυτοῦ περιουσία·) πλοῦτος δὲ, ὁ διὰ πολλῶν ἐτῶν. — Ἀφύσσειν δὲ τὸ ἀντλεῖν ἐνταῦθα, καὶ δηλοῖ τὴν τοῦ πλουτεῖν δαψίλειαν. — Ἄτιμος] Ἀγέραστος. Ε. Ἄτιμος ἐών· ἐνταῦθα ἀτιμαζόμενος· ἐνήλλακται δὲ ἡ πτῶσις· ἀντὶ γὰρ γενικῆς κέχρηται ὀνομαστικῇ. Σ.

Σ. 173. Φεῦγε μάλ᾽] Ὅτι Ἀχιλλέως εἰπόντος, ἄπειμι Φθίηνδε, ὁ Ἀγαμέμνων ἀστείως ἀντιλέγων φησί· φεῦγε μάλα, κ. τ. λ. μυκτηρίζων τε ὡς οὐδὲν χρήσιμον ὄντα, καὶ τὴν παρ᾽

НБ ОНУ імені І.І. Мечникова

ἐκείνου λεγομένην ἀπέλευσιν φυγὴν οἷον εὐσχήμονα ὀνομάζων,
ὡς δειλανδρήσαντος. Ε. — Θυμός] Τοῦτο τὸ ὄνομα σημαίνει πα-
ρὰ τῷ ποιητῇ πέντε· τὴν ὀργήν, τὴν ψυχήν, τὴν ἐπιθυμίαν,
τὸν ἐπιλογισμόν, τὴν ὁμόνοιαν.
τὸ δὲ ἕνεκα ἐμεῖο οὐκ ἀργῶς κεῖται·
Σ. 174. Εἵνεκ' ἐμεῖο] Τὸ δὲ ἕνεκα ἐμεῖο οὐκ ἀργῶς κεῖται·
ἀλλ' ἐπεὶ φθάσας ὁ Ἀχιλλεὺς εἶπεν, ὡς οὐ διὰ τὰς Τρῷας ἦλθε
πολεμήσων, ἀλλὰ διὰ τοὺς Ἀτρείδας. Ε.
Σ. 175. Μάλιστα κ. τ. λ.] Ἐπεὶ οὐ πάνυ ἔνδοξον τὸ τὸν βασι-
λέα τῷ δήμῳ χαρίζεσθαι, ἐπήγαγεν ἐνδοξότερον τό, μάλιστα δὲ
μητιέτα Ζεύς. — Καὶ οὕτω πρὸς τὴν τοῦ Ἀχιλλέως δημη-
γορίαν ὁ βασιλεὺς ἀντειπεῖν προθέμενος, ὅμως πρὸς τὸ ἀν-
δρεῖον ἐκεῖνον εἶναι, καὶ αὐτὸν μὲν τὸ πλεῖον τοῦ πολέμου
χερσὶ διέπειν, ἀρκεῖσθαι δὲ ὀλίγα λαμβάνοντα, οὐκ ἀντεῖπε,
διδάσκοντος τοῦ ποιητοῦ καὶ ἐνταῦθα, μὴ δεῖν ἀπαναισχυντεῖν
πρὸς φανερὰν ἀλήθειαν. — Μητιέτα] (Ἴδ. στ. 508.) Ὅτι καὶ-
νός τίς ἐστι μεταπλασμὸς ὁ τῶν εὐθειῶν, τῶν εἰς ης ἀρσενι-
κῶν ὀνομάτων, ὅτε εἰς α μεταπλασθῶσιν κατὰ τὴν λήγουσαν.
— Ἔστι δὲ κατὰ τοὺς παλαιούς, Βοιωτῶν καὶ Αἰολέων ὁ τοι-
οὗτος τύπος τοῦ σχηματισμοῦ. Ε.
Σ. 176. Ἔχθιστος ... ἐσσί] Ἰστέον δέ, ὅτι τὸ ἔχθιστος ἐνταῦθα
οὐκ ἔστι κυρίως ὑπερθετικόν, ἀλλὰ ἁπλῶς εἴληπται ἀντὶ τοῦ ἐχ-
θρός, ἵνα μὴ ἀναγκασθείη τις νοῆσαι, ὅτι πάντες μὲν ἐχθροὶ
ἦσαν τῷ Ἀγαμέμνονι, ἔχθιστος δὲ ὁ Ἀχιλλεύς. — Ὡς δὲ πολλὰ
ὑπερθετικά, ὥσπερ δὴ καὶ συγκριτικὰ εἰς ἁπλότητα λαμβά-
νονται, μυριαχοῦ φανεῖται· ὧν καὶ τὸ θεῶν ὀλοώτατος [Ἰλ.
Χ, 15.] ἀντὶ τοῦ, ὀλοὸς ἐν θεοῖς, καὶ τὸ σαώτερος ὥσκε
νέηαι, [Α, 32.] ἤγουν σῶος ὅπως ἀπέλθῃς. Ε.
Σ. 178. Εἰ μάλα] Ὅτι καταβλητικὸν ὀφρύος μεγαλαύχου,
τό, εἰ μάλα — ἔδωκεν· εἰ γὰρ οὐδὲ ἐπὶ τοῖς ἐφ' ἡμῖν ἀλα-
ζονεύεσθαι χρή, πολλῷ πλέον ἐπὶ τοῖς μὴ ἐφ' ἡμῖν. Ε. —
Οὐ τυχίαν, οὐκ ἀρετὴν ἰδίαν αὐτῷ μαρτυρεῖ.
Σ. 180. Μυρμιδόνεσσι] Αἴγιναν τὴν τοῦ Ἀσωποῦ
τοῦ ποταμοῦ Θηβῶν θυγατέρα ἁρπάσας ὁ Ζεύς, κατῆλ-
θεν εἰς φλιοῦντα, καὶ φθείρας τὴν προειρημένην ἔγκυον ἐποίη-
σεν· ἥτις Αἰακὸν ἐγέννησεν· Ἀσωπὸς δὲ τὴν θυγατέρα ζητῶν
ἔμαθε παρὰ Σισύφου καὶ τὸν ἁρπάσαντα, καὶ τὸν τόπον, εἰς
ὃν καταληλύθει· μὴ μελλήσας οὖν ἔσπευσε. Μέλλων δὲ ὁ Ζεὺς
ἐπ' αὐτοφώρῳ καταλαμβάνεσθαι, τὴν μὲν Αἴγιναν μετεμόρφω-

σεν εἰς ὁμώνυμον νῆσον, αὐτὸς δὲ μετεβλήθη εἰς λίθον· ἐλθὼν δὲ ὁ Ἀσωπὸς, καὶ μηδ' ὄντα τινὰ καταλαβὼν, ἔμπαλιν εἰς τὰς ἰδίας ὑπέστρεψε πηγάς· βουλόμενος δὲ ὁ Ζεὺς τιμωρῆσαι τὸν μηνύσαντα, ἠνάγκασεν αὐτὸν ἐν τοῖς ὑποχθονίοις, τοσοῦτον μέγεθος πέτρον ἀνωθεῖν, εἰς ὅσον αὐτὸς μετεβλήθη. Αἰακοῦ δὲ ἐν τῇ νήσῳ μόνου ὄντος, ὁ Ζεὺς κατῳκτείρας, τοὺς αὐτόθι μύρμηκας μετέβαλεν εἰς ἀνθρώπους, ἀφ' ἧς αἰτίας Μυρμιδόνες ἐκλήθησαν. Σ. Ὅτι οἱ κατὰ κλῆσιν ἐθνικὴν Μυρμιδόνες κεκλημένοι οἱ τῷ Ἀχιλλεῖ ὑποτεταγμένοι, Φθιῶται ἐλέγοντο. — Κληθῆναι δέ φασι τὴν ἀρχὴν Μυρμιδόνας πρώτους τοὺς περὶ Αἴγιναν· νῆσος δὲ αὕτη πρὸ τῆς Ἀττικῆς· προσαναπλάττοντες μῦθον τοιοῦτον· ὡς ἄρα εἶχε μὲν Αἰακὸς τὴν νῆσον τὴν Αἴγιναν· σπάνις δὲ ἦν τῶν ἀρχομένων δι' ὀλιγανθρωπίαν· μικροβασιλείας δὲ οὔσης αὐτῷ τῆς ἀρχῆς, δέεται τοῦ πατρὸς Διός· κἀκεῖνος τοὺς ἐκεῖ μύρμηκας εἰς ἀνθρώπους μεταποιεῖ· κἀκεῖθεν εἰς πλῆθος οἱ ἀρχόμενοι ἐπιδεδώκασι τῷ Αἰακῷ, καὶ οἱ τοιοῦτοι ἐκ τῆς αὐτῶν πρωτογόνου φύτλης, μυρμιδόνες παρωνομάσθησαν. — Οἱ δὲ τὸν μῦθον ἱστορικῶς θεραπεύοντες, γεωρύχους τοὺς Αἰγινήτας εἶναί φασι, κοιλαίνοντας τὴν γῆν, δίκην σπηλαίων, καὶ ὑπὸ μὲν τὰς καταδύσεις οἰκοῦντας· τὸ δὲ ἀναβαλλόμενον χῶμα εἰς εὔχρηστον καρποῖς γῆν διαπετανύοντας, διὰ τὸ τὴν νῆσον, τὰ μὲν ἄνω, τραχεῖαν εἶναι, ἀγαθὴν δὲ τὰ ἔνερθεν· διὰ τοῦτο τοίνυν τοὺς ταῦτα ποιοῦντας μύρμηξιν εἰκάζοντες οἱ ἰδόντες, διὰ τὸ τῆς διαίτης, ὡς εἰπεῖν, μυρμηκόβιον, μυρμιδόνας ἐπεκάλουν αὐτούς· ἐκεῖθεν δὲ ὕστερον τῷ Αἰακῷ συμμετοικισθέντες τινὲς εἰς Φθίαν συναπήγαγον ἑαυτοῖς καὶ τὴν κλῆσιν· καὶ τοὺς μὲν πατριώτας νησιώτας, Αἰγινήτας ἀφῆκαν καλεῖσθαι, τοὺς δὲ φθιώτας, ἐξ ἑαυτῶν, εἰς μυρμιδόνας μετέθεντο. — Ἕτεροι δὲ ἀγαθὸν εἶναι τὸν Αἰακὸν ἱστοροῦντες τὰ εἰς τὸ ἄρχειν, φασὶν ἀπὸ πολλῆς ὅτι μάλιστα λειπανδρίας τὴν ὑπ' αὐτῷ γῆν εἰς πολυανθρωπίαν ἐπαυξηθῆναι· κἀντεῦθεν διαδοθῆναι τὸν μῦθον, ὡς ὅτιπερ οἱ κατὰ χώραν μύρμηκες, ἄνδρες τῷ Αἰακῷ ἐγένοντο κατ' εὐχήν· εἴωθε δὲ ἡ παροιμία καὶ ἐν ἄλλοις τὸ πολὺ τῆς εὐτυχίας ἀπὸ μυρμήκων λαλεῖν· ὡς καὶ ὅτε μυρμηκίαν φησὶν ἀγαθῶν. Ε. — Ὅτι τὸ ἀνάσσειν, ὥσπερ καὶ τὸ ἡγεῖσθαι καὶ τὸ ἄρχειν, **ποτὲ μὲν** γενικῇ, ποτὲ δὲ δοτικῇ **συντάσσεται**. Ε.

НБ ОНУ ім. І.І. Мечникова

Σ. 181. Κοτέοντος] Ὅτι κοτέοντα ἐνταῦθα λέγει τὸν
νῦν πρώτως θυμοῦσθαι ἀρξάμενον Ἀχιλλέα, παραχρώμενος πάν-
τως τῇ λέξει· τὸ γὰρ τοιοῦτον χολοῦσθαι μᾶλλόν ἐστιν· ὁ
γὰρ κότος, ὡς προεγράφη, (στ. 1.) χόλος ἐστὶν ἀποκείμενος·
μετ' ὀλίγα μέντοι κυριολεκτῶν, χόλον παύσειέ φησιν. — Ὄθο-
μαι] Ἐπιστρέφομαι, μετακινοῦμαι. Ε.

Σ. 184. Ἐγὼ δέ κ' ἄγω] Τὸ δὲ ἐγὼ, ἀντὶ τοῦ ἄξω· ἐκ τούτου
δὲ καὶ ἀπαγωγὴ, ἡ αἰχμαλωσία· — φασὶν ὅτι ἐν ἀρχαίαις χω-
ρογραφίαις φέρεται, ὡς Χρύσης καὶ Βρίσης ἀδελφοὶ ἦσαν, παῖ-
δες Ἄρδυος· ὁ μὲν, οἰκῶν ἐν Πηδάσῳ ἐπὶ τῷ Σατνιόεντι
ποταμῷ· ὁ δὲ Χρύσης, ἐν τῇ Χρύσῃ, διεχούσῃ τῆς Πηδάσου
ἡμέρας ὁδὸν· ἦν δέ φασι τῷ Χρύσῃ μὲν, θυγάτηρ Ἀστυνόμη·
τῷ Βρίσῃ δὲ, Ἱπποδάμεια· τὰ δὲ Ὁμηρικὰ ὀνόματα ταύταις
ἀπὸ πατέρων μετὰ τὴν αἰχμαλωσίαν τεθέντα, ὥς τινες καὶ τοῦτο
εἶπον. Ε.

Σ. 185. Κλισίηνδε] Κλισία δὲ ἡ αὐτοσχέδιος καὶ οὐ πολυτελὴς
οἴκησις καὶ καιρικὴ, ἥτις οὔτε θάλαμος, οὔτε οἶκος, οὔτε δόμος, οὔτε
μέγαρον, οὔτ' ἄν τι τῶν τοιούτων κυρίως ῥηθείη· ταῦτα γὰρ καὶ οἰ-
κοδομητὰ καὶ παραμόνιμα· σκηνὴ δὲ μάλιστα ἡ τοιαύτη λέγεται
οἴκησις.—Ταὐτὸν δὲ κλισία τε καὶ σκηνὴ, πλὴν ὅσον ἡ μὲν κλι-
σία μιμεῖται πως οἰκίαν· πύλας τε ἔχουσά τινας, καὶ μοχλὸν
ἐπὶ ταῖς πύλαις· ὁποία καὶ ἡ τοῦ Ἀχιλλέως κλισία φανή-
σεται· ἡ δὲ σκηνὴ οὐκ ἀπὸ ξύλου, ἐξ ἀνάγκης μόνον, ἀλλὰ
καὶ ἀπὸ σινδόνων ἢ πίλων ποτὲ συνίσταται. Ε.

Σ. 186. Στυγέῃ] Ἰστέον δὲ, ὅτι τὸ στυγεῖν οὐ μόνον ἐπὶ
τοῦ μισεῖν τάττεται, ἀλλὰ καὶ ἐπὶ τοῦ φρίσσειν, ὡς καὶ ἐν-
ταῦθα. Ε. — Στυγέῃ] Εὐλαβηθῇ. Σ.

Σ. 187. Ὁμοιωθήμεναι] Τὸ δὲ ὁμοιωθῆναι ἄντην, πρὸς
ἀκρίβειαν κεῖται· ὁμοιωθήσεται μὲν γάρ τις ποτὲ μεγάλῳ ἄρ-
χοντι· οὐ μὴν οὕτω αὐτὴν, καὶ, ὡς εἰπεῖν, κατενώπιον. Ε.
Ἐξισωθῆναι. Ε.

Σ. 189. Στήθεσσιν λασίοισι] Στήθη λάσια ἢ πυκνὰ ταῖς θρι-
ξὶν, ἢ τὰ συνετὰ κατὰ μετάληψιν λέξεως· λάσιον γὰρ τὸ
πυκινὸν ἤτοι πυκνόν· — εἶναι δὲ τὰ τῶν πανούργων καὶ συ-
νετῶν στήθη λάσια, δηλοῦσιν οἱ φυσιογνώμονες· λάσιον δὲ ἐστι
μὲν τὸ δασύ. — Τὸ δὲ δίχα ἀντὶ τοῦ χωρὶς καὶ ἄνευ, τῆς
ὑστέρας χρήσεώς ἐστι· παρὰ γὰρ τοῖς ἀρχαίοις τὸ δίχα ἀντὶ
τοῦ διχῇ ἐλαμβάνετο. — Γίνεται δὲ τὸ διάνδιχα ἐκ τῆς διὰ

НБ ОНУ імені І.І. Мечникова

καὶ ἀνὰ προθέσεως· ὧν ἡ μὲν διὰ δυασμόν τινα σημαίνει, ὡς δῆλον ἐκ τοῦ διαιρεῖσθαι καὶ διαφωνεῖν καὶ διίστασθαι, καὶ ἐκ τοῦ διαζυγίου καὶ τῆς διαφορᾶς· ἡ δὲ ἀνὰ πρόθεσις, δευτέρωμά τι δηλοῖ, ὡς ἐν τῷ ἀναβαπτίζειν φαίνεται καὶ ἀνακρίνειν καὶ τοῖς ὁμοίοις, ἵνα ᾖ διάνδιχα βουλεύεσθαι τὸ δυάζειν βουλὴν οὕτω καὶ οὕτω, καὶ ἀναβουλεύεσθαι ἄλλως καὶ ἄλλως. — Μερμηρίζειν δὲ, τὸ μερίζεσθαι εἰς διαφόρους, βουλάς· ἐξ οὗ καὶ μέριμνα γίνεται. Ε.

Σ. 191. Ἀναστήσειεν] Ἀναστάτους καὶ ἐν ταραχῇ ποιήσειε, τουτέστι φυγάδας καταστήσειε. Σ. — Τὸ ἀναστήσειν, οἱ μὲν κοινότερον ἐνόησαν ἀντὶ τοῦ ταράξας ἐξεγερεῖ· οἱ δὲ, ἀντὶ τοῦ, ἄνω κάτω ποιήσει, ἀναστατώσει, ἀναστάτους ποιήσει. — Ἐναρίζειν δὲ καὶ ἐναίρειν, τὸ σκυλεύειν δηλοῖ· ὅθεν καὶ ἔναρα τὰ σκῦλα, ἤτοι τὰ λάφυρα· λέγεται δέ ποτε ἐναίρειν καὶ ἐναρίζειν καὶ τὸ φονεύειν· οὗ παρακολούθημά ἐστι τὸ σκυλεύειν. Ε.

Σ. 193. Ἕως] Ὅτι τὸ ἕως ἔστιν ὅτε καὶ ἀντὶ τέως λαμβάνεται, ὃ σημαίνει τὸ πρὸς τὸ παρόν. — Ὁρμαίνειν δὲ ἀεὶ λέγει ὁ ποιητὴς, τὸ ἔτι ἐν κινήσει καὶ ἀρχῇ τυγχάνειν βουλεύματος. Ε.

Σ. 194. Μέγα ξίφος] Τὸ δὲ μέγα ξίφος μεγάλην τὴν τοῦ ἥρωος χεῖρα δηλοῖ συλλογιστικῶς, τὴν αὐτοῦ ἁπτομένην καὶ βριαρὰν, καὶ οἵαν κούφως ἔχειν τὸ τοιοῦτον ξίφος ἕλκειν, καὶ ὡς αὐτὸς ὁ ποιητὴς λέγει, βαρεῖαν. — Ἦλθε δ' Ἀθήνη· ὅτι ἔθος Ὁμήρῳ πολλάκις· τὸν δὲ σύνδεσμον ἐν διαφόροις ἐννοίαις ἐφεξῆς τιθέναι· ὧν εἷς ὁπότερος τύχῃ, λαμβάνεται ἐξ ἀνάγκης ἀντὶ τοῦ δή. Ε.

Σ. 197. Στῆδ' Ὄπισθεν] Ὅτι φύσει μὲν ὄπισθεν μετὰ τοῦ ι γραπτέον· συγκέκοπται γὰρ ἀπὸ τοῦ ὀπίσωθεν· τὸ δὲ στῆ δ' ὄπιθεν ἀποβολὴν τοῦ σ πέπονθε. Ἡ δὲ ξανθὴ κόμη (τοιαύτη γὰρ ἱστορεῖται τὸν Ἀχιλλέα κοσμεῖν) τὸ θερμὸν παραδηλοῖ καὶ ὀργίλον τοῦ ἥρωος. Τοιοῦτοι γάρ φασιν, οἱ ξανθόχροοι (ἀναγ. ξανθόχολοι. Ἐτυμ. Μέγ. ξανθόχλοοι). Τὸ δὲ ξανθῆς κόμης ἕλε Π., ἡ ἀντίπτωσίς ἐστιν ἀντὶ τοῦ εἷλε τὴν ξανθὴν κόμην τοῦ Πηλείωνος· ἢ ἔλλειψιν ἔχει προθέσεως· εἷλε ἐκ τῆς ξανθῆς κόμης. Ε.

Σ. 199. Θάμβησεν] Τὸ δὲ ἐθάμβησεν ἐνεργητικὸν ἡ νεωτέρα χρῆσις οὐκ ἔχει· θαμβούμενοι γὰρ, καὶ ἐθαμβήθη καὶ τεθάμβημαί φασιν οἱ μεθ' Ὅμηρον. Ε. — Ἔγνω] Ἐπέγνω. Σ.

НБ ОНУ імені І.І. Мечникова

Σ. 200. Δεινὼ δέ οἱ ὄσσε φάανθεν] Ὅτι τὸ, δεινὼ δὲ οἱ ὄσσε φάανθεν, ἀντὶ τοῦ δυσαντίβλεπτοι τῷ Ἀχιλλεῖ ἐφάνησαν οἱ τῆς Ἀθηνᾶς ὀφθαλμοί. — Μυθικῶς διὰ τὸ φοβερόν. Ε. Διὰ τῆς ἐκπλήξεως Ἀχιλλέως τὴν Ἀθήναν γλαυκῶπιν παρέστησαν.

Σ. 201. Καί μιν φωνήσας] Ὅτι Ὅμηρος μὲν αἰτιατικῇ συντάσσει τὸ φωνῶ, πρὸς ὁμοιότητα τοῦ προςειπεῖν· οἱ δὲ μεθ' Ὅμηρον, μετὰ δοτικῆς φασιν· οἷον φωνῶ σοι, ὁμοίως τὸ λέγω καὶ λαλῶ· ὅτι πτερόεντες οἱ λόγοι διὰ τὸ ταχύ. Ε.

Σ. 202. Αἰγιόχοιο Διὸς τέκος] Πυνθανομένου δὲ μᾶλλον ἢ ὀργιζομένου ὁ λόγος· ὅτι αἰγίοχος Ζεὺς κατὰ μὲν μῦθον, ὁ μετὰ γέννησιν τὴν ἐν Κρήτῃ, ὑπὸ αἰγὸς εὑρηκὼς τὴν ὀχὴν, δηλαδὴ τὴν τροφὴν, ὁπηνίκα τὸν παιδοβρῶτα πατέρα Κρόνον ἐκρύπτετο· ἧς αἰγὸς τὸ κέρας τῇ Ἀμαλθείᾳ δοθῆναι λέγεται· ἢ καὶ ἄλλως αἰγίοχος Ζεὺς ὁ ἔχων τὴν αἰγίδα· τουτέστι τὸ δέρμα τῆς ῥηθείσης αἰγὸς, ἣν ἐθήλασεν· ἔφερε γάρ φασιν αὐτὴν, ἐναπτόμενος εἰς μνήμην. Ε.

Σ. 205. Ἧς ὑπεροπλίῃσι κ.τ.λ.] Ὅτι ὥσπερ ἀγήνωρ, ἔστιν οὐ κατὰ ψόγον, ὁ ἄγαν τῇ ἠνορέῃ χρώμενος· οὕτω καὶ ὑπέροπλος ὁ διὰ θρασύτητα ὑπὲρ τὸ δέον ὅπλοις χρώμενος· καὶ ὑπεροπλία ἡ τοιαύτη κακία. — Τὸ δὲ τάχα ἀντὶ τοῦ ταχέως, ἐκ τοῦ ταχέα κατὰ συγκοπὴν, ὡς τὸ σαφέα, σάφα, λιγέα λίγα, ὠκέα ὦκα· βούλονται γὰρ οἱ παλαιοὶ τὸ τάχα μὴ εἶναι διστακτικόν ποτε παρὰ τῷ ποιητῇ. Ε.

Σ. 206. Γλαυκῶπις Ἀθήνη] Ὅτι γλαυκῶπις Ἀθήνη, οὐ μόνον γραφικῶς, ὡς ἁπλῶς γλαυκοὺς ἔχουσα τοὺς ὀφθαλμοὺς, ἀλλὰ καὶ ὡς ἂν εἴποι τις δεινὴ τὴν ὄψιν καὶ ἐκπληκτικὴ, κατὰ τὰ γλαυκωπὰ τῶν θηρίων· γλαυκοὶ γὰρ καὶ οἱ λέοντες οἱ βασιλικοὶ, καὶ ἰδεῖν δεινοὶ, καὶ δράκοντας δέ τις τῶν ποιητῶν γλαυκῶπας καλεῖ· γλαυκῶπις οὖν καὶ ἡ φοβερά. — Τὸ γλαυκωπὸν ᾠκείωται τῇ Ἀθηνᾷ ὡς ἀθρητικῇ, βλεπτικόν· διὰ τοῦτο δὲ καὶ ἡ γλαὺξ οἰκεία τῇ Ἀθηνᾷ· οὐ μόνον ὡς νυκτὸς ὁρῶσα, ὥςπερ καὶ ἡ σύνεσις, ἀλλὰ καὶ διὰ τὴν ἀπὸ τοῦ γλαύσσω παραγωγὴν, ὅπερ ἐστὶ ταυτὸν τῷ ἀθρῷ· οὕτω καὶ ἄλλα τῶν ὀρνέων ᾠκείωνται ἄλλοις θεοῖς, διὰ τὴν πρὸς ἐκείνους συγγένειαν· ἢ κατὰ τὸν τῆς κλήσεως τύπον· ἢ κατὰ ἐνεργείας ταυτότητα· οἷον ἡ νῆσσα τῷ Ποσειδῶνι· ὑγρὰ μὲν γὰρ οὐσία ὁ Ποσειδῶν, καὶ ἡ νῆσσα δὲ, παρὰ τὸ νῶ νήσω, τὸ κολυμβῶ, ἐτυμολόγηται. — Ἱέραξ δὲ ἱέρωται ἡλίῳ ἀπόλλωνι, διά τε τὸ

НБ ОНУ імені І.І. Мечникова

ὀξὺ τῆς κινήσεως, ὠκυπέτης γὰρ ὁ ἱέραξ, καὶ ὁ ἥλιος δὲ ὀξυκίνητος. — Καὶ ἡ φαληρὶς τῇ Ἀφροδίτῃ συνῳκείωται, καὶ κύκνος δὲ τῷ Ἀπόλλωνι. — Καὶ ἀετὸς δὲ τῷ Διῒ — ὡς οὐρανίῳ, ὑψιπέτης· — οἰκεῖος δέ πως καὶ λάρος Ἑρμῇ. — Ἵνα δὲ τῶν ὀρνίθων ἀφέμενοι, καὶ ὑποκαταβάντες γενώμεθα καὶ τῶν περὶ γῆν, οὕτω καὶ ἄλλα τινά τισιν ἀνάκεινται διὰ ὁμοίας αἰτίας· οἷον Διονύσῳ, κισὸς, κισσοητὸς γὰρ ὁ οἶνος, οὗ δοτὴρ ὁ Διόνυσος· Νάρκισσος ἐριννῦσι στεφάνωμα· — πεύκης φυτὸν Ἡφαίστῳ ἀνεῖται. Ἡ τρίγλα κατὰ τοὺς παλαιοὺς, Ἀρτέμιδος ἄγαλμα. — Τῇ δ᾽ αὐτῇ Ἀρτέμιδι, ταὐτὸν δ᾽ εἰπεῖν, Ἑκάτῃ, καὶ μαινίδα θύεσθαί φασι, διὰ τὸ δοκεῖν μανιῶν αἰτίαν εἶναί τισιν — καὶ ἄλλοι δὲ ἰχθύες ἀνεῖνταί τισι κατὰ οἰκειότητα· οἷον Ἀπόλλωνι μὲν κίθαρος ἤτοι κιθάρα. — Ἑρμῇ δὲ βόαξ. — Ἀφροδίτῃ δὲ ἀφύη ἡ καὶ ἀφρίτις· — οὕτω καὶ λύκος Ἀπόλλωνος ἄθυρμα· — καὶ λαγωὸς ἐρώτων ἀνάθημα· καὶ Ἀθηνᾷ δὲ δράκων ἱέρωται. Ε.

Σ. 211. Ὀνείδισον] Ὅτι ὀνειδίζειν οὐ μόνον τὸ εὐεργεσίας ἀναφέρειν τοῖς εὐηργετημένοις, ὅπερ πρὸ μικροῦ Ἀχιλλεὺς ἐποίησε, ἀλλὰ καὶ τὸ ἁπλῶς ὀνοστά τινα καὶ ἐπίμομφα λέγειν· — οὐ γὰρ ἐνταῦθα Ἀχιλλεὺς ἀχάριστον εἶναι λέγει τὸν βασιλέα· ὅπερ ἦν κυρίως ὄνειδος, ἄλλως δὲ ὑβριστικῶς ὀνειδίζει· — ὅρα δὲ ὅπως ἡ Ἀθηνᾶ τὸ ὀλίγον συγχωρεῖ τῷ Ἀχιλλεῖ, ἤτοι τὸν βασιλικὸν ὄνειδον, ἵνα τοῦ μείζονος ἀποτρέψῃ κακοῦ, ἤτοι τῆς φονικῆς ἐγχειρήσεως· οὐ γὰρ δεῖ τοῖς κρατοῦσι πάθεσιν αὐστηρῶς ἀντιβαίνειν, ἀλλὰ μετρίως εἴκειν. Ε.

Σ. 216. Εἰρύσασθαι] Φυλάξαι. Σ.

Σ. 219. Κώπῃ] Δι᾽ ἣν ἀργυρέην κώπην καὶ ξίφος λαλεῖται ἀργυρόηλον. Ε.

Σ. 223. Ἀταρτηροῖς.] Ἀτηρὸς λόγος, ὁ χολωτός· πλεονασμὸς δέ ἐστι φανερὸς τῆς ταρ, συλλαβῆς, ἐν τῷ Ἀταρτηροῖς. Ε.

Σ. 225. Οἰνοβαρὲς] Ἔοικε δὲ πρὸ τούτου τοῦ χρόνου τοιαῦτά τινα ὁ Ἀγαμέμνων ποιεῖν, ἐξ ὧν ἄρτι ὁ Ἀχιλλεὺς οὕτω σφοδρῶς ὑβρίζει αὐτόν· οὐ γὰρ ἂν ἁπλῶς οὕτω καὶ ψευδῶς τοὺς λόγους παρέῤῥιψε. — Κυνὸς ὄμματ᾽ ἔχων] Ἵνα λέγῃ, αὐτὸν θρασὺν μὲν, ὡς κύνα, δειλὸν δὲ, ὡς ἔλαφον· τοιαύτη γὰρ ἡ ἔλαφος· διὸ καὶ Φυζακινὴν αὐτὴν ἡ ποίησις λαλεῖ. Ε.

Σ. 226. Ἄμα λαῷ κ. τ. λ.] Ἰστέον δὲ, ὅτι τὸ μὲν ἅμα

НБ ОНУ імені І. І. Мечникова

λαῷ θωρηχθῆναι, τὴν φανερὰν δηλοῖ καὶ ἀντιμέτωπον παράταξιν· τὸ δὲ λόχονδ' ἰέναι σὺν ἀριστεῦσι, τὴν ἐξ ἐπικρύψεως ἐπίθεσιν σημαίνει. Ε.

Σ. 228. Κὴρ εἴδεται ] Τουτέστι θανάτῳ εἰκάζεται ὑπὸ σοῦ ἡ κινδυνώδης μάχη. Ε.

Σ. 230. Δῶρ' ἀποαιρεῖσθαι] Δῶρα ὁ ποιητὴς λέγει, οὐ τὰ κυρίως, ἀλλὰ ἁπλῶς τὰ κατὰ λάχος προσόντα τοῖς Ἕλλησι· καὶ ἔοικε σκωπτικῶς τοῦτο ῥηθῆναι παρ' ὑπόνοιαν· δέον γὰρ ὂν τὸν βασιλέα δῶρα διδόναι, ὁ δὲ, δῶρα ἀφαιρεῖται· ἢ καὶ ἄλλως, δῶρα τὰ γέρα. Ε.

Σ. 231. Δημοβόρος ] Δημοβόρον τὸν Ἀγαμέμνονα λέγει Ἀχιλλεὺς, ὡς αὐτὸν ἑαυτῷ τὰ κοινὰ δαπανῶντα (ἴδ. στ. 167.) ἐνταῦθα δὲ ἀσυνδέτως εἰπὼν δημοβόρος βασιλεὺς, ἐλλειπτικῶς εἶπε διὰ θυμόν· λείπει γὰρ τὸ εἶ· ὁμοίως δὲ καὶ ὀλετ' ὀλίγα ἐρεῖ· ἦ γὰρ ἂν, Ἀτρείδη, νῦν ὕστατα λωβήσαιο: ἐλλείπει γὰρ ἐνταῦθα, ὡς λαμβανόμενον ἀπὸ κοινοῦ, τὸ, εἰ μὴ οὐτιδανοῖς ἤνασσες. Ε. Δημοβόρος· ὁ τὰ δημόσια κατεσθίων. Σ. — Κινητικὰ ταῦτα τοῦ πλήθους· μεγίστη γὰρ κατηγορία τὸ σφετερίζεσθαι τὰ κοινά.

Σ. 232. Λωβήσαιο] Λώβη ἡ εἰς τὸ φανερὸν ὕβρις, καὶ ὡς εἰπεῖν ἐν μέσῳ λαοῦ βαίνουσα εἴς τινα. Ε. Ὑστάτην ἂν ταύτην τὴν ὕβριν εἰργάσω, φονευθεὶς ἐν αὐτῇ ὑπὸ πάντων, βλαβεὶς, ὑβρισθείς. Σ.

Σ. 233. Καὶ ἐπὶ . . . ὀμοῦμαι] Ἐπόμνυσθαί ἐστι, τὸ ὑποσχνούμενον ὀμόσαι· ἀπομνύναι δὲ, τὸ ἀποφάσκειν. Σ.

Σ. 234. Ναὶ μὰ τόδε σκῆπτρον] Ἰστέον δὲ ὅτι διὰ τοῦ σκήπτρου ὄμνυσιν αὐτὸν τὸν ἔφορον τῆς βασιλείας θεόν. Σ. Ὅτι θυμῷ ἐλαυνόμενος ὁ Ἀχιλλεὺς καὶ εἰς ὅρκον συνελάσας ἑαυτὸν, οὐ Δία ἢ τοιοῦτόν τι ἐπόμνυται· ἀλλ' ὥσπερ, κατὰ τὸν παλαιὸν λόγον, τὸ παρατυχὸν ὄργανον ὅπλον ἐστὶν ἀχορηγήτου θυμοῦ, οὕτω καὶ νῦν Ἀχιλλεὺς ἐκ τοῦ παρατυχόντος πράγματος τὸν ὅρκον πορίζεται, διὰ τὸν τοῦτο ἀπαιτοῦντα θυμὸν, καὶ ὀμνύει εἰς τὸ ἀνὰ χεῖρα σκῆπτρον. — Ἀλλὰ καὶ ὡς θεῖόν τι καὶ τίμιον καὶ βασιλείας ὑπουργὸν καὶ δίκης σύμβολον θεωρήσει τι αὐτό· (ἴδ. Ἀπόθ. Ὁμήρ. σελ. 22. ἔκδ. Κουπ.) — Διὸ εἰς τόδε τὸ σκῆπτρον ὀμνύων, ὡς εἰς αὐτὴν τὴν Διὸς ἀρχὴν, ἢ εἰς τὴν δίκην, ἢ εἰς τὴν θέμιν, φησὶ, Ναὶ μὰ τόδε σκῆπτρον, καὶ τὰ ἑξῆς. — Ἔστι δὲ τὸ πᾶν τοῦ ὅρκου τοιοῦ-

τάν τι· Μὰ τόδε σκῆπτρον, ὄντως Ἀχιλλέως ποθὴ ἕξεται υἷας Ἀχαιῶν σύμπαντας, ὅτε πολλοὶ ὑπὸ Ἕκτορος ἀνδροφόνοιο θνήσκοντες πίπτουσι. Ε.

Σ. 235. Τομὴν ἐν ὄρεσσι λέλοιπεν] Περιφραστικῶς ἀντὶ τοῦ ἐξετμήθη τοῦ ὄρους. — τομὴν δὲ λέγει τὸ ἐν τῷ ὄρει λελειμμένον σύῤῥιζον, οὗ τὸ σκῆπτρον ἀποτέτμηται. Ε. Τὴν τμῆσιν, τουτέστι τὴν ῥίζαν αὐτοῦ τμηθὲν ἐν τῷ ὄρει κατέλειψε. Σ.

Σ. 236. Οὐδ' ἀναθηλήσει κ. τ. λ.] Τὸ δὲ οὐκ ἀναθηλήσει, περὶ γὰρ ῥά ἑ χαλκὸς κ. τ. λ. πάνυ παρατετηρημένως εἴρηται. Ἰτέα γὰρ καὶ ἄλλα τῶν φυτῶν εἰ καὶ τομὴν ἐν ὄρεσι λέλοιπεν, ἀλλὰ καὶ οὕτω προΐενταί τι θάλλους, κείμενα ἢ φυτευόμενα· ἐκλεπισθέντα δὲ, οὐκέτι ἀναθηλήσουσιν οὐδ' αὐτά· χαλκὸν δὲ τὸν σίδηρον λέγει, διὰ τὴν πάλαι ποτὲ χρῆσιν τοῦ χαλκοῦ, ὁπηνίκα εἰς σιδήρου χρῆσιν ἐβάπτετο· ὅτε καὶ χαλκῷ κατὰ τὸν Ἡσίοδον εἰργάζοντο ἄνθρωποι, μέλας δ' οὐκ ἔσκε σίδηρος. Τὸ δὲ ἓ δηλοῖ μὲν αὐτὸ, ἤγουν τὸ σκῆπτρον· ἐγκλίνεται δὲ καὶ ἀντωνυμία ἐστὶ τριγενὴς, ὥσπερ καὶ τὸ νὶν καὶ τὸ μίν. — Ἔχει δὲ ἡ καινότης τῆς συντάξεως θεραπείαν πρόσληψιν προθέσεως ἔξωθεν, ἵνα λέγῃ, ὅτι περιέλεψεν αὐτὸ ὁ χαλκὸς κατὰ τὰ φύλλα καὶ τὸν φλοιόν. — Τοῦτο δὲ μάλιστα ἐκδηλότατον ἀπὸ τοῦ ἐντελῶς ἐν Ὀδυσσείᾳ [Α, 192.] ῥηθέντος· εὖτ' ἂν μοι κάματος κατὰ γυῖα λάβῃσιν. — Ἄλλην τὴν θεραπείαν ἔχει τὴν στιγμὴν καὶ τὴν ἐκ τοῦ ἐπιφερομένου σαφήνειαν· ἡ γὰρ στιγμὴ ἀναπαύουσα τὸ ἓ, ἐπάγει ὕστερον τὸ, φύλλα τε καὶ φλοιόν· καὶ ἔστι τὸ μὲν ἓ ἤγουν αὐτὸ ὁλότης τοῦ ξύλου, τὸ δὲ φύλλα καὶ φλοιὸν, δήλωσις μέρους τοῦ ἐκπίπτοντος ἐν τῷ λεπίζεσθαι. Ε. Φλοιός ἐστι τὸ καλούμενον λέπος. Σ. — Ἐκ τοῦ φλῶ, τὸ ἀναδίδωμαι καὶ ἀναπέμπω, φλοῦς, φλοός, καὶ φλοιός. Β.

Σ. 238. Θέμιστας] Εἰς δικαιοσύνην παρακαλεῖ τοὺς ἄρχοντας, εἴ γε τὸ δίκαιον ἐγχειρίζει αὐτοῖς ὁ Ζεύς. — Δικασπόλοι] Δικασπόλοι δὲ λέγονται οἱ περὶ δίκας πολοῦντες, ὡς οἰωνοπόλοι, καὶ ὀνειροπόλοι· δίκη δὲ καὶ θέμις ταὐτόν ἐστι. Ε. — Εἰρύαται] Ῥύονται, φυλάσσουσιν. Σ. Δεσμοφύλακες οὖν οἱ δικασπόλοι· ἄμφω δὲ ταῦτα ἦσαν οἱ βασιλεῖς· οἷς καὶ τὸ σκῆπτρον σύμβολον ἦν δίκης, ὥσπερ ἀνδρείας τὸ δόρυ. Ε.

Σ. 242. Εὖτ' ἂν] Τὸ δὲ εὖτ' ἂν ἐπίῤῥημά ἐστι χρονικὸν,

ξεον τῷ ὅτε. Ε. Ὁπότ' ἄν. Σ. — Ἀνδροφόνοιο] Διατί τὸν Ἕκτορα ἀνδροφόνον προσηγόρευσε καὶ οὐ χαλκοκορυστὴν, ἢ ἱππόδαμον; ῥητέον, ὅτι ἀνδροφόνον αὐτὸν εἴρηκε πρὸς κατάπληξιν τῶν ἀκουόντων· εἴωθε δὲ τηρεῖν τὰ ἐπίθετα εὐστόχως· καὶ ἄλλως ῥητέον, ὅτι ἐν ᾧ τίς ἐστι μέγας ἀεὶ καὶ εὐδοκιμῶν, ἐκ τούτου καὶ ἄλλους ἐπαινεῖ. Σ.

Σ. 243. Ἀμύξεις] Ἀμύσσειν δὲ κυρίως, τὸ ξέειν. — Ἀμύσσειν γοῦν τις λέγεται παρειάν. — Τὸ δὲ τὴν ψυχὴν ἀμύσσειν, μεταφορικόν ἐστι ἀπὸ σώματος. Ε. Σπαράξεις, πληγήσῃ. Σ.

Σ. 244. Ἄριστον Ἀχαιῶν] Ὅτι περιαυτολογῶν ὁ Ἀχιλλεὺς ἄριστον Ἀχαιῶν ἑαυτὸν ἀποκαλεῖ φιλοτίμως καὶ μεγαλοπρεπῶς. — Δῆλον δὲ, ὡς οὐκ ἀεὶ ψεκτὸν τὸ περιαυτολογεῖν κατὰ τὸν παροιμιαζόμενον Ἀστυδάμαντα· ἔστι δέ ποτε καὶ φιλοτίμου καὶ μεγαλοψύχου ἤθους ὁ τοιοῦτος ἔπαινος. Ε.

Σ. 245. Βάλε] Ἔβαλε ἤγουν ἔῤῥιψε· καὶ ὅρα, οἷον ὁ θυμός· ὅπερ γὰρ ὕψωσε τῇ ὁρκωμοσίᾳ, ῥίψας εἰς γῆν ἐξουδένωσε. Ε.

Σ. 246. Πεπαρμένον] Ὃ περίφρασίς ἐστι τοῦ χρυσόηλον εἰπεῖν, πρὸς ὁμοιότητα τοῦ ἀργυρόηλον· τὰ μέντοι κοινὰ καὶ ἰδιωτικὰ σκῆπτρα οὐκ ἂν εἴη τοιαῦτα. Ε. Χρυσοῦς ἥλους ἔχον, καὶ διὰ πεπερονημένων αὐτῶν ἠσφαλισμένον. Σ.

Σ. 247. Τοῖσι δὲ Νέστωρ] Σημειωτέον δὲ, ὡς ὁ Ἀγαμέμνων πολλὰ ὑβρίσαντα τὸν Ἀχιλλέα καὶ πρὸ τούτου, καὶ νῦν, οὐκ ἀνθύβρισεν, ἀλλὰ καὶ ἀγαθόν που καὶ θεοείκελον ἔφη αὐτὸν, αἰδούμενος τὴν ἀρετὴν τοῦ ἀνδρός· ἴσως δὲ καὶ ὀκνῶν λόγοις κολάζειν, ὃν ἔργοις ἀμυνεῖται Ε.

248. Ἡδυεπὴς κ. τ. λ.] Ὅτι ὁπηνίκα τὰς τῶν πραγμάτων περιπετείας αὐξήσει πλασματικῶς ὁ ποιητὴς, καὶ ἀλύτως ἔχειν ποιήσει αὐτὰς, ἢ πάνυ δυσλύτως· ὥστε τὸν ἀκροατὴν ἐπαπορεῖν καὶ λέγειν, ὡς οὐκέτι λυθήσεται ἡ τοῦ πράγματος δυσχέρεια, τότε δὴ μηχανᾶται λύσεις καὶ ἄλλας μὲν, μάλιστα δὲ ταύτας ὡς ἐπιπολὺ τὰς πέντε, ἢ πάσας ὁμοῦ, ἤ τινας· παρουσίαν θεοῦ· ξυναλλαγὴν γερόντων ἀνδρῶν· ἀπειλὴν· πληγὴν καὶ γέλωτα. — Τὸ δὲ Λιγὺς οὐ λόγου ἁπλῶς, ἀλλὰ φωνῆς ἐστι ποιότης, ἢ κάλλιον εἰπεῖν, ἀρετή· οὕτω γὰρ καὶ οἱ κήρυκες λιγύφθογγοι καλοῦνται, ὡς καὶ ἡ ἀηδών. — Ἰστέον δὲ καὶ ὅτι εἰ καὶ ἰσοδυναμεῖ τὸ λιγὺς τῷ ὀξὺς, ἀλλὰ τὸ μὲν



НБ ОНУ імені І.І. Мечникова

λιγὺς μόνης ἐστὶν ἐπίθετον φωνῆς, τὸ δὲ ὀξὺ καὶ ἐπὶ βελῶν καὶ οἴνου καὶ ἑτέρων πολλῶν λέγεται. Ε.

Σ. 249. Ῥέεν] Τὸ δὲ ἔῤῥεεν αὐδὴ τὴν τοῦ λόγου δηλοῖ δαψίλειαν, ὡς ῥύδην καὶ ἀπαραποδίστως προϊόντος, καὶ κατὰ ῥεῦμα προχεομένου καὶ ῥέοντος. Ε.

Σ. 250. Τῷ δ' ἤδη κ. τ. λ.] Ὅτε δὲ εἴπῃ, τῷ δ' ἤδη δύο γενεαὶ κ. τ. λ. σύνεσιν αὐτῷ ἐπιμαρτύρεται τὴν ἐξ ἐμπειρίας πολυχρονίου· μήτηρ γὰρ φρονήσεως ἐμπειρία· ὅτι γενεὰ κατὰ τοὺς παλαιοὺς οἱ τριάκοντα χρόνοι, μεθ' οὓς τελειοῦται ἄνθρωπος. — Τῷ τοίνυν Νέστορι δύο γενεαὶ ἀνθρώπων ἐφθίατο, τουτέστι, παρῆλθον· ἤνασσε δὲ τῆς τρίτης γενεᾶς καὶ τῶν ἐν αὐτῇ ὄντων· τουτέστι ὑπερέβη τὰ ἑξήκοντα ἔτη· Ἡρακλέους ἐς Πύλον στρατεύσαντος, ἔτι νέου ὄντος τοῦ Νέστορος, καὶ ἀποκτείναντος τοὺς πρεσβυτέρους μίαν ὄντας γενεάν· καὶ τοὺς τῆς μέσης ἡλικίας, ἄλλην ὄντας γενεάν, ἧς καὶ ὁ Νέστωρ μόνος περισωθεὶς τῆς τρίτης γενεᾶς ἐβασίλευε, τῆς περὶ τοὺς παῖδας· ἰστέον, ὅτι οἱ παλαιοὶ τὰς γενεὰς ἐψήφιζον ἕως ἐτῶν τριάκοντα. Σ. — Μέροπες δὲ οἱ ἄνθρωποι παρὰ τὸ φύσει μεμερισμένην ἔχειν τὴν ὄπα, εἴς τε λέξεις καὶ εἰς συλλαβὰς καὶ εἰς στοιχεῖα, ὃ μηδεμία τις ἄλλη ἔχει φωνὴ παρὰ τὴν τῶν ἀνθρώπων αὐδήν· αἱ γὰρ ἄλλαι οὔτε ὄπες λέγονται, ὥσπερ οὐδὲ αὐδὴ καὶ οὐδὲ ἐπιμερίζονται. — Δῆλον δὲ, ὅτι καὶ ὄρνιθές τινες λέγονται μέροπες, ὧν τάχα πρὸς διαστολὴν ἐνταῦθα πρόσκειται τὸ, ἀνθρώπων. — Εὕρηνται δὲ καὶ οἱ Κῷοι, τουτέστιν, οἱ τῆς Κῶ, τῆς νήσου ἔποικοι, μέροπες ἰδίως καλούμενοι, ὀνόματι ἐθνικῷ, καὶ ἡ νῆσος αὐτῶν, Κῶς μεροπηΐς. Ε.

Σ. 251. Τράφεν κ. τ. λ.] Τὸ δὲ ἐτράφησαν καὶ ἐγένοντο, σχῆμά ἐστι κατὰ μέν τινας ὑστερολογία, κατὰ δὲ ἄλλους, πρωθύστερον, ἐπεὶ τὸ πρῶτον ὕστερον τίθεται, καὶ τὸ ὕστερον πρῶτον· τὸ γὰρ ἐγένοντο πρῶτον τοῦ ἐτράφησαν. Ε.

Σ. 252. Ἐν Πύλῳ] Τὴν δὲ Πύλον, παρὰ μὲν Ὁμήρῳ, οὐκ ἔστιν ἀναντιῤῥήτως εὑρεῖν λεγομένην κατὰ γένος ἀρσενικόν· ὁ μέν τοι γεωγράφος καὶ ἄλλοι τὸν Πύλον φασίν. Ε.

Σ. 253. Ἀγορήσατο] Ὅτι ἐν τῷ ἀγορήσατο καὶ μετέειπε, παρατηροῦσιν οἱ παλαιοὶ, ὡς ἀγορήσασθαι μὲν ὁ ποιητὴς λέγει, τὸ ἁπλῶς δημηγορῆσαι· μετειπεῖν δὲ, τὸ μετὰ ταῦτα παραινετικῶς ὑποθέσθαι τὸ ποιητέον. — Ἀγορήσατο μὲν ὁ Νέστωρ ἀπὸ τοῦ· ὢ πόποι, ἕως τοῦ, ἀλλὰ πίθεσθε καὶ ὔμμες· μετεῖπε δὲ ἐν

НБ ОНУ імені І.І. Мечникова

τῷ, μήτε σὺ ποίει τόδε, μήτε σὺ, ὦ βασιλεῦ, καὶ, ὦ Ἀχιλλεῦ. Ε.

Σ. 254. Ὢ πόποι] Ὅτι τὸ, ὢ πόποι, σχετλιασμὸν δηλοῖ καὶ πάθος ψυχῆς ἐπὶ δεινοῖς τισι γιγνομένοις· ἐφ' οἷς ἢ, θρηνήσει τις, ἢ ἐκθαμβηθήσεται· ἢ ἄλλο τι τοιοῦτον πείσεται, ὡς καὶ ἐνταῦθα ὁ Νέστωρ ἐμφαίνει, ὅλην ἐλεεῖν τὴν Ἑλλάδα· ἐκ παραλλήλου δὲ καὶ τὸ, ὢ; καὶ τὸ πόποι δηλοῦσι τὸ αὐτὸ, ὡς ἐάν τις εἴποι, φεῦ παπαί. — Ἔστι δὲ σχῆμα ἐκ παραλλήλου, ὅτε δύο λέξεις ὁμοῦ κεῖνται παράλληλοι, προφορᾷ μόνῃ διαφέρουσαι, σημαίνουσι δὲ τὸ αὐτό· οἷον θάνατόν τε μόρον τε. — Καὶ βάσκ' ἴθι· ἐπίῤῥημα δέ ἐστι τὸ πόποι πρωτόθετον, ὥσπερ καὶ τὸ ποποῖ καὶ παπαὶ καὶ φεῦ, καὶ ἄλλα πολλά· φασὶ δὲ οἱ παλαιοὶ ἐν τῷ ὢ πόποι, ὅτι τὸ ὦ καὶ δασεῖαν εἶχε καὶ ἐπερισπᾶτο, ὡς ἐνθουσιαστικόν τι ἐπίῤῥημα· παρὰ δὲ τοῖς ὕστερον οὐδέτερον τούτων πάσχει. Οὔτε γὰρ δασεῖαν, οὔτε περισπωμένην ἔχει. Τοῖς δὲ βιαζομένοις τὸν Ὅμηρον καὶ μετάγουσι πρὸς ἑτέρους ποιητὰς τὰ ἐκείνου, ἀρέσκει λέγειν, τὸ ὢ πόποι ἀντὶ τοῦ ὦ Θεοί· ἐπειδὴ εὕρηνται ἐν τοῖς μεθ' Ὅμηρον οἱ θεοὶ πόποι λεγόμενοι. Ε.

Σ. 255. Ἦ κεν γηθήσαι] Ὅτι μέγα κακὸν ὁ ποιητὴς κρίνει, ἐφ' ᾧ πενθήσουσι μὲν οἱ φίλοι, χαρήσονται δὲ οἱ ἐχθροί· (Βιργ. Αἰν. Β, 104.)

Σ. 258. Οἳ περὶ μὲν βουλὴν] Ἀντὶ τοῦ οἵτινες διαφέρετε τῶν Ἑλλήνων καὶ ἐν τῷ βουλεύεσθαι, καὶ ἐν τῷ πολεμεῖν. Σ. Ἰστέον δὲ ὅτι τὸ περιεῖναι ποτὲ μὲν, τὸ ὑπερέχειν δηλοῖ, καὶ περιττότερον εἶναι, ὥσπερ καὶ ἐνταῦθα· ποτὲ δὲ λέγεται ἐπὶ περιουσιασμοῦ τοῦ ἐν τῷ βίῳ· ἐξ οὗ καὶ ἡ περιουσία λαμβάνεται· δηλοῖ δὲ τὸ περιεῖναι πολλάκις καὶ τὸ ἁπλῶς ζῆν· οὕτω γάρ τις περιεῖναι τῷ βίῳ λέγεται. Ἰστέον δὲ, ὅτι διδάσκει ὁ Ποιητὴς καὶ ἐνταῦθα, ὡς ψεύσεταί ποτε κατὰ καιρὸν ὁ σπουδαῖος, (ἰδ. Πλάτων. Πολιτ. Γ. 3. σελ. 442. ἔκδ. Ἀστίου.) καθάπερ ὁ Νέστωρ ἐνταῦθα. Οὐ γὰρ ἀληθεύει, λέγων, ὅτι ἔν τε βουλῇ καὶ μάχῃ περίεισιν οἱ ῥηθέντες βασιλεῖς. Ἀχιλλεὺς μὲν γὰρ πάντων τῇ μάχῃ περίεστιν· οὐ μὴν δὲ καὶ ὁ Ἀγαμέμνων· τῇ μέντοι βουλῇ ἀμφότεροι ἐλαττοῦνται τοῦ γε Νέστορος τούτου καὶ τοῦ Ὀδυσσέως. Ἐψεύσατο οὖν καιρίως ὁ γέρων, κολακικώτερον ἐν δέοντι λαλῶν καὶ μαλθάσσων οὕτω τὴν τῶν ἡρώων σκληρότητα. Ε. (Εὐστάθ. οἱ πέρι μὲν βουλῇ; ἰδ. Ἰλιάδ. Ν. 621, Ὀδυσσ. Α. 66. Σ. 247.)

НБОНУ імені І.І. Мечникова

Σ. 259. Ἀλλὰ πίθεσθ'] Ἀνεπίφθονον γάρ φασι γέροντος ἀκούειν νεωτέρους, γηρᾶν προσδοκῶντας. Ε.

Σ. 260. Ἀρείοσιν, ἠέπερ ἡμῖν] Τὸ δὲ ἠέπερ ἡμῖν κάλλιον [τοῦ] ἠέπερ ὑμῖν· τοῦτο μὲν γὰρ πάνυ βαρὺ, ὡς μόνων τῶν δύο ἀριστέων τραχέως καταφερόμενον· τὸ δὲ ἡμῖν, πάντως λεῖον καὶ ἀνεπαχθέστερον, διὰ τὸ κοινότερον· ἔστι γάρ πως τὸ ἡμῖν ὅμοιον τῷ, οἱ νῦν βροτοί ἐσμεν. Ε.

Σ. 261. Ἀθέριζον] Ἠπείθουν, ἀπεδοκίμαζον. Σ. Τὸ δὲ ἀθερίζειν δηλοῖ μὲν τὸ ἀποῤῥίπτειν καὶ ἐξουθενοῦν· καὶ μετήνεκται ἀπὸ τῶν ἀθέρων· ἄχρηστοι δὲ οἱ ἀθέρες εἰς καρπὸν συγκομιζόμενοι· εἰσὶ δὲ στάχυες ἀγεννεῖς, ἐφ' οἷς αἱ σταχυηλόγοι πονοῦνται· οὓς οὐκ ἀξιοῖ θερίζειν ὁ γεωργός. Ε.

Σ. 262. Οὐ γάρ πω] Σημείωσαι δὲ καὶ ὅτι ἐν μὲν τῷ, οὐ γάρ πω τοίους ἄνδρας ἴδον, τὸν παρῳχημένον χρόνον λέγει· ἐν δὲ τῷ, οὐδὲ ἴδωμαι, τὸν μέλλοντα· τὸν δὲ ἐνεστῶτα τὸ, οὐδὲ νῦν ὁρῶ, τέως μὲν σιωπᾷ, ἵνα μὴ πάνυ λυπήσῃ τοὺς ἀκροατάς· προϊὼν δὲ, σαφέστατα λέγει πως καὶ αὐτὸν, ἐν τῷ, οὔτις ἐκείνοις μαχέοιτο τῶν νῦν ἀνθρώπων· τὸ δὲ κείνοις οὔτις ἂν ἐρίζει τῶν νῦν, ἀναμφήριστον ὑπεροχὴν δηλοῖ. Ε.

Σ. 263. Οἷον] Ὅτι βουλομένῳ τῷ ποιητῇ μὴ μόνοις ἐμμένειν τοῖς Τρωϊκοῖς, ἀλλά που καὶ ἑτέραις προγενεστέραις ἱστορίαις παραρτύειν τὴν ποίησιν, χρησιμεύει καὶ ὁ Νέστωρ εἰς τοῦτο, χορηγὸς παλαιῶν ἱστοριῶν ἐν πολλοῖς γινόμενος· ἡ δὲ μέθοδος, ὡς ἐπιπολὺ, τῆς τῶν ἱστοριῶν παρενθέσεως τοιαύτη· ὁ γέρων οὗτος οὐκ ἔχων ἔργοις διεκφαίνεσθαι κατὰ τὸν Τρωϊκὸν πόλεμον διὰ τὸ βαθὺ γῆρας, συνιστᾷ ἑαυτὸν ἄλλως οἷς πάλαι ποτὲ ἠνδραγαθίσατο, καὶ μέμνηται πράξεων ἑαυτοῦ, ἃς ἐν νεότητι κατειργάσατο· ὡς ἂν ὁ νῦν ἀχρεῖον αὐτὸν βλέπων εἰς πόλεμον, καὶ μηδέν τι μέγα περὶ αὐτοῦ λογιζόμενος, ἐπιστρέφηται τοῖς διηγήμασι, καὶ τῷ καταλόγῳ τῶν ἀριστέων ἐντάττῃ καὶ τὸν πάλαι ποτὲ τοιοῦτον γενόμενον· τοιοῦτος οὖν ὁ Νέστωρ ὢν, πολλαχοῦ περιαυτολογεῖ, καὶ κατατείνων ἑαυτοῦ ἐγκώμια καὶ ἀριστείας, μέμνηται καὶ προσώπων ἀξίων λόγου· καὶ οὕτω τοῖς Τρωϊκοῖς παρεμπλέκει πολλὰ τῶν ἐν τῇ Ἑλλάδι ἱστορουμένων γενέσθαι, εἷς αὐτὸς ὁ γέρων παρεῖναί ποτε φησί. Ε. — Πειρίθους ὁ Ἰξίονος, γένει μὲν ἦν Ἀθηναῖος, ᾠκείωται δὲ τοῖς Κενταύροις· πρὸς γάμον δὲ ἀγόμενος Ἱπποδάμειαν τὴν βουτάδα, τοὺς Κενταύρους συνεκάλεσεν εἰς εὐωχίαν· οἵτινες οἰνωθέντες ἐπεχείρουν ὑβρίζειν

НБ ОНУ імені І.І. Мечникова

ὅσαι τῶν Ἑλληνίδων παρῆσαν γυναικῶν· ὅθεν οἱ Λαπίθαι συστάδην μαχεσάμενοι διώκουσιν αὐτοὺς εἰς Μάλεον ὄρος τῆς Πελοποννήσου. Σ.

Σ. 264. Καινέα.] Ὁ δὲ Καινεὺς Ἐλάτου μὲν παῖς, Λαπίθων δὲ βασιλεὺς πρότερον ἦν παρθένος εὐπρεπής· μιγέντος δὲ αὐτῇ Ποσειδῶνος, αἰτησαμένη μεταβαλεῖν εἰς ἄνδρα ἡ νεᾶνις, ἄτρωτος γίγνεται, γενναιότατος τῶν καθ' αὐτὸν ὑπάρξας· καὶ δή ποτε πήξας ἀκόντιον ἐν τῷ μεσαιτάτῳ τῆς ἀγορᾶς, θεοῖς τοῦτο προσέταξεν ἀριθμεῖν· δι' ἣν αἰτίαν ἀγανακτήσας ὁ Ζεὺς τιμωρίαν τῆς ἀσεβείας παρ' αὐτοῦ εἰσεπράξατο· μαχόμενον γὰρ αὐτὸν τοῖς Κενταύροις καὶ ἄτρωτον ὄντα ὑποχείριον ἐποίησε· βάλλοντες γὰρ αὐτὸν οἱ προειρημένοι δρυσί τε καὶ ἐλάταις, ἤρεισαν εἰς γῆν. Σ.

Σ. 268. Φηρσὶν ὀρεσκῴοισι] Τοῖς ἐν ὄρεσι διαιτωμένοις Σ. Ὅτι φῆρας ὀρεσκῴους τοὺς Κενταύρους φησί, τουτέστι θῆρας ὀρειφοίτας· αἰολικὴ δὲ λέξις κατὰ τοὺς παλαιοὺς τὸ φῆρες ἀντὶ τοῦ θῆρες. — Τὸ μὲν κάτω, ἵππους ὄντας ἄχρι καὶ εἰς αὐχένα· τὸ δὲ ἐντεῦθεν, ἀνθρώπους· καὶ τὸ ὅλον εἰπεῖν, ἵππους τε ὄντας ἀκεφάλους, καὶ ἀνθρώπους ἄποδας· ὅθεν καὶ τὸ ἀστεῖον ἐκεῖνο εἴρηται, ὅτι δηλαδὴ ἐν τῇ τῶν ἱπποκενταύρων φύσει ἵππος μὲν ἀπερεύγεται ἄνδρα· βροτὸς δ' ἀποπέρδεται ἵππον. Ὅτι δὲ ἐγένοντο οἱ ἱπποκένταυροι καὶ γενναῖοι καὶ δεξιοὶ κελητίζειν, καὶ ὅτι λῃστρικῶς ἔζων, καὶ ἡ τοῦ Παλαιφάτου ἱστορία φησί. Λέγονται δὲ περὶ τὸ Πήλιον ὄρος καὶ τὴν Οἴτην οἰκεῖν, ἔνθα καὶ ἡ τῶν Εὐρωπαίων Μαγνήτων χώρα ἐστίν. — Ὀρεσκῷοι θῆρες, οἱ ἐν ὄρεσι κείοντες, ὅ ἐστι κείμενοι καὶ διάγοντες. Ε.

Σ. 270. Ἀπίης.] Ὅτι Ἀπίαν γῆν ἐνταῦθα, νοητέον, ἢ τὴν ἀλλοδαπὴν καὶ μακρὰν, ἐκ τοῦ ἄπο, ἢ τὴν Πελοποννησίαν ἀπὸ Ἄπιδος, περὶ οὗ ἐν τοῖς εἰς Περιηγητὴν εἴρηται ὅπου Ἀπιδανεῖς ἐκεῖνος τοὺς Ἀρκάδας καλεῖ· δῆλον δὲ ὅτι Πελοποννήσιος ὁ Νέστωρ, ὡς Πύλιος· ἐντὸς γὰρ Πελοποννήσου ἡ Πύλος· εὑρεθήσεται δέ που παρ' Ὁμήρῳ (Ὀδυσ. Β. 18.) ἀπία γῆ, μὴ δυναμένη εἰς Πελοποννησίαν λαμβάνεσθαι. Ε. — Ἀπίης] Τῆς πόῤῥωθεν οὔσης. — Ἐν τούτοις δὲ ἀπὸ τοῦ μείζονος ὁ Νέστωρ ἐπιχειρεῖ αὐξάνων καὶ συνιστῶν ἑαυτόν· κράτιστοι μὲν γὰρ οἱ Λαπίθαι, τῶν ἄρτι ἀνθρώπων· αὐτὸς δὲ μετεκλήθη, φησίν, ὑπ' ἐκείνων, ἔτι νέος ὢν, καὶ οὐκ αὐ-

НБ ОНУ імені І.І.Мечникова

τὸς ἐπὶ μισθῷ ἦλθεν, ἀλλ᾽ αὐτο ἐκαλέσαντο· καὶ βουλευόμε-
νος εἶχε καταπεισθεὶς ἐκείνους· συνάγει γοῦν διὰ τούτων, ὅτι
τοὺς νῦν Ἕλληνας μάλιστα του τῷ πειστέον, εἴπερ αὐτοὶ μὲν
οὐ κράτιστοι κατ᾽ ἐκείνους, αὐτ ς δὲ οὐκ ἔτι νέος, ὡς τότε,
ἀλλ᾽ ὅσον αὐτοὶ τοὺς Λαπίθας ἀνδρίᾳ ὑποβεβήκασι, τοσοῦτον
αὐτὸς ἑαυτὸν, τῇ ἐκ νέου συνέσε ι διὰ τὴν ἐκ τοῦ γήρως ἐμ-
πειρίαν ὑπεραναβέβηκε. Ε.

Σ. 271. Κατ᾽ ἔμ᾽ αὐτόν] Κατ ὰ τὴν ἐμαυτοῦ δύναμιν. Ε. [ἴδ.
Β. 366.] —Ἰστέον δὲ καὶ ὅτι οὐκ ἔστι παρὰ τῷ ποιητῇ συν-
τεθειμένη ἀντωνυμία, ἀλλ᾽ ὁπηνί κα συνθέτως ἀντονομάσαι βού-
λεται, δύο ταυτοσήμους ἐκ παρ αλλήλου ἀντωνυμίας τίθησιν,
οἷον βουλόμενος εἰπεῖν ἑαυτὸν, λέ γει ἓ δ᾽ αὐτὸν ἐποτρύνει μά-
χεσθαι. — Οὕτως οὖν καὶ ἐνταῦ θα τὸ κατ᾽ ἐμαυτὸν, Κατ᾽ ἔμ᾽
αὐτὸν εἶπεν· οὐ θέλουσι γὰρ οἱ παλαιοὶ συνθέτως γράψαι κατ᾽
ἐμαυτόν. Ε.

Σ. 272. Μαχέοιτο] Ἔστι δὲ τὸ μάχοιτο ἀντὶ τοῦ ἐρίσοι καὶ
ἐξισωθείη τὰ εἰς μάχην. — Ὅρ α δὲ καὶ τὸ πιθανὸν τοῦ ῥή-
τορος· ὁμολογεῖ γὰρ μὴ πάνυ ἀνδρεῖος γενέσθαι, ἵνα πιστὸν
ποιήσῃ τὸ τῆς συνέσεως. Ε.

Σ. 273. Ξύνιον] Καὶ ὅρα τὸ ξύνιον γενικῇ συνταχθὲν, δηλοῖ
δὲ τὸ ξυνίεσαν καὶ ᾐσθάνοντο, καὶ ὡς ὁ ποιητὴς εὐθὺς ἑρ-
μηνεύει, ἐπείθοντο μύθῳ. Ε.

Σ. 275. Μήτε σὺ] Γενναία δὲ ἡ τοῦ Νέστορος ἀξίωσις,
αὐτοῖς ἐπαξιοῦσα καὶ μόνοις τοῖς ἀναγκαιοτάτοις διὰ τὸ κα-
τεπεῖγον, καὶ μηδὲν τοῦ καιρίου καὶ ἀληθοῦς πλέον λέγουσα,
καί πως ἀμφοῖν τοῖν ἀριστέοιν χαριζομένη δίχα πανουργίας·
καὶ γὰρ ἀξιοῖ, μηδὲ τὴν Βρισηΐδα ὑπὸ τοῦ βασιλέως ἀφαιρε-
θῆναι, ἥν, ὡς καὶ Ἀχιλλεὺς ἔφη, οὐκ αὐτὸς, ἀλλ᾽ οἱ Ἀχαιοὶ
γέρας ἔδοσαν τῷ Ἀχιλλεῖ, μήτε μὴν τὸν Ἀχιλλέα ἐρίζειν
τῷ βασιλεῖ. Ε.

Σ. 277. Ἔθελ᾽] Φασὶ μὴ εἶναι παρὰ τῷ ποιητῇ τὸ θέλειν
δισυλλάβως, ἀλλὰ ἐθέλειν μετὰ τοῦ ε¯. Ε.

Σ. 281. Φέρτερος] Τὸ φέρτερος, λείπουσαν ζητεῖ πρόθεσιν
τὴν πρὸ ἢ ὑπὲρ· δηλοῖ γὰρ προφερέστερον ἢ ὑπερφερέ-
στερον. Ε.

Σ. 283. Λίσσομ᾽ κ. τ. λ.] Καὶ ὅρα, ὅπως οὐδὲν μὲν Νέ-
στωρ ἐπέκρυψε τῶν ἀγαθῶν, ὧν ἔχουσιν ὁ βασιλεὺς καὶ ὁ Ἀ-
χιλλεύς· ἐθέλει δὲ ὅμως, μᾶλλον δὲ λίσσεται διὰ τὸ σεμνότερον,

НБ ОНУ імені І.І.Мечникова

ὅ ἐστι λιτανεύει τὸν βασιλέα, παύσασθαι τοῦ χόλου τῷ Ἀχιλλεῖ· κρίνει γὰρ ἀδικεῖσθαι αὐτόν· ὁ δὲ βασιλεὺς ὁμολογεῖ μὲν εὖ εἰπεῖν τὸν γέροντα ῥήτορα, οὐ ποιεῖ δὲ τὸ συμβουλευθὲν, ἀλλ' αἰτιᾶται τὸν Ἀχιλλέα, ὡς πάντων ἐθέλοντα περιεῖναι, οὐδὲν λέγων ἀληθές· μάτην δὲ οὕτω τὴν αἰτίαν τῆς ἔριδος ὑπὸ φιλονεικίας ἀνατιθεὶς τῷ Ἀχιλλεῖ· διὸ καὶ βλαβήσεται ὕστερον, ὡς καὶ λιτὰς τοῦ γέροντος παριδὼν, καὶ ὡς ἀγαθῷ συμβούλῳ μὴ πεισθείς. — Ἰστέον δὲ ὅτι ταὐτὸν ἐνταῦθα ἕρκος καὶ τεῖχος εἰπεῖν. Ε.

Σ. 286. Κατὰ μοῖραν] Κατὰ τὸ προσῆκον, κατὰ τὸ πρέπον. Σ.

Σ. 287. Ἐθέλει περὶ κ. τ. λ.] Ὅρα καὶ τὴν τοιαύτην ταυτολογίαν τοῦ Ἀγαμέμνονος μὲν οὖσαν, πρέπουσαν δὲ ἀνδρὶ θυμουμένῳ· καὶ γὰρ ὁ θυμὸς οὐκ ἐπιτρέπει τῷ λαλοῦντι συλλέγειν νοήματα, ἀλλὰ μίαν ἔννοιαν ἐμπερικλείσας τῷ στόματι, ἀφίησι μασσᾶσθαι αὐτήν· οὐδέποτε γὰρ οἴονται οἱ θυμούμενοι ἱκανῶς εἰρηκέναι, ὥς φασιν οἱ σοφοὶ, ἀλλὰ πολλάκις ἐπανακυκλοῦσι τὰ αὐτά. Ε. — Περὶ τουτέστι πάντων θέλει ὑπερέχειν. Σ.

Σ. 291. Προθέουσιν] Προτρέχουσιν, συνιᾶσιν. Σ. ὅτι ὁμολογεῖ μὲν Ἀγαμέμνων ἀνδρεῖον εἶναι τὸν Ἀχιλλέα, αἰτιᾶται δὲ ὡς ὑβριστὴν, λέγων· εἰ δέ μιν — τοὔνεκα οἱ προτρέχουσιν ὀνείδεα μυθήσασθαι; τουτέστιν εἰ δὲ ἀνδρεῖός ἐστι, διὰ τοῦτο αἱ ὕβρεις αὐτῷ τοῦ λέγειν προτρέχουσι; Ε.

Σ. 292. Ὑποβλήδην] Ὑποβαλὼν τὸν ἴδιον λόγον Ἀχιλλεὺς καὶ μεσολαβήσας τὸν Ἀγαμέμνονος, πρὶν ἢ σιωπῆσαι αὐτὸς εἰπών. Σ. Ὑποβλήδην, ὅ ἐστιν ὑποβλητικῶς καὶ ὡς ἐν περικοπῇ διεξοδικοῦ λόγου· ὑποβάλλειν δέ ἐστι, τὸ ἄλλου λέγοντος, μὴ ἀνασχέσθαι ἀπαρτισθῆναι τοὺς λόγους, ἀλλ' ὑποβαλεῖν τοὺς ἑαυτοῦ. Ε.

Σ. 296. Σήμαιν'] Τινὲς ἀρέσκονται, ὡς καὶ Λογγῖνος δηλοῖ, νόθον εἶναι τὸν δεύτερον στίχον, οὗ κατάρχει τὸ, σήμαινε, στίζοντες εἰς τὸ, μὴ γὰρ ἔμοιγε, τελείαν, καὶ λαμβάνοντες ἐκ κοινοῦ τὸ, ἐπιτέλλεο. Ε.

Σ. 298. Μαχήσομαι] Ὅτι κατὰ τοὺς παλαιοὺς ἡ Μασσαλιωτικὴ καὶ Σινωπικὴ ἔκδοσις τῆς Ἰλιάδος τὸ μαχήσομαι διὰ τοῦ η ἔχει. Ἡρακλέων δέ, φασιν, ὁ Γραμματικὸς, τὰ μὲν ῥήματα διὰ τοῦ ε προφέρει, μάχεσθαι, μαχέσασθαι καὶ τὸ μα-

χεσάμενον· τὰ δὲ ὀνόματα διὰ τοῦ η, μαχητής, μαχήμων. Ἡ δὲ πλείων χρῆσις διφορεῖ, καὶ μαχήσω καὶ μαχέσω λέγουσα.

Σ. 299. Ἀφέλεσθε] Τὸ δὲ ἀφέλεσθε βαρέως εἶπεν Ἀχιλλεύς· οὐ γὰρ ἔτι τὸν βασιλέα αἰτιᾶται, ὡς αὐτὸν ἀφελόμενον, ἀλλὰ τοὺς πάντας Ἀχαιοὺς, ὡς μηδὲν ὑπὲρ αὐτοῦ λαλήσαντας. Ε. Ἐπειδὴ δεδωκότες μοι αὐτὴν ἀφείλεσθε καὶ ὑβρίσατε ἑαυτοὺς γὰρ, οὐκ ἐμέ. Σ.

Σ. 301. Ἀνελών] Καὶ ὅρα τὸ ἀνελὼν, οὐκ ἀντὶ φονεύσας, ἀλλὰ λαβών· οὕτω δὲ ἀεί φησιν ὁ ποιητής· κυριολεκτεῖται δὲ ἡ λέξις ἐπὶ σωμάτων τῶν κάτωθεν ἐκ γῆς ἀναλαμβανομένων. Ε.

Σ. 302. Εἰ δ', ἄγε κτλ.] Ὅτι τὸ, εἰ δ' ἄγε τινὲς μὲν σχῆμα νοοῦσιν ἐλλείψεως, οἷον εἰ δὲ βούλει, ἄγε πειράθητι, ἕτεροι δὲ καὶ τοῦτο σχῆμα ἐκ παραλλήλου φασί· δύο ἐνταῦθα ἰσοδυνάμων κειμένων λέξεων, τοῦ τε Εἰ, παρακελευσματικοῦ ἐπιῤῥήματος, καὶ τοῦ ἄγε, ἀντὶ τοῦ εἶα ἄγε, ὡς ἐάν τις εἴποι, ἄγε δὴ φέρε· ὡς τοῦ δὲ, ἀντὶ τοῦ δὴ λαμβανομένου, ἵνα λέγῃ, ὅτι, εἶα δὴ ἄγε πείρησαι· φασί δε καὶ ὅτι τοῦτο τὸ Εἴ, προςλήψει τοῦ α γίνεται εἶα, ὃ δηλοῖ τὸ ἄγε, φέρε, καὶ ἀρέσκει οὕτω τῷ Νικάνορι, καὶ δοκεῖ κρειττόνως οὕτως ἔχειν· ἐν γὰρ τοῖς ἑξῆς εὑρεθήσονται τὰ τοιαῦτα σχήματα, ἐν οἷς τὸ μὲν εἰπεῖν, εἰ δὲ βούλει, ἄγε ποίησον τόδε, οὐκ ἔσται εὔοδον· τὸ δὲ εἰπεῖν, εἶα δὲ ἄγε ποίησον, πάνυ εὐοδωθήσεται. Ε.

Σ. 304. Ἀντιβίοισιν.] Ἀντίβια ἔπη, τὰ ἐναντιοδύναμα. Ε.

Σ. 305. Λῦσαν.] Τὸ τὴν σύναξιν σκεδάννυσθαι, λύεσθαι λέγεται. Ε.

Σ. 306. Ἐΐσας] Ἰσοτοίχους. Σ. Πορευτικὰς καὶ ταχείας. Ε.

Σ. 309. Ἔκρινεν] Ὅτι κρίνειν, οὐ μόνον ἐπὶ τοῦ δικάζειν, ἀλλὰ καὶ ἐπὶ τοῦ ἁπλῶς χωρίζειν καὶ ἐπιλέγεσθαι. — Οἱ καὶ ἔκκριτοι ἂν διὰ τοῦτο λεχθεῖεν. Ε.

Σ. 314. Λύματα] Περιττώματα. Ὅτι λύματα ἐλέγοντο τὰ καθάρματα· οἱονεὶ λούματά τινα ὄντα, ἅπερ ἐν τῷ λούεσθαι ἀπεβάλλοντο, καὶ τὸ καθαίρεσθαι ἀπολυμαίνεσθαι, καὶ ἦν παρὰ τοῖς παλαιοῖς αὕτη καιριωτάτη λέξις ἐν ταῖς ἐπὶ θυσίᾳ καθάρσεσι. — Διατί δὲ εἰς τὴν ἅλα; ἢ πάντως διὰ τὸ φύσει ῥυπτικὸν εἶναι τὸ τῆς θαλάσσης ὕδωρ· εἰς τὴν ἀπέριττον οὖν φασι τὰ περιττώματα ἔβαλλον, διὸ καὶ παροιμία φησὶ, θάλασσα κλύζει πάντα τἀνθρώπων κακὰ, ἣ παρ' Εὐριπίδῃ κεῖται. Ε.

НБ ОНУ імені І.І. Мечникова

Σ. 316. Ἀτρυγέτοιο] Ἀκαταπονήτου, πολλῆς, ἤ, ὡς ἔνιοι φασι, τῆς ἀκάρπου. Σ. ὅτι ἀτρύγετος ἡ θάλασσα, ἢ ἡ βαθεῖα, ἧς οὐκ ἔστιν εὑρεῖν τρύγα, ἢ οἷον ἀτρύετος, ἤγουν ἀκαταπόνητος, διὰ τὴν τοῦ στοιχείου δύναμιν· ἢ ἀφ' ἧς οὐδὲν τρυγῶμεν· τὸ γὰρ τρυγᾷν ἐπὶ γῆς κυριολεκτεῖται. Ε.

Σ. 317. Κνίσση] Ἡ λέξις τέσσαρα σημαίνει, ὡς τῷ Πορφυρίῳ δοκεῖ· αὐτὸ τὸ λίπος, καὶ τὸν ἐπίπλουν, καὶ τὸ κρέας, καὶ τὴν ἀναθυμίασιν. Σ. Ὅτι τὸ κνίσσῃ — καπνῷ, ἐμφαντικόν ἐστι τῆς τῶν τυθέντων ζώων ποιότητος. — Κνίσσα δὲ καὶ νῦν, ἡ τῆς πιμελῆς ἀνάδοσις· οὐρανὸς δὲ ὁ ἀήρ. — Τὸ δὲ περὶ καπνῷ καινότερον συντέτακται· τὸ γὰρ κοινὸν περὶ καπνόν· καὶ ἀττικισμός ἐστιν, ἢ κατὰ ἀναστροφὴν κεῖται ἡ πρόθεσις, ἵνα ᾖ περιελισσομένη καπνῷ. Ε.

Σ. 321. Ὀτρηρὼ θεράποντε] Ὀτρηροὺς θεράποντας, ὅ ἐστι σπουδαίους. Ε. — Ὀτρηρὸς, ὁ ἐνεργός· ὁ μὴ ἀναμένων παροτρυνθῆναι παρά τινός. — Τὸ δὲ θεράπων κατὰ Κρῆτας δηλοῖ φασι δοῦλον ὁπλοφόρον, ὅπερ οὐκ οἶδεν Ὅμηρος. — Ἰστέον δὲ ὅτι ἄσυλοι εἰς τὸ παντελὲς ἦσαν οἱ κήρυκες, οἷα θεῖον γένος νομιζόμενοι· ἐδόκουν γὰρ κατάγεσθαι ἀπὸ Κήρυκος υἱοῦ Ἑρμοῦ, ὃς ἐκ Πανδρόσου ἐγεννήθη αὐτῷ, θυγατρὸς Κέκροπος. — Καὶ ἦσαν μέσοι θείου τε γένους καὶ ἀνθρωπίνου, καὶ οὐκ ἦν θεμιτὸν κακοῦσθαι αὐτούς. Ε.

Σ. 322. Ἔρχεσθον] Ἀπέρχεσθε. Σ. Ταὐτόν ἐστιν εἰπεῖν ἔρχεσθον κλισίην, καὶ ἔρχεσθον εἰς κλισίην, καὶ ἔρχεσθον κλισίην δε. — Ἰστέον δὲ, ὡς ἐν τῷ ἔρχεσθον κλισίην, δύναται καὶ ἡ ἐπὶ πρόθεσις λείπειν. (ἴδ. στ. 328).

Σ. 323. Χειρὸς ἑλόντ' ἀγέμεν] Χειρὸς λαβόντας ἤτοι ἀψαμένους ἢ ἀπὸ χειρὸς λαβόντας ἄγειν τὴν Βρισηΐδα. — Ὅτι καὶ παρ' Ὁμήρῳ, καθὰ καὶ Ἡσιόδῳ καὶ ἄλλοις, ἀντὶ προστακτικῶν λαμβάνονται τὰ ἀπαρέμφατα, οἷον ἐνταῦθα τὸ, χειρὸς ἑλόντε ἀγέμειν Βρισηΐδα, ἤγουν ἄγετε· ἔοικε δὲ καὶ τοῦτο τὸ σχῆμα κατ' ἔλλειψιν γίνεσθαι, ὡς ῥήματος προαιρετικοῦ τινος λείποντος· οἷον τοῦ, θελήσατε ἀγέμειν, ἢ σπεύσατε, ἢ τοιούτου τινός. Ε. (ἴδ. Βέκ. Ἀριστοφ. Ὀρνιθ. στ. 1074.)

Σ. 325. Ἐλθὼν σὺν πλεόνεσσι] Τὸ δὲ σὺν πλεόνεσσιν, οὐ τὸ (τῷ) ἐλθὼν συντακτέον, ἀλλὰ τὸ ἕλωμαι· ἵν' ᾖ, μετὰ πολλῶν καὶ ἄλλων κτημάτων αὐτὴν ἀφαιρήσομαι. Σ. Οὐδετέρου γένους

ἐστὶ τὸ πλεόνεσσιν, ἵνα λέγῃ, ὅτι ἐλθὼν ἀφαιρήσομαι τὴν Βρισηΐδα σὺν ἄλλοις πολλοῖς τοῦ Ἀχιλλέως κτήμασι, καὶ συμφωνεῖ τοῦτο καὶ εἰς αὐτοῦ βασιλέως φιλοκτέανον· τὸ δὲ εἰπεῖν, ὅτι ἐλθὼν σὺν πλεόνεσσιν ἀνδράσιν ἀφέλωμαι τὴν Βρισηΐδα, ἀγεννές φασί τινες, καὶ βασιλικῆς φωνῆς οὐκ ἄξιον· δειλίαν γὰρ κατηγορεῖ τοῦ ἀπειλοῦντος, καί, ὡς ὠνειδίσθη, καρδίαν αὐτὸν ἔχειν ἐμφαίνει ἐλάφου· δύναται μέν τοι ἄλλως ἀψόγως καὶ τοῦτο νοηθῆναι, ὡς οἷα καταδημαγωγοῦντος τοῦ βασιλέως τοὺς Ἕλληνας, ὡς δυναμένους τῷ Ἀχιλλεῖ ἀντεπεξάγεσθαι, περὶ ὧν καὶ φθάσας εἶπεν, ὅτι πάρεισί μοι, καὶ ἄλλοι, οἵ κέ με τιμήσουσι. — Ἐπάγει, τό οἱ καὶ ῥίγιον ἔσται, ὡς φρικαλέου ἐσομένου τῷ Ἀχιλλεῖ, τοῦ ἐπελθεῖν αὐτῷ καὶ τοὺς Ἀχαιούς· ῥίγιον δὲ τὸ φρικτὸν διὰ τὸ καὶ ῥῖγος ἐν τοιούτοις πολλάκις γίνεσθαι. E. — Ῥίγιον] Φρικωδέστερον καὶ χαλεπώτερον. Σ.

Σ. 327. Ἀέκοντε] Ἤδεισαν γάρ, οὐκ ἐπὶ δικαίοις βαίνοντες, ἐπείθοντο δὲ ὅμως τῷ βασιλεῖ. E.

Σ. 330. Ἰδὼν γήθησεν] Ὅτι μυριαχοῦ φίλον τοῖς ῥήτορσιν ἀντὶ καταφάσεως εὐειδεῖ χρῆσθαι σχήματι τῷ κατὰ ἀπόφασιν, ὡς ὅτι φησίν, ὡς οὐ γήθησεν Ἀχιλλεὺς ἰδὼν τοὺς ἐκ βασιλέως κήρυκας, ἀλλ' ὑπερελυπήθη δηλονότι. E.

Σ. 331. Ταρβήσαντε] Διὰ τὴν ξιφουλκίαν. Σ. Ὅτι φόβος τε ὑπῆν τοῖς κήρυξι καὶ αἰδώς, ὁπηνίκα τὸν Ἀχιλλέα εἶδον· φόβος μέν, διὰ τὴν φθάσασαν λαληθῆναι ἀπειλὴν ὑπ' αὐτοῦ· αἰδὼς δὲ διὰ τὴν τοῦ ἥρωος ἀρετήν· — καὶ ἐπαινεῖται πανταχοῦ ἡ συζυγία τοῦ φόβου καὶ τῆς αἰδοῦς, ὁπηνίκα τοῖς ἐλάττοσι πρὸς τοὺς μείζονας ἔνεστι. — Σημείωσαι δέ, ὅτι, εἰ καὶ οἱ κήρυκες ἐταρβήθησαν, οὐδὲ γὰρ εἶχον τῆς χειρὸς ἑλεῖν τὴν Βρισηΐδα, ὡς ὁ βασιλεὺς ἐπέταξεν, ἀλλ' ὁ Ἀχιλλεὺς ἑκὼν δώσει αὐτήν, ἵνα μὴ ἐμφύλιος μάχη μελετηθῇ· καὶ ἄλλως μεθοδεύοντος οὕτω τοῦ ποιητοῦ, ἵνα μή, τῆς περιπετείας αὐξηθείσης πλέον τοῦ δέοντος, ἱστορηθῇ τι παρὰ τὸ ἀληθές, καὶ ἐκπέσῃ ὁ λόγος εἰς κακόζηλον. Ὅτι πολλὰ τῶν προσώπων ὁ ποιητὴς σιωπῶντα εἰσάγει, ὁπηνίκα μὴ ἔστι καίριον λόγους περιτιθέναι αὐτοῖς· καὶ ἔστιν ἀληθῶς φρονούντων ἀνθρώπων, προτιμᾶσθαι σιγὴν εὔλογον ἀκαίρου λόγου· ἐνταῦθα γοῦν οἱ κήρυκες ἐλθόντες εἰς Ἀχιλλέα τὸν τηλικοῦτον, καὶ εἰδότες, ὅποι ἦλθον, οὐδέν τι προσφωνοῦσιν αὐτόν, ἀλλὰ σιωπῶντες

НБ ОНУ імені І.І. Мечникова

ἵστανται· διατί; θωπεύειν μὲν γὰρ οὐκ εἶχον τὸν Ἀχιλλέα βασιλικοὶ ὄντες· δουλοπρεπὲς γὰρ τοῦτό γε· παροξύνειν δὲ οὐκ ἐτόλμων· διὸ σιωπῶντες ἵστανται· καὶ ἐν τοῖς ἑξῆς (στ. 446.) δὲ σιγᾷ ὁ Χρύσης ἀπολαβὼν τὴν Χρυσηΐδα, ἐπεὶ οὔτε ἀχαριστεῖν εἶχεν, ἔχει γὰρ τὸ ποθούμενον, οὔτε μὴν εὐχάριστόν τι λαλεῖ, μεμνημένος τῶν τοῦ Ἀγαμέμνονος ἀπειλῶν, καὶ εἰδὼς, ὅτι ἀκόντων Ἑλλήνων, ἔσχε τὴν θυγατέρα· εὑρήσεις δὲ καὶ ἄλλα πρόσωπα σιωπῶντα παρὰ τῷ ποιητῇ τὰ μὲν διὰ φόβον, τὰ δὲ διὰ πένθος ἢ διὰ θάμβος, ὡς καὶ ἡ Βρισηῒς ἐνταῦθα θαμβουμένη σιγᾷ· καὶ θαυμάσεις τὸν ποιητὴν, ὥσπερ λέγοντα, οὕτω δὴ καὶ σιωπῶντα.

Σ. 334. Διὸς ἄγγελοι] Ὅτι τοὺς κήρυκας διὸς ἀγγέλους ὁ Ἀχιλλεὺς λέγει καὶ ἀνδρῶν, διὰ τὸ ἔν τε πάσαις θυσίαις αὐτοὺς διακονοῦντας μεσιτεύειν, καὶ μὴν καὶ ἐν ἀνδρῶν βουλαῖς τε καὶ ἀγοραῖς· ἢ διὸς μὲν, διότι καὶ αὐτοὶ γαρύοντες, (γηρύοντες) ἤτοι φωνοῦντες, ἀγγέλλουσι, ὡς Ἑρμῆς τε καὶ Ἶρις, οἱ περὶ τὸν Δία εἴροντες, καὶ διότι καὶ ἐξ Ἑρμοῦ υἱοῦ Διός εἰσιν, ὡς προείρηται (στ. 321.), καὶ εἰς αὐτὸν ἀναφέρονται· ἀνδρῶν τε, διότι βασιλέων ὑπηρέται εἰσίν. Ε.

Σ. 335. Ἐπαίτιοι] Αἴτιοι· πεπαιδευμένως δέ· οὐ γὰρ δεῖ τὰς ἰδίας (ἔχθρας, αἰτίας, ἀπὸ τοῦ κοινοῦ, ἐπαίτιοι) ἐφ' ἑτέρους μετάγειν, ὡς κύνα κατὰ τοῦ βεβλημένου λίθου. Σ.

Σ. 337. Διογενὲς Πατρόκλεις] Ἰστέον δὲ ὅτι τὸν Πάτροκλον ἡ παλαιὰ ἱστορία καὶ συγγενῆ τῷ Ἀχιλλεῖ παραδίδωσι, λέγουσα, ὅτι Ἡσίοδός φησι, Μενοίτιον τὸν Πατρόκλου πατέρα Πηλέως εἶναι ἀδελφὸν, ὡς εἶναι αὐτανεψιοὺς οὕτως ἀμφοτέρους ἀλλήλοις· ἄλλοι δέ φασιν, ὅτι Διὸς Μυρμιδὼν, οὗ Ἄκτωρ· ὃς Αἴγιναν γήμας μετὰ τὸ τεκεῖν τὸν ἐκ Διὸς Αἰακὸν, ποιεῖται Μενοίτιον, οὗ Πάτροκλος· τούτῳ τοίνυν τῷ λόγῳ Αἰγίνης παῖδες ἀμφιπάτορες Αἰακὸς καὶ Μενοίτιος, καὶ οὕτω πάλιν γνησία συγγένεια τῷ Πατρόκλῳ καὶ τῷ Ἀχιλλεῖ. Ε.

Σ. 338. Τὼ δ' αὐτὼ μάρτυροι ἔστων] Κἀκεῖνο δὲ ἰστέον, ὡς πολλαὶ τῶν εἰς ος ληγουσῶν γενικῶν ἀναδρομὴν πάσχουσιν εἰς εὐθεῖαν· οἷον τρωὸς τρωὸς, ὁ τρωὸς, ἤγουν, ὁ τρωϊκός· δμωὸς δμωὸς, ὁ δμωὸς, ὁ φύλαξ, τοῦ φύλακος, ὁ φύλακος· οὕτως οὖν καὶ ἡ μάρτυρος, γενικὴ, ἀναδραμοῦσα εἰς εὐθεῖαν, ἐποίησε τὸ ὁ μάρτυρος. — Ἔτι ἰστέον, ὡς τὸ, μάρτυροι ἔστων πρός τε θεῶν, κ. τ. λ. ἀντὶ τοῦ ἔμπροσθεν θεῶν καὶ ἀνθρώ-

НБ ОНУ імені І.І. Мечникова

πων. — Τὸ δὲ μάρτυροι ἔστων, ἀρχαϊκῶς ἀττικίζεται κατὰ
ἔθος συντάσσον οὐ μόνον δυϊκὰ ὀνόματα πληθυντικοῖς ῥήμασιν,
ἀλλὰ καὶ πληθυντικὰ ἑνικοῖς καὶ ἀνάπαλιν· τὸ δὲ ἔστων, ἢ
ἐκ τοῦ ἔστωσαν συγκέκοπται, ἢ ἐκ τοῦ ἔστω τρίτου ἑνικοῦ
γέγονε προςλήψει τοῦ ν. Ε. Ἔστων· ἔστωσαν, ὑπαρχέτωσαν.
Σ. — Οἱ Πυθαγόρειοι κατὰ (μετὰ) θεὸν, κατὰ τὸ ἀνθρώπειον
γένος, ὅλον τρίτον (γένος ὅλον, τρίτον) ἐτίθεντο σεβάσμιον,
τὸν βασιλέα ἢ σοφὸν ἄνδρα. Ὁμήρου δὲ πρώτου μεταξὺ θεῶν
καὶ ἀνθρώπων θέντος τὸν βασιλέα, καὶ πάλιν τὸν βασιλέα
προτιμῶντα ποιήσαντος αὐτοῦ τὸν σοφὸν ἄνδρα, περὶ μὲν γὰρ
τοῦ βασιλέως τοιαῦτα λέγει· τῷ δ' αὐτῷ μάρτυροι ἔστων —
βασιλῆος, προςέθηκε δὲ διὰ τὴν ὀργὴν ἀπηνέος· αὐτὸς δὲ ὁ
βασιλεὺς οὐ μεταπέμπεται Νέστορα, σκοπούμενος περὶ τῶν συμ-
φερόντων· καὶ αὐτὸς ἄπεισιν. Ἥδε δὲ οἱ κατὰ θυμὸν ἀρίστη
φαίνετο βουλή, Νέστορ' ἐπὶ πρῶτον Νηλήϊον ἐλθέμεν' ἀνδρῶν
(Κ, 17.). Παρ' Ἰνδοῖς τε τοὺς Βραχμάνας, οἵπερ εἰσὶ παρ' αὐ-
τοῖς φιλόσοφοι, λόγος τοὺς βασιλέας ἀπαντῶντας προςκυνεῖν.

Σ. 340. Βασιλῆος ἀπηνέος] Ὅτι μέγα εἰς ἀταραξίαν ψυ-
χῆς, τὸ προετοιμασθῆναι καὶ ἑαυτὸν προμαλάξαι τῇ καραδοκίᾳ
τοῦ μέλλοντος λυπηροῦ· ἰδοὺ γὰρ ὁ Ἀχιλλεὺς ὁ φθάσας πολλὰ
εἰπεῖν καὶ κινῆσαι τὸ συνέδριον διὰ τὴν ἀπειλὴν τοῦ βασι-
λέως, ἐν αὐτῇ τῇ ἀποβάσει τῆς ἀπειλῆς, καὶ ἀφαιρέσει τῆς
κόρης οὐ μικροψυχεῖ, οὐδὲ φθέγγεταί τι κατὰ τοῦ βασιλέως
πλέον, ἀλλ' ἢ μόνον ἀπηνέα καλεῖ αὐτὸν βασιλέα, καὶ διὰ
τοῦτο ἐκ θυμοῦ, ἀπροόρατον τοῦ μέλλοντος. — Ἀπηνὴς δὲ
κοινῶς μὲν ὁ σκληρὸς καὶ ἐναντίος πρὸς τὸν ἐνηῆ· ἀττικοὶ δὲ
ἀπηνὲς καὶ τὸ ἁπλῶς ἄπο αἴνου ἔλεγον, ἤτοι τὸ ἀπαίδευτον.
— Σημείωσαι δὲ, ὡς ἐν τῷ, πρὸς τοῦ βασιλῆος ἀπηνέος, οὐ
πάνυ ἀσυνήθης ἐστὶν ἡ φράσις· τὸ γὰρ κοινότερον, πρὸς τοῦ
ἀπηνέος βασιλέως· αἴτιον δὲ τοῦ συσχεθῆναι τὴν φράσιν ὁ θυ-
μὸς τοῦ λαλοῦντος. Ε. Σιλευκὸς γράφει ἀναιδέος· οὐ ἐπί-
φορον γὰρ εἶναι τὸν Ἀχιλλέα εἰς τὸ ἀναιδῆ καλεῖν τὸν Ἀ-
γαμέμνονα (στ. 149.).

Σ. 342. Θύει] Ἐνθουσιωδῶς ὁρμᾷ, ὅ ἐστι μαίνεται. Σ.
Ὅτι ἐν τῷ, ὀλοῇσι φρεσὶ θύει· τὸν θυμὸν παρετυμολογεῖ· ἐκ
τοῦ θύειν γὰρ, ὅ ἐστιν ὁρμᾶν παράγεται ὁ θυμός· ἐκ δὲ
τοῦ ὀλοῇ φρὴν σύγκειται τὸ, ὀλοόφρων· ὀλέθρια δὲ φρονεῖν
λέγει τὸν βασιλέα, οὐ μόνον ἑαυτῷ, ἀλλὰ καὶ τοῖς ἄλλοις

НБ ОНУ імені І.І.Мечникова

Ἀχαιοῖς· τὸ δὲ πάθος τοῦ στίχου τὸ ἐν τῷ, ὀλοῇσι θεραπεύουσιν οἱ μετρικοὶ, ὡς οἴδασιν ἐκεῖνοι λαγαροῦ ὄντος, καὶ ἐκτείνοντος μουσικῶς τὴν λο συλλαβὴν, διὰ τῆς ἐφεξῆς περισπωμένης· τινὲς μέν τοι ἐτόλμησαν γράψαι ὀλοῇσι [ὀλωῇσι, ὀλοιῇσι] φρεσὶν, ἵνα οὕτως ἀπαθὴς εἴη ὁ στίχος. Ε.

Σ. 343. Νοῆσαι ἅμα πρόσσω καὶ ὀπίσσω] Ὅτι ἀνδρὸς φρονίμου καὶ ἀγχινουστάτου ἴδιον τὸ, ἅμα νοεῖν τάτε πρόσω, τουτέστι τὰ παρελθόντα, καὶ τὰ ὀπίσω τουτέστι τὰ μέλλοντα, καὶ ἐκ τῶν παρεληλυθότων στοχάζεσθαι, οἷα καὶ τὰ μέλλοντα ἔσται. (Τλ. Σ, 250.) τουτέστι ἐπεὶ οὐκ οἶδεν, ὅτι, ὥσπερ τὰ πρὸ τούτου δι᾽ ἐμοῦ πολεμαρχοῦντος ἠνύετο, οὕτω καὶ τὰ ἐσύστερον· καὶ οὔτε ἐκεῖνα ἐμοῦ δίχα δι᾽ ὧν ὅσοι ἐμάχοντο, οὔτε τὰ μετὰ ταῦτα. — Καὶ νῦν μὲν οὕτω ψέγει τὸν μὴ ἅμα, τουτέστιν ὁμοῦ ἐν ἀμερεῖ χρόνῳ τά τε πρόσω καὶ τὰ ὀπίσω βλέποντα, ἀλλὰ ἀναμένοντα τὸν ἐπιόντα χρόνον εἰς διδασκαλίαν τῶν ἀποβησομένων. Ε. — Πρόσσω καὶ ὀπίσσω] Τὸ παρὸν καὶ τὸ μέλλον· τουτέστι οὐκ οἶδε προσκοπῆσαι καὶ τὴν ἀρχὴν καὶ τὴν ἀπόβασιν τοῦ πράγματος. Σ.

Σ. 349. Δακρύσας ἑτάρων] Ὅτι συμπαθεῖς οἱ ἥρωες παρὰ τῷ ποιητῇ καὶ ἑτοιμοδάκρυες καὶ ἔστιν ἀγαθοῦ ἤθους τὸ τοιοῦτον παραστατικόν· διὸ καὶ ἡ παροιμία φησὶν, ἀγαθοὶ δ᾽ ἀριδάκρυες ἄνδρες· καὶ ἐν τοῖς ἑξῆς δὲ Ἀγαμέμνων οἷα κρήνη μελάνυδρος προῤῥέει τὰ δάκρυα· (Ι, 14.) καὶ ὁ Πάτροκλος δέ που ὡς κόρη νηπία δακρύει [Π, 7.] — Οὐ γὰρ ἀπαθὴς ὁ σπουδαῖος, ἀλλὰ μετριοπαθής· ἀρκεῖ δὲ αὐτῷ, ὅτι οὐκ ἀντελάβετο τῆς Βρισηΐδος· καὶ ὅτι οὐδὲν εἶπε βαρὺ πρὸς τοὺς κήρυκας, οὐδὲ ἔπραξεν· εἰ δὲ δακρύει, μέτριον τοῦτο πάθος καὶ οὐ πάνυ ἐπίμομφον· ὁ δὲ καὶ τοῦτο αἰδεῖται ποιῶν· διὸ καὶ νόσφι τῶν ἑτάρων ἑζόμενος δακρύει, ὅτι ἠτίμωται· οὐ γὰρ φιλογύνης ὁ νεανίας, ἀλλὰ φιλότιμος· ὁ μέν τοι παρὰ τῷ Σοφοκλεῖ Αἴας (στ. 580.), οὐδὲ ἐπὶ τοῖς μεγίστοις τῶν κακῶν ἐδάκρυσεν· ἐμβριθὴς γὰρ ἐκεῖνος, καὶ μεγαλόθυμος καὶ μανίας ἐγγύς. Ε.

Σ. 350. Πολιῆς] Λευκῆς, διὰ τὸν ἀφρόν. Σ. Ὅτι ἔοικε τὸ παλαιὸν, ὁ οἶνος μέλας εἶναι τὴν χρόαν, μήπω περιεργασαμένης τῆς τρυφῆς τούς τε λευκοὺς καὶ τοὺς κιῤῥοὺς καὶ τοὺς ἀνθοσμίας· καὶ βότρυες δὲ ὡς ἐπιπολὺ τοιοῦτοι· οἷον, μέλανες δ᾽ ἀνὰ βότρυες ἦσαν [Σ, 562.] ὅθεν καὶ πόντον οἴνοπά φα-

НБ ОНУ імені І.І. Мечникова

σιν ὁ ποιητής, τουτέστιν οἴνου ὄψιν ἔχοντα, καθ' ὁμοιότητα τοῦ αἴθοπ' οἴνου, ἀντὶ τοῦ μέλας, ὡς μετ' ὀλίγα ἐρεῖ ὁ ποιητής· εἰ δὲ καὶ πολιὰν ἅλα λέγει ἀντὶ τοῦ λευκήν, ἀλλὰ τοῦτο, ἢ τοῦ περὶ τὸν αἰγιαλὸν μέρους τῆς θαλάσσης κατὰ τοὺς παλαιοὺς ἐστιν ἐπίθετον, ὡς ἀεὶ τῆς παραιγιαλίτιδος λευκοτέρας οὔσης τοῦ πόντου, ὅς ἐστι τὸ τῆς θαλάσσης βαθύ, ἢ τὴν ἐπαφρίζουσαν δηλοῖ, καὶ οὕτω λευκανθίζουσαν. — Σημείωσαι δὲ, ὅτι πολλῶν ὄντων ἐπιθέτων θαλάσσης, οὐ πάντα τῇ ὅλῃ προσαρμόττουσι θαλάττῃ, ἀλλὰ τὰ πλείω μέρεσί τισιν αὐτῆς· γλαυκὴ γοῦν, οὐ πᾶσα· μόνη δὲ καὶ ἡ ἀβαθής, καὶ ἄμμον δὲ ὑποκειμένην ἔχουσα λευκήν, καὶ οὕτω χρῶμα γλαυκὸν παραυγάζουσα· καὶ πολιὰ δὲ θάλασσα ὁμοίως οὐ πᾶσα· ἡ πρὸς τῷ αἰγιαλῷ δέ· μέλας δέ γε πόντος, ὁ ἀκράτως τοιοῦτος· τὸ μέν τοι πορφύρεον καὶ τὸ κυάνεον καὶ τὸ οἰνωπὸν, διαφοραὶ μελανίας, ὥσπερ καὶ τὸ δνοφερὸν ὕδωρ· ὅτε τοίνυν πόντος μέλας ἢ πορφύρεος ἤτι τῶν τοιούτων λέγεται, ὡς ἀπὸ μερῶν εἰς τὸ πᾶν τὸ ἐπίθετον φέρεται. — Ὁρόων ἐπί — πόντον· ἀποπλέων οἷον τῇ θέᾳ εἰς τὴν πατρίδα· καὶ σώματι μὲν ἐν τῇ Τροίᾳ παρὼν, τῇ φαντασίᾳ δὲ τὴν Φθίαν ὁρῶν· ἔχει δὲ καὶ ἄδειαν οὕτω πενθεῖν ἀμέμπτως, μηδενὸς ὁρῶντος. — Προοικονομεῖ δὲ πιθανῶς ἐνταῦθα ὁ ποιητὴς καὶ τὸ ἐντυχεῖν εὐπλάστως καταμόνας τὸν Ἀχιλλέα τῇ μητρὶ Θέτιδι ἐκ θαλάσσης ἐλθούσῃ. Ε.

Σ. 352. Μινυνθάδιόν περ.] Ὅτι δύο κῆρες, ὡς ἡ ἱστορία φησὶν, εἰς ᾅδου κατῆγον τὸν Ἀχιλλέα, ἡ μὲν, ὀλιγοχρόνιος ἔντιμον, ἡ δὲ πολυετής, καὶ οὐ μετὰ τιμῆς. — Ἐνταῦθα δὲ συντομώτατα λέγων ὁ Ἀχιλλεὺς, δυσχεραίνει, ὅτι μινυνθάδιος ὢν, τουτέστιν, ὀλίγος τῷ χρόνῳ δηλαδὴ τῆς ζωῆς, ἤγουν μίνυνθα καὶ ἐπ' ὀλίγου ζῆσαι μέλλων, ὅμως οὐδὲ τιμὴν ἔχει. Ε.

Σ. 354. Ὑψιβρεμέτης] Ὁ ἐν ὕψει ἠχῶν, ὅ ἐστι βροντῶν· βρόμος δὲ κυρίως ὁ ἐκ τοῦ πυρὸς ἦχος. Σ.

Σ. 359. Ὀμίχλη] Ἔστι δὲ ὀμίχλη ὁ παχὺς καὶ ὑγρότατος ἀήρ. Σ. Ὅτι ἐν ἄλλοις μὲν, δαίμονά τινα. (Ἰλ. Ω, 80.) καταδυομένην εἰς τὴν θάλασσαν, μολυβδαίνῃ εἰκάσει· βάρους γὰρ χρεία τοῖς καταδυομένοις. Ἐνταῦθα δὲ τὴν Θέτιν ἀναβαίνουσαν ἐκ θαλάσσης ἀναδῦναι λέγει, καθὰ ὀμίχλην· καὶ γὰρ καὶ οἱ ἀναδυόμενοι κουφότητος δέονται, καὶ ἡ ὀμίχλη

τοιοῦτόν ἐστι. Ε. (στ. 496.) — Καρπαλίμως] Κραιπνῶς, ταχεῖα δὲ ἡ ἄνοδος, ὡς μητρὸς καὶ θεᾶς.

Σ. 361. Κατέρεξεν] Καταρέζειν ἐστὶ τὸ ῥέζειν, ἤγουν ποιεῖν πρᾶγμα οἰκεῖον καὶ αὐτὸ τῇ χειρὶ, ὅπερ ἐστὶ καταψᾷν καὶ ἅπτεσθαι ἠρέμα κολακευτικῶς. Κοινῶς δὲ κατέρεξε δι' ἑνὸς ρ̄ εἴρηται, ὡς καὶ τὸ ἔρεξεν· ἀττικῶς γὰρ διὰ δύο ρ̄ ρ̄ τὰ τοιαῦτα προφέρονται. Ε. κατέψυξε, καθωμάλισεν. Σ. — Ἔκ τ' ὀνόμαζε] Τὸν δὲ λόγον εἶπε, καὶ τὰ μέρη αὐτοῦ διεξῆλθε. Σ. Τὸ δὲ ἐξονόμαζεν, οἱ μὲν, ἀντὶ τοῦ ἐξ ὀνόματος ἐκάλει φασίν· ὅπερ ἐν πολλοῖς οὐκ ἀληθὲς εὑρεθήσεται ὥσπερ οὐδὲ ἐνταῦθα· οὐ γὰρ Ἀχιλλέα προσφωνεῖ τὸν υἱὸν ἡ Θέτις ἐξ ὀνόματος· ἀλλὰ τέκνον φησὶ, τί κλαίεις; οἱ δὲ ἀκριβέστεροι, ἀντὶ τοῦ, ἐλάλησεν ἁπλῶς· ὡς εἶναι ἐκ παραλλήλου ταὐτὰ, τό, τε ἔφατο ἔπος, καὶ τὸ ἐξονόμαζεν. — Καὶ ἄλλως δὲ εἰπεῖν, κατὰ τοὺς παλαιοὺς, ἐξονομάζειν ἐστὶ τὸ διεξοδικῶς λέγειν. — Τὸ μέντοι, ὀνομαστὶ καλεῖν, ὀνομαίνειν καὶ ἐξονομαίνειν λέγεται, ὡς ἐν τοῖς ἑξῆς φανήσεται. Ε.

Σ. 363. Τί κλαίεις;] Ἰστέον δὲ, ὅτι τὸ τὰ λυποῦντα ἐκτεθέναι εἰς διήγησιν, κουφισμὸν ποιεῖται τῆς λύπης· διόπερ ἐνταῦθα ἡ Θέτις τὸν υἱὸν ἐρωτᾷ, τί κλαίεις; καὶ τὰ ἑξῆς, οὐχ ἵνα μάθῃ, ὅπερ ἠγνόει, οἶδε γὰρ, ὡς καὶ Ἀχιλλεὺς ἐρεῖ, ἀλλ' ἵνα κουφίσῃ τὴν ψυχὴν τῇ ἐκφορᾷ τοῦ βαρύνοντος. Ε. Ἔστι δὲ καὶ ἡ πεῦσις σύντομος, ὡς ἂν μαθεῖν ἐπειγομένης.

Σ. 366. Ἐς Θήβην] Παρεγενόμεθα εἰς τὰς Θήβας· νῦν δὲ λέγει τὰς Ὑποπλακίους, ὧν ἐβασίλευεν Ἠετίων ὁ Ἀνδρομάχης πατήρ· Κίλικες, ἔθνος βάρβαρον τῆς ὑπὸ τὸ Πλάκιον ὄρος Θήβης (Ἰλ. Ζ, 415.)· τούτων ἦρχε τῶν Κιλίκων Ἠετίων, ἔχων υἱοὺς ἑπτὰ, θυγατέρα δὲ τὴν Ἀνδρομάχην, τὴν γαμηθεῖσαν Ἕκτορι, τῷ υἱῷ Πριάμου· κατὰ δὲ τοὺς Τρωϊκοὺς πολέμους ἐπιστρατεύσας Ἀχιλλεὺς τῇ Θήβῃ, καὶ τὴν πόλιν πορθήσας, τόν τε Ἠετίωνα ἀνεῖλε σὺν τοῖς τέκνοις· μεθ' οὓς Λυρνησὸν πορθήσας, καὶ τὴν πόλιν ἐξελὼν, αἰχμάλωτον ἦγεν, ἐκ Λυρνησοῦ μὲν, Βρισηΐδα, ἣν γέρας αὐτῷ ἐψηφίσαντο Ἕλληνες· ἀπὸ δὲ τῆς Χρύσης, Χρυσηΐδα τὴν Χρύσου, τοῦ ἱερέως τοῦ Ἀπόλλωνος, θυγατέρα, ἣν Ἀγαμέμνων κλήρῳ λαχὼν, τῷ πατρὶ δεομένῳ οὐκ ἀπέδωκεν· ἔνιοι δέ φασιν, ὅτι ἡ Χρυσηῒς ἐκ Θηβῶν ἐλήφθη· τῆς γὰρ Χρύσης φασὶν οὔσης πολιχνίου ἀτειχίστου καὶ εὐτελοῦς, ὡς



НБ ОНУ імені І.І. Мечникова

ἐν ἀσφαλεστάτῃ καὶ μείζονι τῇ Θήβῃ οἱ ἀπ' αὐτῆς προσπεφ-
ευγκότες ἦσαν διὰ τὸν πόλεμον. — Τρεῖς γὰρ εἰσὶ Θῆβαι·
αἱ Ὑποπλάκιοι, ὧν ἐνταῦθα μέμνηται καὶ ἐν τῇ Ζ [397]·
καὶ αἱ Καδμεῖαι, ὧν μέμνηται ἐν τῇ Δ [378] καὶ ἐν
τῇ Ε [804]· καὶ αἱ τῆς Αἰγύπτου, ὧν μέμνηται ἐν τῇ Ι
[381.]. Θῆβαι δὲ αὐταί εἰσι τὸ νῦν Ἀδραμύττιον καλούμενον.
Σ. — Ἱερὰ δὲ, οὐ μόνον ἡ ῥηθεῖσα Θήβη, ἀλλὰ καὶ πᾶσα
πόλις ὡς φυλακτικὴ τῶν ἐντὸς ὅπερ θεῖον τῷ ὄντι ἐστί. —
Τῶν δὲ ῥηθέντων Κιλίκων ἔνδοξος ἀποικία λέγεται· ἱστορεῖ-
ται γὰρ, ὅτι οἱ κατὰ Παμφυλίαν Κίλικες ἀπὸ τῶν πρὸς τῇ
Γῇ ᾠκίσθησαν. Ε. — Ἱερήν] Μεγάλην καὶ θαυμαστήν. Σ.

Σ. 368. Εὖ δάσσαντο] Κεῖται δὲ ἐνταῦθα καὶ τὸ εὖ ἐπὶ
ἀρετῆς. — Τουτέστι κατὰ δικαιοσύνην καὶ ἰσότητα διεμερί-
σαντο μετὰ σφίσιν, ὅ ἐστιν ἐν αὐτοῖς. Ε.

Σ. 369. Ἐκ δ' ἕλον] Ὅτι ἐξελεῖν καὶ ἐξελέσθαι παρὰ τῷ
ποιητῇ τὸ ἐπιλέξασθαι καὶ δοῦναί τι ὡς ἐξαίρετον. Ε.

Σ. 370. 379. Χρύσης ... ἐπὶ μῦθον ἔτελλεν] Ἰστέον δὲ ὅτι ἕως
μὲν τῆς τοῦ Ἀγαμέμνονος ἀπειλῆς αὐτοὺς ἐκείνους ἐξῆρεὺς ἔθετο
τοὺς στίχους ὁ ποιητὴς παλιλλογῶν, οὓς ἐν τοῖς φθάσασιν ἔγρα-
φε· διδάσκων, ὡς καὶ ἐν ἄλλοις μυρίοις, ὅτι ἐν πολλοῖς ἔξεστι
τῷ ῥητορεύοντι, ἀνεπιλήπτως ταυτολογεῖν, καὶ μὴ τὰ καλῶς
ῥηθέντα παρακινεῖν, μηδὲ κόπους ἑαυτῷ παρέχειν ἐν κενοῖς,
μηδενὸς κατεπείγοντος, μηδὲ μελετᾷν ἀγωνιᾷν εἰς αεὶ τὰ
μέντοι ἐφεξῆς ἄλλαις λέξεσι καὶ σχήμασιν ἐπιτέμνει, ἐπι-
τροχάδην ἀνακεφαλαιούμενος. Ε.

Σ. 388. Μῦθον, ὃ δὴ τετελ. ἐστίν] Ἤγουν, ὃς δὴ τετε-
λεσται. Ε.

Σ. 389. Ἑλίκωπες] Μελανόφθαλμοι· ἑλικὸν γὰρ κατὰ διά-
λεκτον τὸ μέλαν· ἢ οἱ ἑλικοειδῶς τοὺς ὦπας κινοῦντες, τουτέστιν, οἱ τοὺς ὀφθαλμοὺς εὐειδεῖς. Σ. ἑλίκωπες· οὐ μόνον, ὡς
εἴρηται [στ. 98.], οἱ τὰς ὦπας ἑλίσσοντες, ἢ τοὺς τῶν ὁρώντων ὀφθαλμοὺς ἑλίσσοντες ἐπ' αὐτοὺς — ἀλλὰ καὶ οἱ τὴν ὄψιν
γοργοί, καὶ συχνὰ τοὺς ὦπας ἑλίσσοντες, ὅποι δέον ἐστὶ, καὶ
μὴ νωθροί. — Τὸ δὲ λέγειν ἑλίκωπας τοὺς μελανοφθάλμους,
οὐκ ἀρέσκοι τοῖς παλαιοῖς· φασὶ γὰρ, κόραις μᾶλλον πρέπειν
τὸ ἐπίθετον. Ε.

Σ. 390. Ἐς Χρύσην] Τὸ δὲ, ἐς Χρύσην, δύναται καὶ

НБ ОНУ імені І.І. Мечникова

ἀρσενικῶς νοηθῆναι, εἰς τὸν πατέρα Χρύσην, καὶ θηλυκῶς, εἰς τὴν Χρύσην πόλιν. Ε.

Σ. 393. Περίσχεο] Ἤγουν βοήθησον, περισσῶς ἀντίσχου. — Ἑῆος] Ἢ ἀπὸ τοῦ ἑὸς, ὁ ἴδιος, γίνεται ἑὺς, καὶ ἐκτάσει τοῦ ε ἠὺς, γενικὴ, ἠέος, καὶ μεταθέσει, ἑῆος· ἢ καὶ ἄλλως, ἀπὸ τοῦ εὖ ἐὺς, ὁ ἀγαθὸς, καὶ τὰ λοιπὰ καθ' ὁμοίαν ἀγωγήν. Ε. ἀντὶ τοῦ, τοῦ σοῦ· οἱ δὲ, ἀγαθοῦ, προσηνοῦς, ἢ ἰδίου. Σ.

Σ. 396. Πολλάκι γάρ σεο] Ὅτι ἦθος ὑπογράφει γυναικεῖον ὁ ποιητὴς ἐν τῇ διηγήσει, πολλάκι γάρ σεο κ. λ. Ἔθος γὰρ γυναιξὶν, εἴπου ἅπαξ καλόν τι ἐνδείξονται, συνεχῶς αὐχεῖν καὶ μεμνῆσθαι αὐτοῦ, καὶ τῷ κατορθωθέντι ἐναγλαΐζεσθαι· ἀνὴρ μέν τοι γελοῖός ἐστιν, εἰ τοῦτο πάσχοι· αἴτιον δὲ, ὅτι γυναιξὶ σπάνιον τὸ κατορθοῦν. Ε.

Σ. 397. Κελαινεφεῖ] Παρὰ τὸ μελαίνοντος τὸν ἀέρα τὸ νέφειν αὐτόν.

Σ. 400. Παλλὰς Ἀθήνη] Γράφεται καὶ Φοῖβος Ἀπόλλων. Ζεὺς γὰρ παραλαβὼν τὴν ἐν οὐρανῷ διοίκησιν, περισσῇ τῇ παῤῥησίᾳ ἐχρῆτο, πολλὰ αὐθάδη διαπραττόμενος. Ποσειδῶν δὲ καὶ Ἥρα καὶ Ἀπόλλων καὶ Ἀθηνᾶ ἐβούλοντο αὐτὸν δήσαντες ὑποτάξαι. Θέτις δὲ ἀκούσασα παρὰ τοῦ πατρὸς Νηρέως, ἦν γὰρ μάντις, τὴν κατὰ Διὸς ἐπιβουλὴν, ἔσπευσε πρὸς αὐτὸν ἐπαγομένη Αἰγίωνα φόβητρον τῶν ἐπιβουλευόντων θεῶν· ἦν δὲ θαλάττιος δαίμων οὗτος, καὶ τὸν πατέρα Ποσειδῶνα κατεβράβευσεν· ἀκούσας δὲ ὁ Ζεὺς Θέτιδος, τὴν μὲν Ἥραν ἐν τοῖς κατ' αὐτοῦ δεσμοῖς ἐκρέμασε. Ποσειδῶνι δὲ καὶ Ἀπόλλωνι τὴν παρὰ Λαομέδοντι θητείαν ἐψηφίσατο, τῇ δὲ Θέτιδι τὴν Ἀχιλλέως τιμὴν εἰς τὰ μετὰ ταῦτα ἐταμιεύσατο· ἱστορεῖ Δίδυμος. Σ. Ἔνθα καὶ ὅρα τὴν τοῦ νεανίου ῥήτορος δεινότητα, ὃς ἐπίτηδες θαῤῥύνων τὴν Θέτιν, ἐπιβούλους μὲν κατέλεξε τοῦ Διὸς Ἥραν καὶ Ποσειδῶνα καὶ Ἀθηνᾶν, τοὺς βοηθοῦντας τοῖς Ἀχαιοῖς. — Ἡ δὲ ἱστορία λόγον τινὰ οἶδεν Αἰγαίωνος περὶ τὴν Ἀσίαν, ἐξ οὗ πηγαί τινες ἑκατὸν ἀναπιδύουσαι, ἤτοι πολλαὶ ἢ αὐτὸ τοῦτο, ἑκατὸν· καὶ τὰ ἐκεῖ πεδία λιπαίνουσαι, τὴν τοῦ ἑκατόγχειρος μυθολογίαν παρήγαγον· φησὶ γὰρ ἡ τοῦ Ἀῤῥιανοῦ ἱστορία, ὅτι Βριάρεως, γῆς καὶ οὐρανοῦ παῖς, (Ἡσιόδ. Θεογ. 147.) θαλαττοκρατήσας ὁρμητηρίῳ ἐχρήσατο Εὐβοίᾳ τῇ νήσῳ· κἀκεῖθεν ὁρμώμενος, κατεστρέψατο τὰς Κυκλάδας· ὃς καὶ Αἰγαίων ὠνόμασται ὑπὸ τῶν ἀνθρώπων· οὗτος



НБОНУ імені І.І. Мечникова

δὲ καὶ αἰτίαν παρασχεῖν λέγεται τῷ Αἰγαίῳ πελάγει εἰς ἐπωνυμίαν· σῆμα δὲ αὐτοῦ δείκνυσθαι κατὰ τὸν Ῥυνδακὸν ποταμὸν, οὐ πόῤῥω θαλάσσης, λόφον τινὰ, καὶ τοῦτον ἐπικαλεῖσθαι Αἰγαίωνος· καὶ ἀπὸ τοῦ λόφου τούτου πίδακας ἐκδιδόναι ἑκατὸν, καὶ ταύτας καλεῖσθαι παλάμας Βριάρεω. — Τὸ δὲ ἑκατόγχειρον, τοῦ πολλὰ πράττειν αἴνιγμά ἐστιν, ὅθεν καὶ ὁ πολυμήχανος Ἀρχιμήδης, μιᾷ προσβολῇ πολλὰ βέλη ἀφιεὶς, ἑκατόγχειρ πρὸς τῶν βαλλομένων ἐκλήθη· καὶ ἄλλως δὲ φράσαι, εἴη ἂν ἑκατόγχειρ ὁ πολύχειρ, ἢ πράξεσιν, ἢ πλήθει στρατοῦ ἢ μηχαναῖς· ἢ ὁ ἐν τοιούτοις δραστηριώτης, ὀξυλάβεια ἔργων λέγεται. Ε.

Σ. 403. Βριάρεων] Ὅτι πολλά εἰσι διώνυμα τῷ Ποιητῇ, τουτέστι, δυσὶν ὀνόμασι καλούμενα· καὶ τῶν τοιούτων ὀνομάτων τὸ μὲν εἰς θεοὺς ἀναφέρει, τὸ δὲ ἀνθρώποις ἀπονέμει· δηλῶν, ὅτι μουσοτραφὴς ὢν, οἶδε καὶ τὰ θεῖα, καὶ τῆς τῶν θεῶν ἐπαΐει διαλέκτου. Παρασημειοῦνται δὲ οἱ παλαιοὶ, ὅτι τὸ μὲν ὅλως κρεῖττον τῶν ὀνομάτων, θεοῖς δίδωσιν ἡ ποίησις, ὡς θειότερον· τὸ δὲ μὴ τοιοῦτον, ἀνθρώποις. Ε.

Σ. 404. Οὗ πατρὸς ἀμείνων —] Φασὶν οἱ παλαιοὶ, ὅτι Ζηνόδοτος, ὁ ἀντὶ τοῦ Παλλὰς Ἀθήνη μεταγράψας, Φοῖβος Ἀπόλλων, καὶ ἐνταῦθα ἀντὶ τοῦ, οὗ πατρὸς ἀμείνων, γράφει πολὺ φέρτερος ἁπάντων, ὁπόσοι ναίουσιν ὑπὸ τάρταρα εὐρώεντα· ἀθετεῖται δὲ ὁ Ζηνόδοτος καὶ ἐν τούτῳ· οὐ γὰρ ἐκ τῶν ἀπὸ Ταρτάρου Τιτάνων ὁ Βριάρεως, ἀλλὰ δαίμων φασὶ θαλάσσιος. Ε.

Σ. 407. Μνήσασα] Ὅτι τὸ μνήσασα, ὅ ἐστιν ἀναμνήσασα, αἰτιατικῇ συντάσσει μετὰ γενικῆς· οἷον μνήσασα τὸν Δία τῶν δέ τινων. Ε. — Λαβὲ γούνων] Κεφαλῆς λαμβανόμεθα, ἐπεὶ ἡγεμονικόν· δεξιᾶς, ἐπεὶ πρακτικόν· γονάτων (δι' αὐτῶν γὰρ ἐπικλᾶται τὸ σῶμα) ἐπικλᾷν σπεύδοντες τὴν ψυχὴν τοῖς λόγοις.

Σ. 408. Αἴ κέν πως] Ὅτι προαναφώνησις τεχνικὴ τὸ αἴκεν πως ἐθέλῃσιν, ὁ Ζεὺς δηλαδὴ, ἐπὶ Τρώεσσιν ἀρῆξαι, ἤγουν, ἐπαρῆξαι τοῖς ἐν τῇ Τροίᾳ. Ε.

Σ. 409. Κατὰ πρύμνας] Τὰς ναῦς ἀπὸ μέρους φησί. — Ἔλσαι] Συνελάσαι, συγκλεῖσαι. Σ.

Σ. 410. Ἐπαύρωνται] Ἵν' ἀπολαύσωσι πάντες τῆς ἀβουλίας τοῦ βασιλέως, τουτέστιν, ἵνα ἀπόλωνται δι' αὐτόν. Σ. Ἤγουν ἐπαπολαύσωσι καὶ ἐπιχαρεῖεν τῷ βασιλεῖ. — Ἵνα λέγῃ

НБ ОНУ імені І.І. Мечникова

σεμνῶς καὶ εὐφήμως, πάντες ἐπαύρωνται βασιλέως τούτου κακοῦ, κατὰ τὸ πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα. Ε.

Σ. 412. Ἣν ἄτην] Ἤγουν τὴν αὐθαίρετον βλάβην, ὅτ' ἄριστον Ἀχαιῶν, ἤγουν ἐμὲ οὐδὲν ἔτισε. Ε.

Σ. 414. Αἰνὰ τεκοῦσα] Ἐπὶ κακῷ γεννήσασα. Σ. Καὶ σημείωσαι τὴν συντομίαν τοῦ, τί σ' ἔτρεφον αἰνὰ τεκοῦσα· δύο γὰρ ἐν ὀλίγῳ συνέστρεψε νοήματα· οἱονεὶ οὕτως εἰποῦσα· οὐκ ὤφελόν σε τεκεῖν· εἰ δὲ καὶ ἔτεκον, τί δή ποτε δυστυχῶς ἔτρεφόν σε! τὸ δὲ αἰνὰ τεκοῦσα, ἀντὶ τοῦ αἰνῶς. Ε.

Σ. 417. Ὠκύμορος] Ταχυθάνατος. — Ὀϊζυρὸς] Ἐπίπονος, ταλαίπωρος, ἄθλιος. Σ. Ὁ θρήνων ἐπάξιος. Ε. — Περὶ πάντων] Ἀντὶ τοῦ, ὑπὲρ πάντας ἀνθρώπους. Σ. Ἤτοι περισσότερον πάντων. Ε.

Σ. 420. Ὄλυμπον ἀγάννιφον] Τὸν λίαν νιφόμενον τὰ ὑπὸ τοῖς νέφεσι μέρη· τὰ γὰρ ἄκρα τοῦ Ὀλύμπου, ὡς ὑπερανεφῆ καὶ ὑπερνεφῆ, οὔτε νίφεται, οὔτε κατομβρεῖται, κατ' αὐτὸν τὸν ποιητὴν λέγοντα· Ὄλυμπόν θ' ὅν φασι Θεῶν ἕδος — ἔμμεναι — οὔτε ποτ' ὄμβρῳ δεύεται, οὔτε χιὼν ἐπιπίλναται [Ὀδυσ. Ζ, 42.]. Σ.

Σ. 423. — 25. Ἐς Ὠκεανὸν] Ὁ Ὠκεανὸς ποταμός ἐστι καθ' Ὅμηρον. (Ἰλ. Ν, 34.) Σ. Ὅτι τὸν Δία εἰς Ὠκεανὸν ἔρχεσθαι ἐπὶ τοὺς ἀμύμονας Αἰθιοπῆας κ.τ.λ. τινὲς μὲν ἱστορικῶς θεραπεύουσι, λέγοντες, ὅτι ἐν Διοσπόλει μέγιστόν ἐστι Διὸς ἱερὸν, ἀφ' οὗ λαβόντες Αἰθίοπες Διὸς ξόανον καὶ ἄλλων δαιμόνων, σὺν αὐτῷ κατά τινα καιρὸν τεταγμένον περινοστοῦσι τὰ κατὰ τὴν Λιβύην, καὶ πανηγυρίζουσι πολυτελῶς ἐπὶ δώδεκα ἡμέρας· ἐπεὶ καὶ τοσοῦτοι παρ' αὐτοῖς οἱ Θεοί· τοῦτο γοῦν φασιν, εἰδὼς ὁ ποιητὴς, οἷα καὶ τοιούτων ἐθῶν ἔμπειρος, ὅν γε καὶ Αἰγύπτιον γενεαλογοῦσί τινες, πλάττει ἐνταῦθα δωδεκαήμερον ἀποδημίαν Διὸς, ἐξ ἱστορικῆς ἀφορμῆς. Ἕτεροι δὲ ἀλληγορίαν τινὰ καὶ εἰς τοῦτό φασι, λέγοντες, Δία μὲν τὸν ἥλιον, ὠκεανὸν δὲ, ὡς ὁ γεωγράφος φησὶ, τὸν καθ' ὅλον τὸ μεσημβρινὸν κλίμα τεταμένον, ἤγουν τὰ νότια τῆς οἰκουμένης, τὰ πρὸς τοῖς Αἰθίοψιν, ὅπου κατὰ τὸν χειμέριον καιρὸν ὁ τοιοῦτος ἄπεισι Ζεὺς, ἐπὶ κυανέων ἀνδρῶν δῆμον, κατὰ τὴν ποίησιν, ἤτοι ἐπὶ Αἰθιοπίαν· ἐπεὶ δὲ καὶ ὁ τῶν πραγμάτων τούτων καιρὸς, καὶ ὁ λοιμὸς μετὰ χειμῶνα γενέσθαι φαίνεται, εἰκό-

НБ ОНУ імені І.І. Мечникова

τως ἂν χθιζός που καὶ πρώην ὁ τῆς ἀλληγορίας ταύτης Ζεὺς αἰθιοπικώτερος ὤν, μετά τινας οὐ πολλὰς ἡμέρας εἰς τὸ Ἑλλαδικὸν κλίμα τελέως ἀποκαταστήσεσθαι λέγοιτ᾽ ἄν, συντελέσων τι πρὸς βοήθειαν τῷ Ἀχιλλεῖ. — Ὁ δὲ ποιητὴς ἐπίτηδες ἄλλως οἰκονομεῖ ἀποδημεῖν τὸν Δία, ὡς ἂν ἐν τῷ μέσῳ καὶ οἱ Ἕλληνες ἀπὸ τοῦ λοιμοῦ ἑαυτοὺς ἀναλάβωσι, καὶ ὁ Ἀχιλλεὺς παρ᾽ ἑαυτῷ ταλαντεύσας τὰ καθ᾽ ἑαυτόν, ἢ ἐπιμείνῃ τῇ μήνιδι, ἢ ῥοπήν τινα σχοίη πρὸς καταλλαγήν, ἔτι δέ, ὃ καὶ μάλιστα πρὸς τὸ πιθανὸν συμβάλλεται, ἵνα καὶ οἱ Τρῶες, μαθόντες, ὡς εἰκός, τὰ τῆς μήνιδος, θαρσήσωσι τὴν μάχην, καὶ οὕτω τέλος ἕξει ὁ σκοπὸς τοῦ Ὁμηρικοῦ Διός· ἐκ πρώτης γὰρ ἢ δευτέρας ἡμέρας, καί τινων ὀλίγων τῶν ἐφεξῆς, οὐκ ἦν εἰκὸς πληροφορίαν τοῖς Τρωσὶν ἐντελῆ γενέσθαι τῆς τοῦ Ἀχιλλέως μήνιδος· ἀλλ᾽ ἦν ἂν ἡ εἰς τὴν μάχην αὐτοῖς τόλμα ἀπίθανος. — Ἀμύμονας δὲ αὐτοὺς λέγει, οὐχ ὅτι πάντες ἀγαθοί, ἀλλ᾽ ὅτι τινές· πολλοὶ γὰρ ἀπ᾽ αὐτῶν ἀνθρωποφαγοῦσιν· ἕτεροι δὲ τοὺς μακροβίους Αἰθίοπας ἀμύμονας λέγεσθαι νοοῦσι. — Ἄλλοι δὲ γράφουσι, μετὰ μέμνονας Αἰθιοπῆας, λέγοντες Αἰθίοπάς τινας εἶναι οὕτω καλουμένους, ἀπὸ Μέμνονος υἱοῦ Τιθωνοῦ καὶ ἡμέρας. Ε.

Σ. 424. Κατὰ δαῖτα] Ἀρίσταρχος, κατὰ δαῖτα, ἀντὶ τοῦ ἐπὶ δαῖτα· ἔνιοι δὲ ποιοῦσι, μετὰ δαῖτα, ὅπως ᾖ αὐτοῖς αὐτόθεν τὸ μετά, ἐπί.Β. (Ἀρισταρ. στ. 423.γρ. ἐπ᾽ἀμύμονας, Ἄλδ. 7. ἐπ᾽ Ὠκεανόν, καὶ Εὐστ. Β. Σχολ. τὸ δὲ ἐς ἀντὶ τοῦ πρός.)

Σ. 427. Καί μιν γουνάσομαι] Ὅτι τοῖς παλαιοῖς ἔθος ἦν ὁπηνίκα ἱκέτευον, κεφαλῆς τε λαμβάνεσθαι τῆς τοῦ ἱκετευομένου, καὶ χειρὸς δεξιᾶς ἢ καὶ γονάτων· κεφαλῆς μέν, διὰ μέσης γενειάδος κατὰ Εὐριπίδην (Ἑκάβ. στ. 242. 341. Μ.) ἢ ἀνθερεῶνος, καθ᾽ Ὅμηρον, διὰ τὸ ἡγεμονικόν· ἐν αὐτῇ γὰρ τὸ λογιστικόν· δεξιᾶς δέ, διὰ τὸ πρακτικόν· γονάτων δὲ διὰ τὸ κινητικὸν καὶ βαδιστικόν· καὶ ἤθελον συμβολικῶς τοὺς ἱκετευομένους παρακαλεῖν, διὰ μὲν τῆς κεφαλῆς, εἰς τὸ συνθέσθαι καὶ κατανεῦσαι, διὰ δὲ τῆς δεξιᾶς, εἰς τὸ πρᾶξαι· διὰ δὲ γονάτων, εἰς τὸ κινηθῆναι πρὸς ἃ ζητοῦνται. — Καὶ ἦσαν ταῦτα σύμβολά τινα, καὶ οἷον οἰωνισμοὶ τοῦ τῆς ἱκετείας τέλους. — Σκαιᾶς μέν τοι ἤτοι ἀριστερᾶς χειρὸς οὐ προσήπτοντο διὰ τὸ δυσοιώνιστον· οὐ γὰρ προσεῖχον τοῖς ἀριστεροῖς· ὅπουγε καὶ τὰ μὴ αἴσια, σκαιὰ καὶ ἐπαρίστερα ἔλεγον, ὥσπερ τὰ ἀγαθά, δεξιά, τύχην λέ-

НБ ОНУ імені І.І. Мечникова

γοντες δεξιὰν καὶ νόημα δεξιὸν, καὶ δεξιοῦσθαι τὸ φιλοφρονεῖσθαι· κεφαλῆς δὲ οὐ τῆς ὅλης ἥπτοντο, ἀλλὰ τοῦ ἀνθερεῶνος καὶ τοῦ γενείου. — Ἰστέον δὲ, ὅτι εἰ καὶ κεφαλῆς καὶ χειρὸς καὶ γονάτων οἱ ἱκέται ἥπτοντο, ἀλλὰ τὴν ὅλην ἱκετείαν γουνάζεσθαί φασιν ἐκ μέρους οἱ παλαιοί· οἱ δὲ μεθ' Ὅμηρον τὴν τοῦ γονυπετεῖν λέξιν ἐντεῦθεν ἐφεῦρον. Ε.

Σ. 429. Ἐϋζώνοιο γυναικός] Τὸ πλῆρες, χωόμενον ὑπὲρ γυναικὸς ἢ ἕνεκεν γυναικός. — Εὔζωνον δὲ γυναῖκα τὴν Βρισηΐδα λέγει ἀντὶ τοῦ εὐκόσμητον· ἀπὸ μέρους τινὸς τοῦ γυναικείου κόσμου, τῆς ζώνης δηλαδή. — Οἱ μέν τοι μεθ' Ὅμηρον εὔζωνον ὁδίτην λέγοντες, ἢ τοιοῦτόν τι ἐπὶ ἀσκεύου καὶ εὐσταλοῦς τὴν λέξιν τιθέασι. Ε.

Σ. 432. Οἱ δ' ὅτε δὴ λιμένος] Ὅλον μὲν ὁ λιμὴν, μέρος δὲ ὁ ῥηθησόμενος ὅρμος· αὐτὸ δὴ τὸ πρὸς τῇ γῇ, ἔνθα καὶ ὁρμεῖ ἡ ναῦς, καὶ ὑπὸ τῶν ναυτῶν ὁρμίζεται· καὶ εἰς μὲν τὸν λιμένα πλησίστιοι καταβαίνουσιν οἱ πλέοντες, εἰς δὲ τὸν ὅρμον, ἐρετμοῖς καθιστῶσι τὴν νῆα· διὸ ὁ μὲν ὁρμισθεὶς, ἐνελιμενίσθη, οὐ μὴν ὁ ἐν λιμένι ἐξ ἀνάγκης καὶ ὥρμισται, εἰ μὴ καὶ πρὸς τῇ γῇ γένηται· ἐὰν δὲ βωμὸς ὁ ὅλος λεχθῇ που ναὸς, ἢ ἑστία ὁ σύμπας οἶκος, ἀπὸ μέρους ἐλέχθη τὸ πᾶν· ὁμοίως καὶ ἐὰν τὸν πάντα λιμένα ὅρμον τις εἴποι· ὁ γὰρ λιμὴν ὅρμων περιεκτικός. — Δηλοῖ δὲ φανερῶς τὴν ἐν τούτοις διαφορὰν καὶ τὸ, λιμὴν εὔορμος. Δῆλον δὲ καὶ ὅτι ἀρετὴ λιμένος τὸ πολυβενθὲς, ἤγουν ἀγχιβαθὲς, ὡς ἂν ἔχοι τὰς τῶν ἀνέμων στέγειν ἐμβολὰς καὶ μὴ τὰς νῆας λύειν προσαρασσομένας ταῖς ἀκταῖς· καὶ σημείωσαι, ὅτι τὸν μὲν τῆς προδιειλημμένης νηὸς ἀνάπλουν τὸν ἐκ Τροίας καὶ τὸν ἐκεῖ αὖθις κατάπλουν οὐ διεσκεύασεν ὁ ποιητὴς, ὡς ἀγωνιῶν καὶ σπεύδων εἰς ἔργα· τὸν δὲ τοιοῦτον πλοῦν μετρῶν ὁ γεωγράφος [ΙΓ, 5. 63. Τ. Ε. σελ. 404.] φησὶν, ὅτι ἀπὸ τῆς Κιλίκων Χρύσης ἐπὶ τὸν ναύσταθμον, ἑπτακόσιά που στάδια πλοῦς ἡμερήσιος, ὅσον φαίνεται πλεύσας ὁ Ὀδυσσεύς. Ε.

Σ. 433. Ἱστία μὲν στείλαντο] Ἰστέον δὲ ὅτι ἱστία μέν εἰσι τὰ ἐπὶ τοῦ κέρως λίνα, οἷς ὅσα καὶ πτεροῖς ἡ ναῦς τὸν δρόμον ταχύνει. Ε. Τῆς νηὸς ἡ ὀθόνη, ὅ ἐστι τὸ ἄρμενον, ἱστίον λέγεται, ἱστὸς δὲ τὸ μέγα ξύλον, τὸ κατάρτιον λεγόμενον ὑπὸ τῶν ναυτικῶν. Σ. — Στείλασθαι δὲ παρὰ μὲν τοῖς ὕστερον καὶ ἐπὶ πορείας τίθεται· στέλλεται γοῦν τις ὁδόν τινα·

НБ ОНУ імені І.І.Мечникова

ἐνταῦθα δὲ τὸ στείλαντο ἱστία ἀντὶ τοῦ συνέστειλαν εἴρηται. Ε. Συνέστειλαν, καθεῖλον. Σ.

Σ. 434. Ἱστὸν δ' ἱστοδόκῃ] Ἱστὸς δὲ τὸ ὀρθὸν ξύλον, οὗπερ τὸ κέρας καὶ τὰ ἱστία ἠώρηνται, κατ' ἐξοχήν τινα οὕτω λεχθείς· αὐτὸς γὰρ μάλιστα ὀρθὸς ἵσταται. Ἱστοδόκη δὲ ξύλον κατὰ πρύμναν ἐξέχον, καθ' οὗ κλίνεται ὁ ἱστός· γράφεται δὲ διὰ τοῦ κ, διότι τὰ παρὰ τὸ δέχω οὕτω προάγονται ἰωνικῶς, οἷον ξεινοδόκος, δοροδόκη, ἱστοδόκη, ἤδηδὲ καὶ ἀττικῶς. —Δῆλον δὲ, ὅτι κοινωνία τις ἦν τῇ παλαιᾷ ἰάδι καὶ ἀτθίδι. Ε. Τῇ ὑποδεχομένῃ τὸν ἱστὸν ἱστοδόκῃ (γρ. ἐξ Ε. Δ. ἱστοθήκῃ). Λέγει δὲ τῷ κατὰ τὴν πρύμναν ἀνέχοντι ξύλῳ, καθ' οὗ κλίνεται ὁ ἱστός. Σ. — Πέλασαν] Προσεπέλασαν, προσήγαγον μετωνυμία, τουτέστι, πελασθῆναι ἐποίησαν. Σ. — Προτόνοισιν] Πρότονα δὲ κατά τινας μὲν, σχοινία, δι' ὧν τὰ ἱστία, πῇ μὲν ἀνέλκονται, πῇ δὲ χαλῶνται· μάλιστα δὲ τὰ συνδέοντα τὸ κέρας πρὸς τὸν ἱστὸν, ὥς φασιν οἱ εἰδότες· φυλάσσεται γὰρ ἡ λέξις ἔτι καὶ νῦν παρὰ τοῖς ἀνατολικοῖς. Ε. Τοῖς προτεταμένοις κάλοις, οἵτινες τὸν ἱστὸν περιτείνουσιν, ἵνα ᾖ ὀρθός. Σ. — Πρότονα δὲ τὰ ἀπὸ πρύμνης εἰς πρῶραν διήκοντα σχοινία. Β. — Ὑφέντες] Τὸ δὲ ὑφέντες, καιρίως εἴρηται ἀντὶ τοῦ χαλάσαντες. Ε. Ἐνδόσαντες, χαλάσαντες. Σ.

Σ. 435. Καρπαλίμως] Ταχέως. Σ.

Σ. 436. Ἐκ δ' εὐνὰς ἔβαλον] Εὐνὰς, τὰς ἀγκύρας νῦν λέγει τὰς σιδηρᾶς, παρὰ τὸ εὐνάζειν τὴν ναῦν χαλωμένας εἰς τὸ ὕδωρ, καὶ ποιεῖν ἵστασθαι. Τρία δὲ σημαίνει ἡ λέξις παρὰ τῷ ποιητῇ, τὴν κοίτην [Ξ, 207.]· τὴν ἄγκυραν ὡς νῦν, τὴν διατριβὴν [Λ, 115.] — Πρυμνήσια] Τὰ ἀπόγεια σχοινία, οἷς ἐκ τῆς πρύμνης προσδεσμεῖται ἡ ναῦς πρὸς τῇ γῇ. Σ. — Καὶ οἷς ὥσπερ πείθεται· διὸ τὰ αὐτὰ καὶ πείσματα λέγονται. Ε. (ἴδ. Εὐριπίδ. Ἰφιγ. ἐν Ταυρ. 1352. σελ. 192. καὶ στ. 476. Ἐκδ. Σεΐτλερ.)

Σ. 437. Ἐπὶ ῥηγμῖνι] Ἐπὶ τῷ αἰγιαλῷ· οὕτως δὲ εἴρηται ἀπὸ τοῦ παραῤῥήσσεσθαι [ἀνάγν. παραῤῥήσσεσθαι] αὐτῷ τὰ κύματα. Σ. — Ὧ τὰ κύματα προσρήσσονται· ὥς πού φησιν ὁ ποιητὴς, χέρσῳ ῥηγνύμενον μεγάλα βρέμει [Δ, 425.]. Ε.

Σ. 439. Ἐκ δὲ Χρυσηΐς] Ὅτι δέ ποτε καὶ κάλλους ἐκφανοῦς χρεία ταῖς διασκευαῖς, δηλοῦν ἐντεῦθεν ἄρχεται ὁ ποιητὴς, κεφαλαιώσας τέσσαρα ἔπη διὰ τῆς ἐκ προθέσεως κατὰ

σχῆμα εὐειδὲς, ἐπαναφορικὸν, καὶ εἰπὼν, ἐκ δ' εὐνὰς ἔβα-
λον, ἐκ δὲ καὶ κ. τ. λ. Ε.

Σ. 441. Ἐν χερσὶ τίθει] Ἁπλῶς εἶπεν ἀντὶ τοῦ ἐδίδου,
ἢ παρετίθει· ἄλλως γὰρ ἐνταῦθα οὐ πάνυ κυριολεκτεῖται τὸ
τιθέναι. Ὅτι Ὀδυσσεὺς ἀποδοὺς τῷ Χρύσῃ τὴν θυγατέρα, ἐν
τῷ ἀγαγεῖν ἐπὶ βωμὸν, ἵνα οὕτως ἐμφήνῃ, μὴ τῷ Χρύσῃ,
ἀλλὰ τῷ Φοίβῳ τὴν χάριν γενέσθαι, εἶτα χρῆται καὶ διη-
γήσει ἁπλῇ, αὐτὸ διεξελθὼν ψιλὸν τὸ πρᾶγμα ἐν στενῷ· ὦ
Χρύση, πρό μ' ἔπεμψεν κ. λ. — Ἐνταῦθα δὲ ἔδει μὲν εἰπεῖν
τι τὸν Χρύσην αὐτίκα, ὅτε ἀπέλαβε σταλεῖσαν τὴν θυγατέρα·
ὁ δὲ ποιητὴς δεξιώτατα σιγῶντα ποιεῖ αὐτὸν, ὡς καὶ προ-
μικροῦ τοὺς κήρυκας· οὔτε γὰρ ἐπαινεῖν ὁ γέρων ἔχει τοὺς
ἀποδιδόντας, μεμνημένος, ὅσα ἠπείληται, καὶ εἰδὼς οὐχ ἑκου-
σίαν τὴν ἀπόδοσιν· καὶ οὐδὲ ψέγειν καλὸν ἔγνωκε τοὺς δω-
ρησαμένους· παροξυντικόν τε γὰρ τοῦτο, καὶ οὐδὲ πρέπον
εὐεργετουμένῳ ἀνδρί· τάχα δὲ καὶ ἡ πολλὴ χαρὰ παραιρεῖ-
ται τοὺς λόγους τῷ γέροντι· διὸ καὶ ὁ ποιητὴς ἐπεσημή-
νατο, εἰπών· ὁ δ' ἐδέξατο χαίρων· ἄλλως τε κατὰ τοὺς πα-
λαιοὺς, οὐδὲ τοσαύτην ἔχει κίνησιν τὰ ἡδέα, ὅσην τὰ λυ-
πηρά· διὸ τὴν μὲν ἐπὶ τῇ θυγατρὶ λύπην ἔχων, καὶ ὠδοι-
πόρησε καὶ ἐλάλησε· χαρᾶς δὲ οὐδὲν ποιεῖ ἐπίσημον, ἀλλ' ἢ
μόνον εὔχεται ἀγαθὰ τοῖς Ἕλλησιν ὕστερον. Ε.

Σ. 444. Ῥέξαι] Σφάξαι μόνον· τὸ δὲ θῦσαι ἐπὶ τοῦ θυ-
σιάσαι· μόνον φησί. Τὸ δὲ ἱλασόμεσθα πλεονασμῷ τοῦ σίγμα. Β.

Σ. 445. Πολύστονα] Πολλῶν στεναγμῶν αἴτια. Σ.

Σ. 448. Ἑξείης] Ἐφεξῆς. Σ. — Εὔδμητος] Ὁ εὐδόμητος·
ὁ εὐκτισμένος. Ὅτι καὶ θύοντες χερνί-
ψ ἴσον ἐν ἄλλοις, ὡς ἐνταῦθα, καὶ εὐχόμενοι δὲ, ὡς ἐν
πτονται οἱ παλαιοὶ, ὡς ἐνταῦθα, καὶ εὐχόμενοι δὲ, ὡς ἐν
Ὀδυσσείᾳ. Δεῖ γὰρ καθαροὺς τῶν θείων γίνεσθαι. Ε. (ἴδ. Τίβουλλ.
Β, 13. καὶ Θεοφράστ. Χαρακτ. ΙΣΤ, σελ. 143. 44. ἔκδ. Ἀστίου.)

Σ. 449. Οὐλοχύτας] Οὐλάς· εἰσὶ δὲ κριθαὶ μετὰ ἁλῶν
μεμιγμέναι, ἃς ἐπέχεον τοῖς ἱερουργουμένοις ζώοις πρὸ τοῦ
θύεσθαι, ἤτοι πολυπληθείας χάριν, ἢ μνήμην ποιούμενοι τῆς
ἀρχαίας βρώσεως· ὡς γάρ φησι Θεόφραστος ἐν τῷ περὶ εὑρη-
μάτων, πρὶν ἢ μάθωσιν οἱ ἄνθρωποι ἀλεῖν τὸν Δημητριακὸν
καρπὸν, οὕτω σώας αὐτὰς ἤσθιον· ὅθεν οὐλὰς αὐτάς φησιν ὁ
ποιητής. Σ. — Εἰσὶ δὲ οὐλοχύται, ὡς μὲν ἓν ἀνθ' ἑνὸς εἰπεῖν,
τὰ προθύματα· οὐλοχύτας γὰρ πρὸ τῆς θυσίας μετεχειρίζοντο,

НБ ОНУ імені І.І. Мечникова

καί, ὡς ὁ ποιητής φησι, προεβάλοντο· εἰ δὲ χρὴ καὶ πλατύτερον εἰπεῖν, διὰ τὸ σαφέστερον, οἱ οὐλοχύται οὐλαὶ ἦσαν, τουτέστ', κριθαὶ μετὰ ἁλῶν, ἃς ἐπέχεον τοῖς βωμοῖς πρὸ τῆς ἱερουργίας· ἐποίουν δὲ τοῦτο, ἢ πολυπλήθειαν καρπῶν οἰωνιζόμενοι, ὧν ἀπαρχαὶ οἷον αἱ οὐλαὶ αὗται προςήγοντο, ἢ ἄλλως διὰ τὸ πρὸς θεοὺς εὐχάριστον ὑπὲρ τῆς εἰς τὸ ζῆν εὐεργεσίας, ἐπεὶ τοῦ βαλανηφαγεῖν, καὶ τῆς τῶν δρυκάρπων ἀπαλλαγέντες τροφῆς, εἰς ἥμερον βίον τὸν ἐκ τῶν σπορίμων μετέπεσον· διὰ τοῦτο γὰρ καὶ κριθὰς προεβάλοντο, σπέρμα ἥμερον, ἃς πρώτας κρατεῖ λόγος εἰς χρῆσιν ἐλθεῖν τοῖς πάλαι ποτὲ ἀπαλλαγεῖσι τοῦ βαλανηφαγεῖν. — Εἰς εὐχάριστον οὖν μνήμην τῆς παλαιᾶς βρώσεως αἱ οὐλαὶ προεβάλλοντο, αἵτινες τὴν ἀρχὴν ὅλαι ἤτοι σῶαι ἠσθίοντο, πριν ἢ γενέσθαι τὰ τοῦ ἀλετοῦ· διὸ καὶ οὐλαὶ λέγονται, κατὰ πρόσληψιν τοῦ ῦ, ὅλαι ἄλλως ὀφείλουσαι λέγεσθαι· ὅθεν καὶ ὁπηνίκα μὴ παρῆσαν οὐλαὶ τουτέστι κριθαί, ἀντὶ κριθῶν δρυὸς φύλλα προεβάλλοντο, ἀνατρέχοντες καὶ οὕτω πρὸς παλαιτάτην μνήμην διαίτης. — Ὡς καὶ ἐν Ὀδυσσείᾳ οἱ τοῦ Ὀδυσσέως ἑταῖροι, μὴ ἔχοντες κρῖ λευκὸν, φύλλα δρεψάμενοι τέρενα δρυὸς, ηὔχοντο [μ͂, 458.]· οἱ δ' αὐτοὶ καὶ οἶνον λείβειν μὴ ἔχοντες, ὕδωρ ἔσπενδον, εὐπόριστα ταῦτα, σπονδήν τε καὶ οἷον οὐλοχύτας ἐξευρηκότες. — Ἅλας δὲ τοῖς οὐλαῖς ἀνεμίγνυον, οὐ μόνον διὰ γονιμότητα καὶ τὸ ἐν τροφαῖς νόστιμον, ἀλλὰ καὶ διότι φιλίας οἱ ἅλες σύμβολον· διὸ καὶ τοῖς ἐπιξενουμένοις παρετίθεντο πρὸ τῶν ἄλλων βρωμάτων, διὰ τὸ τῆς φιλίας νόστιμον καὶ παράμονον· παραμονῆς γὰρ αἴτιος πολλοῖς τῶν σωμάτων καὶ ὁ ἅλς. — Οἶνος δὲ εἰ καὶ μὴ τοῖς οὐλοχύταις συμπαρελαμβάνετο, ἀλλ' οὖν ἐν ταῖς σπονδαῖς χρήσιμος ἦν μετὰ τοὺς οὐλοχύτας· διότι καὶ τούτου εὕρεσις, ὥσπερ καὶ ἡ τῶν κριθῶν, πολιτικοῦ βίου καὶ ἡμέρου ἐστὶ καταρχή· ὀψὲ γάρ ποτε εὕρηται. — Ὅτι διττῆς οὔσης ἐν ἡμῖν τροφῆς τῆς ἀναγκαιοτάτης, ξηρᾶς τε, ἥτις ἐν σπέρμασι θεωρεῖται, καὶ ἄλλοις καρποῖς· ἔτι δὲ καὶ τῆς ὑγρᾶς, τῆς θεωρουμένης πρώτως μὲν ἐν ὕδατι, δευτέρως δὲ καὶ ἐν οἴνῳ, ἀπαρχὰς οἱονεὶ τῆς ὅλης ζωογόνου τροφῆς εὐχαρίστως οἱ παλαιοὶ τούς τε ὀλοχύτας ἐν ταῖς θυσίαις προεβάλλοντο ἀπὸ ξηρᾶς τινος τροφῆς, ἀλλὰ μὴν καὶ τὰς σπονδὰς ἐν ἄλλοτε ἄλλῳ ὑγρῷ γενομένας πρὸς τοὺς καιρούς· μετὰ δὲ τοὺς οὐλοχύτας αἱ θυσίαι, καὶ ἡ

НБ ОНУ імені І.І.Мечникова

ἐν αὐταῖς κρεωφαγία· διότι καὶ μετὰ τὴν τῶν ἀναγκαίων
τροφῶν εὕρεσιν, ἡ τῆς κρεωδαισίας πολυτέλεια καὶ τὸ τῆς
τροφῆς ἐπείσακτον εὕρηται· δεῖ δὲ εἰδέναι, ὅτι τινὲς παντε-
λῶς ἑτέραν τραπόμενοι, οὐ θύματα, ἢ προθύματα, ἢ προβολὴν
θυμάτων τοὺς οὐλοχύτας φασὶν, ἀλλ' αὐτὰ τὰ κανᾶ, (Σχολ.
στ. 158. οὐλοχύτας· νῦν τὰ κανᾶ) εἴτουν τὰ ἀγγεῖα, δι' ὧν
αἱ οὐλαὶ χέονται, οὐλὰς νοοῦντες ἀπὸ μέρους· αἱ δὲ οὐ-
λαὶ ὀξύνονται πρὸς διαστολὴν τοῦ οὖλαι, τρίχες· εἰ καὶ ἄλλως
συμπίπτουσι ταῖς τραυματικαῖς οὐλαῖς. Ε. — Ἀνέλοντο] Σχολ.
προβάλοντο· προήνεγκαν, ἐβάστασαν. Σ. προβάλοντο· ἤγουν προσ-
θεντο, προέῤῥιψαν· Ε. (ἴδ. Ἀπολλ. Ῥόδ. στ. 409.)
Σ. 450. Χεῖρας ἀνασχὼν] Ὅτι χεῖρας ἀνασχὼν ἀντὶ τοῦ
ἀνατείνας εἰς εὐχήν· λέγεται δὲ τὸ ἀνασχεῖν καὶ ἐπὶ ἀνατο-
λῆς· ἀνίσχειν γὰρ ἥλιος καὶ ἀνασχεῖν λέγεται· τὸ δὲ χεῖρας
ἀνασχὼν ἐν ἄλλοις ἀνασχόμενος εὑρεθήσεται παθητικῶς.—Καὶ
ὅτι τὸ ἀνασχεῖν καὶ ἐπὶ ὑπομονῆς ποτὲ λέγεται. Ε.
Σ. 459. Αὐέρυσαν] Εἰς τοὐπίσω ἀνέκλασαν τὸν τράχηλον
τοῦ θυομένου ἱερείου· ὡς προσέχειν εἰς οὐρανὸν τοῖς θεοῖς, οἷς
καὶ ἐθύοντο, ὡς καὶ αὐτῶν ὄντων ἐν οὐρανῷ· πάλιν δὲ τοῖς
ἥρωσιν, ὡς κατοιχομένοις, ἔντομα ἔθυον ἀποβλέποντα κάτω
εἰς γῆν. Σ. — Ὅτι ἔθος Ἑλληνικὸν, εἰ μὲν τοῖς ἄνω ἔθυον,
ἀνακλᾷν τὸν τοῦ ἱερείου τράχηλον, ὥστε ἀφορᾷν ὡς εἰς οὐρα-
νὸν, καὶ ἐλέγετο τοῦτο αὖ ἐρύειν, ἐν παραθέσει δύο λέξεων,
ἢ αὐερύειν ἐν συνθέσει κατὰ ὑφὲν, τουτέστι ὀπίσω ἕλκειν, καὶ
ἀναφέρειν ἐν τῷ ἀνακλᾷν. — Ἐὰν μέν τοι ἥρωσιν ἢ ὅλως τοῖς
κατοιχομένοις ἔθυον, κάτω τὸ ἱερεῖον ἀποβλέπον ἐσφάζετο. Ε.
Σ. 460. Κνίσσῃ] Τουτέστι, πιμελῇ καλύπτοντες ἔκαιον. Ε.
Σ. 461. Δίπτυχα ποιήσαντες] Διπλώσαντες τὴν κνίσσαν, νῦν
δὲ λέγει τὸν ἐπίπλουν. Σ. — Ἤγουν δίπλωμα τῇ πρὸς ἀλ-
λήλους ἐπιθέσει τῶν μηρῶν· ἢ μάλιστα διπλοῦντες ἐν αὐτοῖς
τὴν κνίσσαν· ἦν γὰρ σπουδὴ ὁλοκαυτωθῆναι τοὺς μηροὺς λαμ-
πρῷ καταφλεχθέντας πυρὶ, ὡς εἴγε μὴ τοῦτο ἀπέβαινεν, ἀπαί-
σιον ἦν τοῖς Ἕλλησι τὸ γινόμενον, καὶ οὐκ ἐδόκουν καλλιερεῖν,
ὁπηνίκα, κατὰ τὴν τραγῳδίαν, οἱ μηροὶ καταῤῥυεῖς καλυπτῆς
ἐξέκειντο πιμελῆς. Καὶ οὕτω μὲν τοὺς μηροὺς, ὥς τι τίμιον
ὁλοκαύτουν, ἐξαιροῦντες ἀπὸ τῶν ἄλλων τοῦ ζῴου μερῶν,
διὰ τὸ συντελεῖν τοῖς ζῴοις εἰς βάδισίν τε καὶ εἰς γένεσιν·
τῶν δὲ λοιπῶν τοῦ ζῴου μελῶν μικρά τινα ἐκτέμνοντες, εἶθ'

НБОНУ імені І.І. Мечникова

τινας ἀπαρχὰς τοῦ ὅλου ζώου, ἐπετίθουν αὐτὰ τοῖς διπτύχοις, καὶ τοῦτο ὠμοθετεῖν ἐκάλουν, τὸ τοῖς μηροῖς ὠμὰ πάντοθεν ἀκρωτηριάζοντας κρεάτων ἐπιτιθέναι τμήματα, ὡς δοκεῖν κατὰ τοὺς παλαιοὺς, ὅλα οὕτω τὰ μέρη τοῦ ἱερείου καρποῦσθαι. — Κατακαυθέντων δὲ τῶν μηρῶν, τότε δὴ πρὸ τοῦ φαγεῖν, ἐμερίζοντο ἑαυτοῖς εἰς βρῶσιν τὰ τῷ σπληνὶ παρωνυμούμενα σπλάγχνα, τουτέστι, τὰ ἐντοσθίδια, σπλῆνα, καρδίαν, ἧπαρ· τοῦτο γὰρ δηλοῖ τὸ σπλάγχνα ἐπάσαντο. — Ἔστι δὲ πάσασθαι, τὸ γεύσασθαι. Ε. — Ὠμοθέτησαν] Ἀπὸ τῶν ὠμῶν ἱερείων ἀπαρξάμενοι· ἔκοψαν μικρὸν ἀπὸ παντὸς μέλους, καὶ ἐπέθηκαν ἐπὶ τὰ μηρία, ὡς δοκεῖν ὅλα τὰ μέλη τοῦ ἱερείου καρποῦσθαι· διὸ ἡ διπλῆ. Β.

Σ. 462. Καῖε δ' ἐπὶ σχίζῃς] Ἰστέον δὲ, ὅτι τὰς σχίζας εἰς ἐντέλειαν διασκευῆς παρέλαβεν ἁπλῶς οὕτως ὁ ποιητής. — Αἴθοπα οἶνον] Αἴθοψ δ' οἶνος, ὁ οἷον ἐπικεκαυμένος τὴν ὄψιν, ἤτοι μέλας ἢ ἐρυθρός. — Ἢ καὶ ὁ θερμὸς καὶ ἐκκαίων, παρὰ τὸ αἴθω. Ε. μέλανα, ἢ θερμόν. Σ. — Τοῦ δὲ λείβειν οἶνον καιρὸς οὐ μόνον ὁ κατὰ θυσίαν, ἀλλὰ καὶ ὁ κατ' ἀρχὴν ὁδοιπορίας καὶ ἀπόπλου καὶ ὕπνου καὶ ξενίας, καὶ ὅσα τοιαῦτα. Ε.

Σ. 463. Πεμπώβολα] Πέντε ὀβολοὺς ἔχοντα ἐκ μιᾶς λαβῆς κρατουμένης τριανοειδῶς. Σ. [ἴδ. Βιργ. Αἰν. Α, 210.] — Ἔοικε δὲ παρὰ τῷ ποιητῇ ταὐτοδύναμα εἶναι ὁ ὀβολὸς καὶ ὁ ὀβελὸς, σκεῦός τι μαγείρου, ἐν τῷ ἄκρῳ ὀξύ. Ε.

Σ. 465. Μίστυλλον] Τὰ μελεϊστὶ τμηθέντα μιστύλλοντες, τουτέστι εἰς μείωσα, ὅ ἐστι σμικρότατα κόπτοντες, ἀμφ' ὀβελοῖσιν ἔπειρον ἢ πεμπωβόλοις. Ε.

Σ. 466. Ὤπτησάν τε] Κἀκεῖνο δὲ ἰστέον, ὅτι ὀπτητοῖς, ὅ ἐστι κατὰ συγκοπὴν ὀπτοῖς οἱ ἥρωες ὡσεπιπολὺ χρῶνται κρέασι· καὶ τούτοις ἐκ τῶν προχείρων ζώων· ἡ δὲ τρυφὴ πάνυ μακρὰν αὐτῶν ἀπεσκήνου· ἰχθυοφαγίαν δὲ καὶ θήραν ὀρνίθων ὁ λιμὸς ἀναγκάζων ἐσχεδίαζεν. — Τὸ δὲ περιφραδέως ὀπτᾷν ταὐτόν ἐστι τῷ ἐπιστημόνως. Ε.

Σ. 467. Πόνου] Ὅτι πόνος παρὰ τῷ ποιητῇ, ἡ ἐνέργεια. Ε. — Πόνος ἐνταῦθα δηλοῖ τὴν περὶ τὴν ἱεροποιίαν σπουδήν.

Σ. 468. Ἐΐσης] Τῆς ἴσως πᾶσιν ἐπιγινομένης διὰ τὸν ἔρωτα, ἢ τῆς μεριζομένης· ἐπὶ κἂν τοῖς εὐτελέσι τὴν ἰσότητα ἐτήρουν. Β. Ἴσης πᾶσιν ὁμοίας, ἢ ἰσομοίρου καὶ μεριστῆς. Σ.

Σ. 469. Ἐξ ἔρον ἕντο] Ἐξέβαλον τὸν τῆς τροφῆς ἔρωτα,

НБ ОНУ ім. І.І. Мечникова

ὅ ἐστιν ἐκορέσθησαν· ἔρον δὲ τὸν ἔρωτα Αἰολικῶς λέγει. Σ. (Ἰδ. Βιργ. Αἰν. Η. 184.).

Σ. 470. Ἐπεστέψαντο] Ἄχρι τῆς στεφάνης ἐπλήρωσαν· ὅ ἐστι μέχρι τέλους. Σ. Ὅτι τοὺς κρατῆρας ἐπιστέψασθαι ποτοῖο, τὸ ἐπιχειλεῖς ποιῆσαι αὐτούς, καὶ μέχρι στεφάνης, ὅ ἐστι χείλους πληρῶσαι, δηλοῖ ὃ καὶ παρὰ τῷ Χρυσολόγῳ εὕρηται, εἰπόντι κρατῆρας ἐστεμμένους οἴνου. (Ἰδ. Ἀθήναιον Δειπν. Α. 11).

Σ. 471. Νώμησαν] Διεμέρισαν, διέδωκαν. Σ. Ὅτι ὥσπερ στρέφω, καὶ ἐξ αὐτοῦ στρόφος, καὶ ἀπ' αὐτοῦ τὸ στρωφῶ, κατὰ ἔκτασιν, καὶ δηλοῖ τὸ στρέφω, οὕτω τρέπω, τρόπος, τρωπῶ, τρέχω, τρόχος τρωχῶ, καὶ νέμω νόμος νωμῶ, τὸ παρέχω. Ε. — Ἐπαρξάμενοι] Ἤτοι τοῦ πίνειν ἀρχὴν ποιήσαντες, καὶ ἀπαρξάμενοι, καὶ σπείσαντες τοῖς Θεοῖς. Σ.

Σ. 473. Καλὸν ἀείδοντες παιήονα] Ὅλως δὲ, ὡς οἱ παλαιοὶ σημειοῦνται, πέντε εἰσὶν ᾠδαὶ παρὰ τοῖς ἥρωσι· σωφρονιστική, ὁποία ἡ τοῦ τῇ Κλυταιμνήστρᾳ συνόντος ἀοιδοῦ [Ὀδυσσ. Γ, 267.]· ἐγκωμιαστική, ὡς ἡ ῥηθεῖσα τοῦ Ἀχιλλέως· θρηνητική· ὀρχηματική, ὡς ἡ τοῦ νεανίου τοῦ ἐν τῇ ὁπλοποιΐᾳ ᾄδοντος· [Ἰλ. Σ, 494.] καὶ παιανική, ὁποία ἐστὶν ἡ νῦν αὕτη παρὰ τῷ ποιητῇ. — Ἔστι δὲ παιήων ὕμνος τίς φασιν εἰς Ἀπόλλωνα, οὐ μόνον ἐπὶ παύσει λοιμοῦ, ὡς ἄρτι ᾀδόμενος, ἀλλὰ καὶ ἐπὶ παύσει πολέμου, ὡς ἐν τοῖς ὕστερον φανήσεται παρ' αὐτῷ τῷ ποιητῇ· πολλάκις δὲ καὶ προσδοκωμένου τινὸς δεινοῦ ᾀδόμενος· καὶ ὁ μὲν ποιητὴς παιήονα τοῦτον καλεῖ, οἱ δὲ μετ' αὐτὸν καὶ παιῶνα. — Ἔτι δὲ καὶ παιᾶνα. Ε.

Σ. 474. Ἑκάεργον] Ὅτι ἑκάεργος Ἀπόλλων, ὁ ἕκαθεν εἴργων, ὡς τοξότης. Σ.

Σ. 475. Κνέφας] Καὶ τὸ σκότος ἐγένετο, ὅ ἐστι νύξ. Σ.

Σ. 476. Παρὰ πρυμνήσια] Παρὰ τὰ απόγεια σχοινία. Σ.

Σ. 477. Ἠριγένεια] Ἤτοι ἡ τὸν ὄρθρον γεννῶσα ἡμέρα, ἢ ἡ ὑπὸ τοῦ ὄρθρου γεννωμένη. Σ. — Ἡ ἐκ τοῦ ἦρι γεννωμένη. Β. — Ῥοδοδάκτυλος] Ῥοδόχρους, διαυγής· πυῤῥώδης γὰρ ὁ ἀὴρ ὄρθρου γίγνεται ἐν τῇ ἀνατολῇ· ἀπὸ δὲ τοῦ σχήματος τῶν τῆς χειρὸς δακτύλων, παρίστησι τὸ τῶν ἀκτίνων σχῆμα. Σ.

Σ. 478. Ἔπειτ' ἀνάγοντο] Ὅτι ὥσπερ ἀναβαίνειν, οὕτω καὶ ἀνάγεσθαι, τὸ ἐκ τοῦ λιμένος ἀναπλέειν· οὗ τὸ ἀνά-

НБ ОНУ імені І.І. Мечникова

παλιν, καταπλέειν τε καὶ κατάγεσθαι, ὡς ἄνω γῆς κειμένου καὶ οὕτως ἀναβαινομένου τοῦ πλεομένου ὕδατος, διὰ τὸ ὕψος κεῖσθαι. Ε.

Σ. 479. Ἴκμενον οὖρον] Φύσιν τοῦ ἀνέμου διδάσκει, ὃς ἐξ ἰκμάδος ὑδάτων ἀτμιζομένης ὑπὸ ἡλίου γίνεται. — Ὅθεν καὶ ψιλοῦται τὸ ἴκμενος, ἀπὸ τῆς ἰκμάδος· ὅτι δὲ καὶ δασύνεται παρὰ τὸ ἱκέσθαι, ὡς εἰονεὶ ἱκόμενός τις ὤν, ἤγουν ἐπιτήδειος εἰς τὸ ἱκέσθαι, λέγουσι καὶ αὐτὸ οἱ παλαιοί. Ε. Ἴκμενον, ἤτοι πορευτικὸν, παρὰ τὸ ἱκνεῖσθαι· ἢ ὑγρὸν, ἀπὸ τῆς ἰκμάδος, καὶ γὰρ ἐν ἄλλοις φησὶν, ἀνέμων μένος ὑγρὸν ἀέντων [Ὀδυσσ. Ε, 478.] Σ. Ἰκμάδος γὰρ ὑδάτων ἀτμιζομένης, ἄνεμος γίνεται οὐ γὰρ παρὰ τὸ ἱκνεῖσθαι. Β.

Σ. 481. Ἄνεμος πρῆσε] Τὸ δὲ ἄνεμος πρῆσεν, ὅ ἐστιν ἐφύσησε, καὶ τὸ διαπρήσσουσα κέλευθον [στ. 483.] ὅ ἐστι διαπερῶσα.

Σ. 482. Στείρῃ] Τῇ τρόπιδι τῆς νεὼς, ἐπεὶ στερεωτέρα τῶν σανίδων ὑπάρχει· ἐπὶ γὰρ τῷ ξύλῳ τούτῳ, ὥσπερ ἐπὶ θεμελίῳ τινὶ ἐποικοδομεῖται τὰ ἄλλα ξύλα τῆς νεώς. Σ. Στείρη, ἡ ἐν ᾗ στηρίζονται τὰ λοιπὰ πάντα τῆς νηός· ἢ τὴν στεῖραν οὖσαν, ὡς μὴ ἔχουσαν ἕτερον ξύλον ὅμοιον ταύτῃ. Β. — Στεῖραν δὲ τὴν τρόπιν λέγει, ἀπὸ τοῦ στερρόν. — Πορφύρεον δὲ κῦμα, ἀντὶ τοῦ μέλαν. — Ἐπεὶ ἐγγὺς μελανίας ἐστὶ καὶ τὸ πορφυροῦν· καὶ ἐπὶ θαλάσσης δὲ τὸ πορφύρεον λέγεται· ἐξ οὗ καὶ τὸ ἐν βάθει διανοεῖσθαι, καὶ οἷον κυμαίνεσθαι λογισμοῖς, πορφύρειν λέγεται· οἷον κραδίη δέ οἱ πόρφυρε. [Ἰλ. Φ, 551.] Ε. (ἴδ. Βιργ. Γεωργ. Δ. σελ. 855. ἐκδ. Βοσσίου.).

Σ. 486. Ἕρματα μακρὰ τάνυσσαν] Εἰσὶ δὲ νῦν ἕρματα τὰ ὑποκείμενα ταῖς ναυσὶν ἐκ ξύλων ἐρείσματα, ἐφ' ὧν αἱ νῆες ἐρείδονται· ἃ δὴ κατὰ τεχνικήν τινα γλῶτταν καλοῦσιν οἱ πολλοὶ φαλάγγια· καὶ ὤφειλε μὲν ἡ λέξις ψιλοῦσθαι, διὰ τὴν ἐκ τοῦ ἐρείσματος συγκοπὴν, δασύνεται δὲ ἄλλως κανόνι τοιούτῳ· τὰ βραχυνόμενα φωνήεντα, καταλήγοντα δὲ εἰς ρ, ἐπιφερομένου τοῦ μ, δασύνεται, ὅρμος, ἅρμα, ὁρμαθός· οὕτω δή φασι καὶ τὸ ἕρμα· πλὴν τοῦ, ἄρμενον, τὸ ἁρμόδιον, καὶ πλὴν τοῦ Ὄρμενος κυρίου ὀνόματος Ε. — Ἕρματα — τὰ ὑπερείσματα — ἀπὸ τοῦ ἐνείρθαι καὶ ἐρηρείσθαι τῇ γῇ. — Τὸ ἔρεισμα καὶ θεμέλιον. Β. — Τὸ δὲ τάνυσαν πρὸς τὰ μακρὰ

НБ ОНУ ім. І.І. Мечникова

εἴρηται, ἄλλως δὲ ἦν εἰπεῖν, ἔθεντο. Ε. — Τάνυσσαν] Κατὰ μῆκος
ὑπέθηκαν. Σ. (Ἴδ. Ὁμήρ. Ὕμν. εἰς Ἀπόλ. στ. 507. σελ. 43.).

Σ. 490. Οὔτε ποτ' εἰς ἀγορήν] Τουτέστιν ἐπεὶ οὔτε λό-
γοις, οὔτε ἔργοις ἐνέπρεπε, φθινύθεσκε φίλον κῆρ. Ε. — Πωλέ-
σκετο] Ἀνεστρέφετο, παρεγένετο. Σ. — Κυδιάνειραν] Ἐνδόξους
ἄνδρας ἔχουσαν, ἢ ἐνδόξους τοὺς ἄνδρας ποιοῦσαν. Σ.

Σ. 492. Ἀϋτήν τε πτόλεμόν τε] Ἀϋτὴ δὲ ἡ βοή, παρὰ τὸ
αὔω, τὸ φωνῶ· λαμβάνονται δὲ καὶ ἄμφω ποτὲ ἐπὶ πολέμου·
ἀϋτὴ γὰρ καὶ βοὴ πολλαχοῦ ἡ μάχη, ἐκ τοῦ παρακολουθοῦν-
τος· παρακολουθεῖ γὰρ ἡ μεγάλη βοὴ τῇ μάχῃ. Ε.

Σ. 496. Ἀνεδύσατο κῦμα θαλάσσης] Ὅτι τὸ μὲν ἀπὸ βά-
θους ἀνελθεῖν, ἀναδῦναι λέγεται. Θέτις οὖν ἀνεδύσατο κῦμα
θαλάσσης· τὸ δὲ ἐκεῖθεν ἀνωτέρω, ἀναβῆναί φαμεν, ὥστε καὶ
τὸ ἐξ οὐρανοῦ μὲν ἕως τῆς θαλαττίας ἐπιφανείας καταβῆναί
ἐστι· τὸ δὲ ἐκεῖθεν, καταδῦναι. Ε. (στ. 359.).

Σ. 497. Οὐρανὸν Οὔλυμπόν τε] Τοῦτο δὲ τρόπος ὑστερο-
λογίας ἐστί· πρῶτον γὰρ ὑπεραναβῆναι δεῖ τὰς τοῦ Οὐλύμπου
κορυφάς, εἶτα τὸν ὑπὲρ τὰ νέφη τόπον καταλαβεῖν, οὐρανὸν
καὶ αὐτὸν λεγόμενον· (Ἴδ. στ. 18.) — Τὸ δὲ ἠερίη, ἐὰν ἀντὶ
τοῦ ὀρθρινὴ λαμβάνηται πλεονασμὸν ἔχει τοῦ. ε· ἦρ γὰρ ὁ
ὄρθρος, καὶ κλίνεται ἦρος, ἦρι. — Ὅθεν καὶ ἠὼς ἠριγένεια.
Ε. — Ἠερίη] Ἑωθινή, ὀρθρινή. Σ.

Σ. 498. Εὐρύοπα Κρονίδην] Εὐρύοπα τὸν Δία λέγει, ἢ
ὡς μεγαλόφθαλμον διὰ τὸ προνοητικὸν — ἢ ὅτι εὐρεῖαν ἔχει
ὄπα· βροντητικὸς γὰρ ὁ αὐτὸς Ζεύς, καὶ ἐριβρεμέτης καὶ ἐρισ-
μάραγος. Ε. Ἤτοι μεγαλόφθαλμον, παρὰ τοὺς ὦπας· ἢ μεγα-
λόφωνον, παρὰ τὴν ὦπα, ὅ ἐστι τὴν φωνήν. Β.

Σ. 499. Κορυφῇ πολυδειράδος Οὐλύμποιο] Ἰστέον δὲ, ὅτι,
ὥσπερ κορυφὴ ὄρους μεταφορικῶς ἀπὸ τῆς τῶν ζώων κορυ-
φῆς, οὕτω καὶ δειρὴ ἡ ἐξοχή, ἡ λήγουσα εἰς στενόν, ἀπὸ
τῆς τῶν ζώων δειρῆς· ὅθεν καὶ πολυδειρὰς ὄλυμπος, τὸ ὄρος
δηλαδή, τὸ ἔχον πολλὰς ἐξοχάς· ὅτι δὲ καὶ πόδες ὄρους,
καὶ κνῆμαι καὶ ῥάχεις καὶ ἕτερα τοιαῦτα ἐκ τῶν ζωϊκῶν,
ἀλλαχοῦ φανήσεται. Ε. Τρεῖς δὲ τριηκόσιαι κορυφαὶ νιφόεν-
τος Ὀλύμπου. Β.

Σ. 501. Ὑπ' ἀνθερεῶνος ἑλοῦσα] Ἔστι δὲ ἀνθερεὼν ὁ τόπος φα-
σὶ περὶ ὃν ἀνθεῖ τὸ γένειον· λέγεται δέ ποτε καὶ ἐπὶ γυναι-

НБ ОНУ імені І.І.Мечникова

κὸς καταχρηστικῶς. Ε. — Τοῦ ὑπὸ τὸ γένειον τόπου, παρὰ τὴν ἐξάνθησιν τῶν τριχῶν. Σ.

Σ. 503. Ζεῦ πάτερ . . . . . ὄνησα] Οὐ λέγει δὲ καὶ πῶς τὸν Δία ὠφέλησε, διότι τε οὐ χρὴ φανερῶς ἐξονειδίζειν τὸν εἰδότα, καὶ ὅτι οὐδὲ θέλει ὁ ποιητὴς ἀκαίρως διττολογεῖν. — Ὁ δὲ Ζεὺς τὴν μὲν χάριν μὴ ἀποδοῦναι, οὐκ ἔχει· κατανεῦσαι δὲ ἐπὶ βλάβῃ τῶν Ἑλλήνων, δυσχερῶς ἔχει· νικᾷ μέντοι ἡ τῆς εὐεργεσίας ἀνταπόδοσις· ἀγεννὲς γὰρ, τὸ μὴ ἀντιτίνειν τοῖς εὐεργέταις χάριτας· εἰ δὲ ἡ Ἥρα μὴ θέλει, ἀλλ᾽ οὐδὲν αὐτῆς μέλον ἐστὶ τῷ Διΐ· διδάσκοντος τοῦ ποιητοῦ, ὅτι καὶ τῶν οἰκειοτάτων ἐν πολλοῖς προτιμητέον τὸν εὐεργέτην· καὶ ἄλλως δὲ Ἥρα, εἰ μὴ Θέτις ἐξεβοήθησέ ποτε, κατήγαγεν ἂν τὸν Δία τῆς ἀρχῆς· βέλτιον οὖν τῇ Θέτιδι ὑπακοῦσαι κατὰ τῶν Ἀχαιῶν, ὡς εὐεργέτιδι, καὶ μὴ πεισθῆναι τῇ Ἥρᾳ ὑπὲρ αὐτῶν, τῇ ἐπιβούλῳ. Ε.

Σ. 505. Ὠκυμορώτατος ἄλλων] Τὸ δὲ ὠκυμορώτατος ἄλλων, ψευδῶς εἴρηται διὰ λύπην· πολλοὶ γὰρ πρὸ Ἀχιλλέως ὠκύμοροι. Ε.

Σ. 508. Μητιέτα] Βουλευτικώτατε. Ἔστι δὲ εἰπεῖν, ὅτι ἀπὸ τοῦ μετίτα κατὰ πλεονασμὸν τοῦ η, καὶ συστολῇ τοῦ ι, ἀπὸ εὐθείας μητίτης, κλητικὴ γέγονε μητιέτα. Β.

Σ. 509. Τόφρα δ᾽ ἐπὶ Τρώεσσι] Ὅτι ἐν τῷ, τόφρα — τιμῇ, προεκτίθεται οἷον ὁ ποιητὴς τὰ ὕστερα· μονονουχὶ λέγων πρὸς τὸν φιλέλληνα ἀκροατὴν, ὅτι οὐ διὰ τέλους κρατήσουσιν οἱ Τρῶες, ἀλλ᾽ ἕως ὁ Ἀχιλλεὺς ὑπὸ Ἀχαιῶν τιμηθῇ· τοῦτο δὲ ταχὺ γενήσεται. Ε.

Σ. 513. Ὡς ἔχετο] Ἐκράτει, τῷ παθητικῷ ἐχρήσατο ἀντὶ ἐνεργητικοῦ. — Ἐμπεφυυῖα] Ἐμπλέξασα τὰς χεῖρας, ἰσχυρῶς κρατήσασα. Σ. Ὅτι ἐμπεφυκέναι καὶ ἐμφῦναι, τὸ ἐγκρατῶς καὶ δυσαποσπάστως δράξασθαι· οὕτω καὶ πολύπους ἐμφύεσθαι τῇ πέτρᾳ λέγεται. — Ἰστέον δὲ, ὅτι μέσος παρακείμενός ἐστι τὸ ἐμπεφυυῖα, κατὰ κανόνα, ὃν ἐκτίθεται καὶ Ἡρωδιανὸς λέγων· καθαρεύοντι τῷ ἐνεστῶτι, συγκαθαρεύειν καὶ τὸν μέσον παρακείμενον· οἷον· φύω, πέφυα· ἀκούω, ἀκήκοα. Ε.

Σ. 514. Νημερτὲς] Ἔστι δὲ νημερτὲς, τὸ μὴ ἡμαρτημένον διὰ τὸ ψεύδεσθαι, ἀλλὰ ἀληθές. Ε.

НБ ОНУ імені І.І.Мечникова

Σ. 517. Μέγ᾽ ὀχθήσας] Μέγα στενάξας, καὶ δεινοπαθήσας. Σ. — Ὅτι ὀχθῆσαι, τὸ δεινοπαθῆσαι, ἢ πονῆσαι. — Ἢ καὶ ἄλλως, τὸ εἰς ὕψος ἐπᾶραι τὸν θυμόν. — Τὸ γοῦν μέγ᾽ ὀχθήσας, ἀντὶ τοῦ ὑπερλυπηθείς. Ε.

Σ. 518. Λοίγια] Ὀλέθρια. — Ἐχθοδοπῆσαι] Ἐχθρὸν καταστῆσαι. — Ἐφήσεις] Ἐποτρυνεῖς, ἐφορμήσεις ὅ ἐστιν ἀναγκάσεις. Σ. Ἐχθοδοπῆσαι τὸ ἐχθρανθῆναι· τὸ δὲ ἐφήσεις, ἀντὶ τοῦ ἀναπείσεις ἐκ τοῦ ἐφίημι, τὸ ἐντέλλομαι. Ε.

Σ. 519. Ἐρέθησιν] Ἐρεθίζῃ· ἐρεθίζειν δὲ τὸ παροξύνειν. — Τὸ δὲ ὅλον· ὁπότ᾽ ἄν με ἡ Ἥρα ὑπονοήσασά σοι παρέχειν χάριν, παροξύνῃ, χρωμένη λόγοις ἐρεθιστικοῖς. — Ζεὺς ἐρασθεὶς Θέτιδος τῆς τοῦ Νηρέως, ἐδίωκεν αὐτὴν, βουλόμενος βιάσασθαι· γενόμενος δὲ ἐπὶ τὸ Καυκάσιον ὄρος, ἐκωλύθη ὑπὸ Προμηθέως, φήσαντος, τὸν ἐκ Θέτιδος γενόμενον ἀμείνονα ἔσεσθαι τοῦ ἰδίου πατρός· δείσας οὖν ὁ Ζεὺς περὶ τῆς ἐν οὐρανῷ ἐπικρατείας, αὐτὸς μὲν ἀπέσχετο τῆς προειρημένης· εἰς τιμὴν δὲ τοῦ παιδὸς Αἰακοῦ, ἔδωκεν αὐτὴν πρὸς γάμον Πηλεῖ, ἐξ ἧς ἐγένετο ὁ Ἀχιλλεὺς, ὃς οὐ μόνον ὑπερέβαλλε, τῇ ἀνδρείᾳ τὸν ἑαυτοῦ πατέρα, ἀλλὰ καὶ τοὺς κατ᾽ ἐκεῖνον γενομένους πάντας ἥρωας. Σ.

Σ. 520. Αὔτως] Εἰκαίως, ματαίως. Σ. (ἰδ. στ. 133.) ἄκρως δὲ γυναικεῖον ἦθος ἐξέθετο· ὑποπτεύουσι γὰρ ἅπαντα, καὶ τοὺς ἄνδρας ὀνειδίζουσιν, ὡς οὐ πράττοντας τὰ αὐταῖς κεχαρισμένα Β.

Σ. 521. Νεικεῖ] Κακολογεῖ, λοιδορεῖ. — Ἀρήγειν] Βοηθεῖν.

Σ. 523. Μελήσεται] Ἀττικὸν δὲ τὸ μελήσεται, καθὰ εὐθὺς καὶ τὸ, κεφαλῇ κατανεύσομαι· τὰ δὲ κοινὰ τούτων ἐστὶ, μελήσει καὶ κατανεύσω. Ε.

Σ. 524. Κεφαλῇ κατανεύσομαι] Τὸ δὲ κατανεῦσαι τῇ κεφαλῇ τὸν Δία, μέγιστον ἦν τέκμωρ, ἤτοι τέλος πράξεων· διὸ καὶ φησὶν ἐκεῖνος, ὅτι, οὐ γὰρ ἐμὸν παλινάγρετον κ. τ. λ. ὁ δὲ λόγος οἰκεῖος ἐνδόξῳ προσώπῳ μεγάλα ὑποσχομένῳ· εὐτελεῖ δέ τινι οὐ προσήκει ὁ λόγος ἅπας. Τριῶν γὰρ ὄντων δι᾽ ἅ τις οὐ ποιεῖ τὸ ὑπεσχημένον, ἀπάτης, μεταμελείας, ἀδυναμίας· ἀπατηλὸς μὲν οὐκ ἐξ ἀνάγκης ἔσται τοῖς εὐτελέσιν ὁ λόγος τῆς ὑποσχέσεως, ἀλλ᾽ οὐδὲ παλινάγρετος, ὅ ἐστιν ἐκ μεταμέλου ἀνάπαλιν ἀγειρόμενος· ἀτελεύτητος δὲ κατ᾽ ἀνάγκην τινὰ ἔσται, ἤγουν ἀτελὴς, ἐὰν μέγα ᾖ τὸ ὑπε-



НБ ОНУ імені І.І. Мечникова

σχημένον καὶ μὴ τελευτηθῆναι, δυνάμενον· τῷ δὲ δυνατωτάτῳ εἰκὸς ταῦτα πάντα προσεῖναι. Ε.

Σ. 526. Οὐ γάρ ἐμὸν] Ἐν δὲ τῷ, οὐ γὰρ ἐμὸν, λείπει τὸ, ἔπος, ἤ τι τοιοῦτον· ὡς καὶ ἐν τῷ κερτομίοις, λείπει τὸ, ἔπεσιν. Ε.—Τέκμωρ] Τέλος, τεκμήριον. — Παλινάγρετον] Παλισύλλεκτον, εἰς τοὐπίσω ληπτόν· ἐξ οὗ, ψευδὲς, ἢ μεταμελητόν. — Ἀπατηλόν] Ἀπατητικὸν καὶ ψευδές. ς.

Σ. 527. Ἀτελεύτητον] Ἀτελείωτον, ἀπλήρωτον. Σ. — Ὅ,τι κεν] Ὅπερ ἄν. Δ.

Σ. 528. Κυανέῃσιν ἐπ' ὀφρύσιν] Ἐν δὲ τῷ κυανέαις ἐπ' ὀφρύσιν ἡ ὅλη νοεῖται κεφαλὴ, ἀπὸ μέρους συνεκδοχικῶς καὶ κατὰ σύλληψιν, ὡς οἱ τεχνικοί φασι· οὐ γὰρ ἂν μόνων κινηθεισῶν τῶν ὀφρύων, αἱ χαῖται συνεκινήθησαν. — Φέρεται δὲ ἐνταῦθα ἱστορία· ὅτι Εὐφράνωρ Ἀθήνησι γράφων τοὺς δώδεκα θεοὺς, καὶ ἀπορῶν πρὸς οἷον ἀρχέτυπον γράψει τὸν Δία, παρῄει ἐν διδασκάλου· καὶ ἀκούσας τῶν ἐπῶν τούτων, ἀμβρόσιαι δ' ἄρα χαῖται, καὶ τὰ ἑξῆς, ἔφη, ὡς ἤδη ἔχει τὸ ἀρχέτυπον καὶ ἀπιὼν ἔγραφεν· οἱ δέ φασιν, ὅτι ἀπὸ τούτων τῶν δύο στίχων ὁρμηθεὶς Φειδίας ὁ ἀγαλματοποιὸς ἐποίησε τὸν ἐν Ὀλυμπίᾳ Δία οὕτω καμπτόμενον· καὶ ὁ γεωγράφος, (Η. σελ. 128.) δέ φησιν, ὅτι πρὸς Ὁμηρικὸν παράδειγμα τὸ ἐπ' ὀφρύσι νεῦσεν, ὁ Φειδίας ἐποίησε τὸν ἐν Ὀλυμπίᾳ Δία ἐλεφάντινον· οὕτω δέ φησι μέγας ἦν, ὡς ἅπτεσθαι σχεδὸν τῆς κορυφῆς (ἀνάγνωθ. τῇ κορυφῇ, κατὰ τὸν Στράβονα τῆς ὀροφῆς). διὸ καὶ κοσμίως εἴρηταί φησι, τὸ, Ὅμηρος ὃ τὰς τῶν θεῶν εἰκόνας ἢ μόνος ἰδὼν, ἢ μόνος δείξας. Ε.

Σ. 529. Χαῖται] Χαίτη δὲ οὐ μόνον ἐπὶ ἀνθρώπου κυριολεκτεῖται, ὡς καὶ ὧδε φαίνεται καὶ ἐν τῷ, κυανοχαίτης Ποσειδῶν· (Υ, 144.), ἀλλὰ καὶ ἐπὶ λέοντος λέγεται· ὅθεν καὶ χαιτήεις ἐκεῖνος, καὶ ἄρκτος δὲ χαιτήεσσα, καὶ ἐπὶ ἵππου. Ε. — Ἐπεῤῥώσαντο] Ἐπεσείσθησαν. Σ.—Μετηνέχθη ἀπὸ ἀνδρῶν ἐῤῥωμένως εἴς τι ἔργον κινουμένων· ῥώονται δὲ καὶ ἵπποι, ὅτε εἰς δρόμον συντείνονται. Ε.

Σ. 530. Μέγαν δὲ ἐλέλιξεν] Ἔθος δὲ τῷ ποιητῇ, τοιαῦτά τινα τερατολογεῖν ἐπὶ τῶν θείων κινήσεων, κατὰ ἔννοιαν σωματικωτέραν. — Διὸ καὶ Ἥρα ἐν τοῖς ἑξῆς (Θ 199.), σεισαμένη ἐν τῷ θρόνῳ, μέγαν ἐλέλιξεν Ὄλυμπον.—Τὸ δὲ ἐλέλιξεν ἐπαινεῖται παρὰ τῶν παλαιῶν, ὡς τῷ τάχει καὶ τῷ λείῳ

καὶ ἀπροσκόπτῳ τῆς ἐκφωνήσεως τῶν συλλαβῶν δηλοῦν τὸ τα-
χὺ τῆς ὀλυμπίας κινήσεως. Ε.
Σ. 531. Τώγ' ὣς βουλεύσαντε διέτμαγεν] Ὅτι ὃ φθάσας
διϊστᾶν ἔφη Ὅμηρος ἐν τῷ, διαστήτην ἐρίσαντε (Α, 6.) τοῦτο
καὶ διατμήγειν φησὶν, ὅ ἐστι διακόπτειν, διαιρεῖν. — Διέτ-
μαγεν, ἤτοι διεχωρίσθησαν. Ε. Ἡ μεταφορὰ δὲ ἀπὸ τῶν τεμνο-
μένων σωμάτων. Β.
Σ. 532. Εἰς ἅλα ἆλτο] Ὅτι εἰ καὶ ἅλλομαι δασύνεται,
ὃ δηλοῖ τὸ πηδῶ, ἀλλὰ τὸ ἆλτο ψιλοῦται· τάχα μὲν καὶ ὡς
αἰολικὸν, μάλιστα δὲ κατὰ τοὺς παλαιοὺς, διὰ τὴν τοῦ τ
ἐπιφοράν. Ε.
Σ. 533. Ζεὺς δὲ ἑὸν πρὸς δῶμα!] Ἐν τῷ, Ζεὺς δ' ἑὸν
πρὸς δῶμα, ἐξ ἀναλόγου νοητέον ἔξωθεν ῥῆμα· ἵνα ᾖ, ὡς Θέτις
μὲν ἥλατο εἰς θάλασσαν, Ζεὺς δὲ τὸ ἴδιον δῶμα ἦλθεν — ὡς
ἐν τῷ, σῖτον καὶ οἶνον ἔδοντες. Ε. — Ἀνέσταν] — Ἐναντίον·
ᾧ ἔοικε τὸ ἐπανέστησαν, ἐν τῇ β' ῥαψῳδίᾳ κείμενον. — Ὅρα
δὲ τὸ ἀρχαϊκὸν τῆς λέξεως τοῦ ἐπανίστασθαι· πάλαι μὲν γάρ
ποτε τὸ ἐπὶ τιμῇ ἀνίστασθαι ἐδήλου, ὕστερον δὲ μάχιμος ἡ
λέξις τοῦ ἐπανίστασθαι, καὶ τῆς ἐπαναστάσεως, τῆς ἐπὶ προ-
θέσεως τὸ κατὰ δηλούσης. — Ὡς εἶναι παρὰ τοῖς ὕστερον τὸ
ἐπανίστασθαι ὅμοιον τῷ κατεξανίστασθαι. — Σημείωσαι δὲ, ὅτι
τὸ, οὐδέ τις ἔτλη μεῖναι ὑπερχόμενον, ἀσαφὲς ὂν, (δύναται
γάρ ποτε ὡς ὁμώνυμος καὶ ἀμφίβολος ἔννοια λεχθῆναι καὶ
ἐπὶ ἀριστέως, ὃν οὐδεὶς δύναται τλῆναι ἐπιόντα) διεσαφήθη
ἀναγκαίως διὰ τοῦ, ἀλλ' ἀντίοι ἔσταν ἅπαντες· ἔστι δὲ ἄλ-
λως καὶ αὐτὸ εἰπεῖν ποτε κατὰ καιρὸν ἐπὶ ἀνδρῶν ἀφόβων,
οἳ κινδύνου ἐφεστῶτος οὐ φεύγουσιν, ἀλλ' ἀντίοι ἵστανται. Ε.
Σ. 538. Ἀργυρόπεζα] Λαμπρόπους, ἀπὸ μέρους ὅλη κα-
λή. Σ. — Ὁποία τίς ἐστι καὶ ἡ καλλίσφυρος. Ε. — Ἁλίοιο
γέροντος] Ἄδηλον, Πρωτέως ἢ Φόρκυος· εἰ μὴ διὰ τὸ, Κλῦτε
κασίγνηται Νηρηΐδες, (Ἰλ. σ, 521.) Νηρέως. Σ. (Ἡσίοδ.
Θεογ. 234.)
Σ. 540. Τίς δ' αὖ τοι] Ὅτι καὶ ἐνταῦθα δηλοῖ σαφέστατα
ὁ ποιητὴς, ὡς πολλάκις τις διά τι πάθος ψυχῆς ἐρωτᾷ καὶ
περὶ οὗ ἀκριβῶς οἶδεν. Ε.
Σ. 541. Ἀπονόσφιν] Καὶ ὅρα ἐνταῦθα, ὅτι τὸ νόσφιν ἐόντα
καὶ τὸ φρονέοντα, οὐ πρὸς τὸ σοὶ ἀπεδόθη, κατὰ πτῶσιν δο-
τικὴν, ἀλλὰ πρὸς τὸ δικάζειν· ἵνα λέγῃ, ὅτι ἀεί σοι φίλον



НБ ОНУ імені І.І. Мечникова

ἐστὶ, δικάζειν σε νόσφιν ἐόντα καὶ κρυπτὰ φρονέοντα. Καὶ εἰσὶ τοιαῦται πολλαὶ συντάξεις, ἐπαμφοτερίζουσαι καὶ δυνάμεναι τοῖς τε προηγουμένοις καὶ τοῖς ἑπομένοις συντάττεσθαι. Ε. (Ἴδ. Λουκιαν. Τόμ. Γ. σελ. 470. 471. Ε. Ἔκδ. Ἑμστέρ.)

Σ. 542. Κρυπτάδια] Τὸ Κρυπτάδια ὁμοιότητα ἔχει πρὸς τὸ ἀμφάδια, ὃ δηλοῖ τὰ φανερά. — Δικαζέμεν] Δικάζειν δὲ λέγει τὸ σεμνῶς καὶ βασιλικῶς οἰκονομεῖν καὶ ἐπικρίνειν. Ε. Τὸ δικαζέμεν ἀντὶ τοῦ πράττειν. Β.

Σ. 544. Πατὴρ ἀνδρῶν τε θεῶν τε] Ὁ δὲ μῦθος, πατέρα θεῶν καὶ ἀνδρῶν τὸν Δία φησὶ, λέγων, ὅτι, κατὰ τοὺς Ὁμηρικοὺς μύθους, τῶν ἄλλων δαιμόνων οἱ μὲν θνητῶν πατέρες λέγονται, ὡς Ποσειδῶν, Ἀφροδίτη, Θέτις· οἱ δὲ μόνων ἀθανάτων, ὡς Κρόνος. Ζεὺς δὲ μόνος καὶ ἀθανάτων πατὴρ, οἷον Ἀπόλλωνος, Ἡφαίστου, Ἄρεως· καὶ θνητῶν δὲ, οἷον Σαρπηδόνος, Αἰακοῦ, Μίνωος, Ἡρακλέους, Περσέως. Ε.

Σ. 545. Ἥρη, μύθους] Ὅτι περίεργον μὲν ἡ γυνὴ, καὶ πάντα εἰδέναι θέλει, ὅσα βούλεται ἀνήρ· ἀλλ' ὁ συνετὸς οὐ ποιήσει οὕτως. Ε.

Σ. 546. Χαλεποί τοι ἔσοντ'] Βλαβεροί σοι γενήσονται. Σ.

Σ. 547. Ἐπιεικές] Ὅρα δὲ τὸ ἐπιεικὲς, ἀντὶ τοῦ πρέπον καὶ ἐοικός· οὕτω δὲ ἀεὶ παρὰ Ὁμήρῳ ἡ τοιαύτη λέξις λαμβάνεται· παρὰ μέν τοι τοῖς νεωτέροις τὸ ἐπιεικὲς ἐπὶ πρᾳότητος λέγεται. Ε.

Σ. 550. Διείρεο] Ἀνερώτα. Σ. — Τὸ δὲ ταῦτα ἕκαστα καινότερον ἔχει σχηματισθὲν, εἴτε πρὸς τὸν λόγον τοῦ Διὸς, εἴτε πρὸς τοὺς λόγους ἀποδοθήσεται· μετέπεσε γὰρ ἀπὸ ἀρσενικοῦ γένους εἰς οὐδέτερον· τὸ δὲ κοινότερον ἦν εἰπεῖν, μή τι σὺ τοὺς ἐμοὺς μύθους, ἢ τὸν ἐμὸν μῦθον διείρεο, μηδὲ μετάλλα· μεταλλᾷν δὲ τὸ πολυπραγμονεῖν ἀεὶ παρ' Ὁμήρῳ· ἀφ' οὗ καὶ ἐπὶ τῶν ὑπὸ γῆν τὸ μεταλλεύειν εἴρηται· καὶ τὰ ἐκεῖθεν ἀνορυττόμενα μέταλλα λέγονται· κληθέντα φασὶν οὕτω, διὰ τὸ μετὰ τὰ ἄλλα πάντα ἐπινοηθῆναι· καὶ γὰρ ἔοικε τῶν περὶ γῆν πάντων τῶν ἄλλων εὐθετηθέντων, τότε δὴ μετὰ τὰ ἄλλα ἐκεῖνα ἐπιχειρῆσαι τοὺς ἀνθρώπους καὶ ταῖς γεωργίαις, καὶ ἀφεῖναι μὲν τὰ νῶτα τῆς γῆς. Ε.

Σ. 551. Βοῶπις] Εὐόφθαλμος, καλή. Σ.

Σ. 552. Αἰνότατε] Δεινότατε, ἐπίφοβε. Σ.

Σ. 553. Οὔτ'] Ἔστιν ἐμφατικὸν δὶς λεγόμενον τὸ οὔτε·

НБ ОНУ імені І.І. Мечникова

ἔθος δὲ γυναιξὶν ἀρνεῖσθαι, ὅτι ποτὲ παρενώχλησαν τοῖς ἀνδράσιν. Β.

Σ. 554. Εὔκηλος] Ἥσυχος· ἡ εὐ πρὸ ἀφώνου ψιλοῦται, πλὴν τοῦ εὕδω. — Φράζεαι] Διενοοῦ, ἐβουλεύου. Σ. — Ἄσσ'] φασὶ οἱ παλαιοί, περὶ τοῦ ἄττα, ὅτι τρία δηλοῖ· τὸ τινά, ὅτε καὶ ψιλοῦται· τὸ ἅτινα, ὅτε δασύνεται· τοῦτο Ἴωνες ἅσσα λέγουσι· καὶ τρίτον, τὸ πότε, ἢ τὸ ἰσοδυναμοῦν τούτῳ. Ε.

Σ. 555. Παρείπῃ] Ἤγουν παραπείσῃ, παραλογίσηται. Ε.

Σ. 557. Λάβε] Ἀντὶ τοῦ ἥψατο· οἱ δὲ νεώτεροι λαβέσθαι τοῦτό φασι. Ε.

Σ. 558. Κατανεῦσαι] Ἀντὶ τοῦ κατανενευκέναι καὶ ὑποσχέσθαι. Σ.

Σ. 561. Δαιμονίη] Νῦν κακὴ κεφαλή· ὅτὲ δὲ εὐδαίμων, μακαρία. Σ. — Ὀίεαι] Διαπαντὸς μὲν μὲ ὑπονοεῖς, ἅπασα ὀργῇ πράσσουσα, καὶ οὐ λογιζομένη. Σ.

Σ. 562. 563. Ἀπὸ θυμοῦ — ἔσεαι] Ἀποθύμιός μοι πλέον καὶ ἐχθρὰ γενήσῃ. Σ. — Ὅτι ἐναντίον τῷ ἀποθυμίῳ τὸ καταθύμιον. Ε. — Ῥίγιον] Φρικτὸν, φοβερόν. Σ.

Σ. 564. Ἐμοὶ μέλλει φίλον εἶναι] Ἠθικῶς εἶπεν — ἀντὶ τοῦ, οὕτω μοι ἀρέσκει, οὕτως ἐγὼ θέλω. Ε. — Λέγει δὲ προϋπεσχῆσθαι Θέτιδι τὴν Ἀχιλλέως τιμήν. Σ.

Σ. 566. Χραίσμωσι] Οὐκ ἐπιβοηθήσωσιν. Σ. Νῦν μὲν λόγοις αὐτὴν ἀποκρούεται, ἑτέρωθι δὲ καὶ ἔργοις κολάζει, διδάσκοντος ἴσως τοῦ Ποιητοῦ, ὅτι ἀφόρητον ἂν εἴη γυνὴ, μὴ καθ' ὥραν ἐπιτιμωμένη· ἀποπαύει δὲ διὰ τούτου τὴν τῶν λοιπῶν πολυπραγμοσύνην. Β.

Σ. 567. Ἄσσον ἰόνθ'] Ἄσσον ἰόντε, ἐγγὺς παραγενόμενοι. Σ. Τὸ δὲ ἄσσον ἰόντε, κατὰ τὴν συνήθη ἐν τοῖς τοιούτοις ἀδιαφορίαν δυϊκῶς ἐκφωνηθὲν, ὅμως ὡς πληθυντικὸν κεῖται· δύναται δὲ καὶ κυρίως εἶναι δυϊκὸν, διὰ τὸ διγενὲς τῶν τε θεαινῶν, καὶ τῶν ἐν αὐταῖς ἀῤῥένων. Ε. — Ἀάπτους] Ἀπροσίτους, ἀπροσπελάστους, διὰ μέγεθος· ἀπτοήτους, πρὸς δὲ καὶ ἀέπτους ἵν' ᾖ, ἀῤῥήτους, ἢ αἷς οὐ δύναταί τις ἕπεσθαι. — Ἐφείω] Ἐπιβάλω, ἐπενέγκω. Σ. — Χεῖρες ἄαπτοι, αἱ δειναὶ καὶ ἀπτόητοι, κατὰ Ἀρίσταρχον· διὸ καὶ ἐψιλοῦτό φασι τὸ δεύτερον α, ἢ ἀίαπτοι, κατὰ ἔλλειψιν, τοῦ ι, ἃς οὐ δύναταί τις ἰάψαι, ὅ ἐστι βλάψαι. — Ἀριστοφάνης δὲ ἐν ταῖς γλώσσαις, ὥς φασιν οἱ παλαιοί, ἀέπτους γράφει, διὰ τοῦ ε,

НБ ОНУ імені І.І. Мечникова

οἱονεὶ ἀῤῥήτους, ἃς οὐ δύναταί τις εἰπεῖν· ἢ δυσπαρακολουθήτους, αἷς οὐ δύναταί τις ἕπεσθαι· καὶ ἄλλως δὲ χεῖρες ἄαπτοι αἱ ἀπροσπέλαστοι, ὧν οὐκ ἂν ἅψαιτό τις· τούτῳ δὲ τῷ λόγῳ καὶ ἐδασύνετο τὸ δεύτερον α΄. Ε.

Σ. 569. Ἐπιγνάμψασα] Ἐπικάμψασα τὴν αὐτῆς ψυχὴν, ὅ ἐστι πραΰνασα. Σ. — Ἀντὶ τοῦ κλιθεῖσα, ταπεινωθεῖσα, ὑποχαλασθεῖσα τοῦ ἀτενοῦς ἤθους· ἡ δὲ μεταφορὰ ἐκ τῶν καμπτομένων σωμάτων· λέγεται δέ τις καὶ ἄλλον κάμπτειν, ἤτοι πείθειν, μετάγειν. Ε.

Σ. 570. Ὤχθησαν] Ἀνεστέναξαν, ἐδεινοπάθησαν διὰ τὴν Ἥραν. Σ. Ὅτι καὶ ἐνταῦθα ὀχθῆσαι, τὸ ἀχθεσθῆναι, ἢ ὑψῶσαι τὸν φόβον, ἢ τὸν θυμὸν, μεταφορικῶς ἀπὸ τῆς τῶν ποταμῶν ὄχθης. Ε. (ἴδ. στίχ. 517.).

Σ. 571. Κλυτοτέχνης] Ὁ περὶ τὴν χαλκευτικὴν ἔνδοξος. Σ. — Διὰ τὰ περίκλυτα ἔργα, οἷς λυσιτελεῖ πρὸς ἀπαρτισμὸν ὁ εἰς πῦρ ἐκλαμβανόμενος Ἥφαιστος. Ε. Οἱ γὰρ πλείους τῇ Ἀθήνᾳ καὶ τῷ Ἡφαίστῳ τὰς τέχνας ἀνατιθέασι· τῇ μὲν Ἀθήνᾳ, ἐπεὶ φρόνησις καὶ ἀγχίνοια εἶναι δοκεῖ· τῷ δὲ Ἡφαίστῳ, διὰ τὸ τὰς πλείστας τῶν τεχνῶν διὰ πυρὸς τὰ ἑαυτῶν ἔργα ἀποτελεῖν. Β.

Σ. 572. Ἐπίηρα] Τὴν μετ' ἐπικουρίας χάριν. Σ. Ὅτι ἐπίηρα παρὰ τοῖς νεωτέροις, τὰ ἀπιθυμητὰ παρὰ τὸ ἐρᾶν· οἱ δὲ παλαιοὶ ἐπίηρά φασι τὴν μετὰ ἐπικουρίας χάριν, καὶ παράγουσι τὴν λέξιν οὕτως· Ὥσπερ κόπτω κόπανον, δρέπω δρέπανον, ἔδω ἔδανον — οὕτως ἐρῶ τὸ ἐπιθυμῶ ἔρανον, καὶ ἐκτάσει, ἤρανον καὶ ἐπιήρανον· οὗ πληθυντικὸν ἐπιήρανα καὶ ἀποκοπῇ ἐπίηρα. Εὕρηται δὲ καὶ ἀσυνθέτως παρὰ τῷ ποιητῇ, ἦρα· οἷον ἦρα Πριάμῳ φέρων, τουτέστι χάριν· ὁ μέντοι Ἡρωδιανὸς, ἁπλούστερον παράγων, φησίν· ἦρ, ἡ ἐπικουρία ὀξυτόνως, ἡ γενικὴ, ἦρος· αἰτιατικὴ, ἦρα, καὶ ἐν συνθέσει, ἐπίηρα. Ε.

Σ. 575. 576. Κολῳόν] Θόρυβον· ἡ μεταφορὰ ἀπὸ τοῦ κολοιοῦ, ὅ ἐστι θορυβῶδες καὶ κραυγαστικὸν ὄρνεον. — Ὁ δὲ Φιλόξενος παρὰ τὸ κλῶ, τὸ κλάζω, κατὰ παραγωγήν· οὐδὲ προσγράφει τὸ ῑ. Σ. — Ἐλαύνετον] Διεγείρετε. Σ. — Ἀντὶ τοῦ ἐπιτείνετε· ἀπὸ μεταφορᾶς ῥηθὲν τοῦ ἐλαυνομένου ἵππου, ἢ σιδήρου. — Οὐδέ τι δαιτὸς, κ. τ. λ.] Ὅτι καὶ ἐνταῦθα σχῆμά ἐστι τὸ λεγόμενον, κατὰ τὸ σιωπώμενον, ἐν τῷ οὐδέ τι δαιτός. — Ἦδος] Ἤγουν ἡδονή· νοητέον γὰρ, κἂν σεσιώπηται, ὅτι

НБ ОНУ імені І.І.Мечникова

φαινομένοις ἔωθεν τοῖς περὶ τὸν Δία, ἡ ἔρις ἐπιγέγονε. — Ὅτι δὲ φιλοῦται τὸ ἦδος κατὰ τὴν ἄρχουσαν, καθὰ καὶ τὸ ἦμαρ. — Ἡρωδιανὸς δὲ ἐν τῷ αὐτοῦ συμποσίῳ δασύνεσθαι αὐτὸ λέγει πρός τινων, ὡς ἀπὸ τοῦ ἥδω καὶ τῆς ἡδονῆς· ἐκρίναμεν δέ φησιν, ὥστε μᾶλλον ψιλοῦν αὐτό, φέρεται δὲ καὶ κανὼν τοιοῦτος· Τὰ εἰς ος οὐδέτερα δισύλλαβα, ἀρχόμενα ἀπὸ φύσει μακρᾶς ψιλοῦσι τὸ καταρχὰς φωνῆεν· οἷον εὖχος, ἦδος, ἦχος, ἦμος ἀντὶ τοῦ ἡνίκα· σεσημείωται ἐν τῷ ῥηθέντι κανόνι τὸ ἧλος δασυνθὲν καὶ τὸ ἧχι ἀντὶ τοῦ ὅπου· ἐφ' ὧν ἔστι καὶ ἀπολογία εὔλογος τοῦ δασύνεσθαι αὐτά. Ε. — Ἐπεὶ τὰ χερείονα νικᾷ] Ἐπειδὴ ὅλα τὰ χείρονα τῶν καλῶν πραγμάτων ἐπικρατέστερά ἐστι. Σ. — Παραφράσας τις ὕστερον ἐγνωμάτευσεν οὕτω· τὸ μὲν παράνομον ἐπὶ τὸ χεῖρον ἀνηβᾷ· τὸ δὲ καλὸν ταχέως ἀφίπταται τῆς τῶν ἀνθρώπων πολιτείας. Ε.

Σ. 577. Παράφημι] Παραινῶ, συμβουλεύω. Σ.

Σ. 580. Ἀστεροπητὴς] Ἀστραπτικὸς, ἀστραπὰς ποιῶν. Σ.

Σ. 581. Ἐξ ἑδέων στυφελίξαι] Ὅτι καὶ ἐνταῦθα σχῆμα κεῖται ἐλλειπτικόν· — ἵνα λέγῃ ὡς εἴπερ ὁ Ζεὺς ἐθέλει ἐκ τῶν οὐρανίων ἑδρῶν μετακινῆσαι ἡμᾶς, ἀνύσει ὃ θέλει· δύναται γάρ· τὸ δὲ ἀνύσει ὃ θέλει, λείπει, ὡς φανερὸν ὄν, κἂν μὴ λέγηται. Ε. — Στυφελίξαι] Ἀποκινῆσαι, ἀναστρέψαι. Σ. Γίνεται δὲ τὸ στυφελίζειν ἀπὸ τοῦ στύφειν καὶ ἑλίσσειν ἢ ἐλελίζειν, καὶ δηλοῖ τὸ στρυφνῶς καὶ ἐστυμμένως συστρέφειν. Ε.

Σ. 582. Καθάπτεσθαι] Καταπραΰνειν, ἐπέχειν, Σ. — Ὅτι τὸ καθάπτεσθαι λόγοις, οὐκ ἀεὶ ἐπὶ αὐστηρότητος καὶ ὕβρεως, ἀλλὰ καὶ ἁπλῶς ἐπὶ τοῦ ὁμιλεῖν, καὶ λόγου τινὰ ἀξιοῦν. — Μαλακοῖσιν] Μαλακοὶ δὲ λόγοι οἱ κολακευτικοὶ καὶ ψυχὴν σκληρὰν μαλάσσοντες, καὶ, ὡς εἰπεῖν, μαλακοποιοί. Ε.

Σ. 584. Ἀναΐξας] Γέλωτα κινεῖ τὸ ἀναΐξας ἐπὶ χωλοῦ τιθέμενον· γέλοιος δὲ ἐστιν Ἥφαιστος ἀναπηδῶν καὶ μιμούμενος Ἥβην καὶ Γανυμήδεα, καὶ μεμνημένος τῆς ῥίψεως Β. — Δέπας ἀμφικύπελλον] Ἀμφοτέρωθεν κοῖλον καὶ περιφερές· ἢ κύπελλον, ἔνθα ὁ πηλὸς κεῖται. Σ. (ἴδ. στ. 596.).

Σ. 588. Θεινομένην] Πληττομένην, τυπτομένην. Σ.

Σ. 589. Ἀργαλέος γὰρ — ἀντιφέρεσθαι] Χαλεπὸς γάρ ἐστιν ὁ Ζεὺς τῷ βουλομένῳ αὐτῷ ἀντιφέρεσθαι, ὅ ἐστιν ἐναντιοῦσθαι καὶ φιλονεικεῖν. Σ. — Ἀντὶ τοῦ ἀργαλέος ἐστὶν, ὥστε τινὰ ἀντιφέρεσθαι, ἤγουν ποιεῖν ἐναντίωσιν πρὸς αὐτόν. Ε.

НБ ОНУ імені І.І. Мечникова

Σ. 590. Ἤδη γάρ — μεμαῶτα] Εἰς ἀπόδειξιν τῆς ἰσχύος τοῦ Διὸς λέγει. Ἡρακλῆς ἀνακομιζόμενος μετὰ τὴν γενομένην ὑπ' αὐτοῦ πόρθησιν τῆς Ἰλίου ἐπὶ τῇ τοῦ Λαομέδοντος ἀπάτῃ, παρ' ὅσον αὐτῷ, ἀντὶ τῶν ἀθανάτων ἵππων, οὓς ὑπέσχετο, ἀντέδωκε θνητοὺς ἀπατήσας, κατ' ἐκεῖνο καιροῦ προσέσχε τῇ Κῷ τῆς Μεροπίδος, χειμῶνι κατεχόμενος, κατὰ χόλον Ἥρας, μισούσης τὸν ἥρωα, καὶ διὰ τοῦτο πρότερον κατακοιμησάσης τὸν Δία· οἱ δὲ ἀπὸ τῆς Κῶ θεασάμενοι αὐτὸν, καὶ ὡς ἄγριον θῆρα φοβηθέντες, ἐξήλασαν ἀπὸ τῆς πόλεως· ἐφ' ᾧ ἀγανακτήσας ὁ Ἡρακλῆς ἐξεπόρθησε τὴν Κῶ· ἐπὶ δὲ τῇ τῆς Ἥρας κατακοιμήσει ὁ Ζεὺς ὀργισθεὶς ἐν δεσμοῖς κατέσχε τὴν Ἥραν, ἣν ἐπειρᾶτο τηνικαῦτα ὁ Ἥφαιστος λύειν· (Ἰλ. Ο, 18.) καὶ φωραθεὶς ἀπὸ τοῦ Ὀλύμπου ἐξεῤῥίφη, καὶ εἰς Λῆμνον πρὸ τῆς Θρᾴκης νῆσον καταπεσὼν χωλὸς ἐγένετο· — διὸ ἱερὰ τοῦ θεοῦ ἡ Λῆμνος. Σ.

Σ. 591. Τεταγών] Ἐκτείνας. — Ἀπὸ βηλοῦ] Ἀπὸ τοῦ οὐρανοῦ· γίγνεται δὲ ἀπὸ τοῦ βεβηκέναι τοὺς θεοὺς ἐπ' αὐτῷ· ἕτεροι δὲ βηλὸν εἶπον τὸν ἀνωτάτω πάγον, καὶ περιέχοντα τὸν πάντα ἀέρα· ἄλλοι τὴν περίοδον τοῦ αἰθέρος καὶ τῶν ἄστρων· κοινῶς δὲ σημαίνει ὁ βηλὸς τὸν οὐδὸν τῆς θύρας, ὃν καλοῦσι φλιάν· ὁ δὲ ποιητὴς ὑποτίθεται τὸν οὐρανὸν πύλας ἔχοντα. Σ. — Βηλὸς δὲ συνήθως ὁ τῆς οἰκίας βατὴρ, παρὰ τὸ βαίνεσθαι, ὡς καὶ οὐδὸς, παρὰ τὸ ὁδεύεσθαι· τὸ δὲ τεταγὼν, ἰωνική ἐστι μετοχὴ, μετὰ συνήθους ἀναδιπλασιασμοῦ, ἐν χρόνῳ ἀορίστῳ δευτέρῳ· ἐκ τοῦ τάζω, ταγὼν, καὶ ἰαστὶ τεταγών. Ε.

Σ. 592. Πᾶν δ' ἦμαρ] Πρὸς ἔνδειξιν τοῦ μέσῳ πλείστου διαστήματος, κατὰ τὸ, ὅσον οὐρανὸς ἔστ' ἀπὸ γαίης (Θ, 16). Ε.

Σ. 593. Κάππεσεν ἐν Λήμνῳ] Ἡ δὲ Λῆμνος νῆσός ἐστι Θρᾴκης, ἔχουσα δύο πόλεις, Ἡφαιστιάδα καὶ Μύριναν. Σ. — Τὸ δὲ ἐν Λήμνῳ κατενεχθῆναι αὐτὸν, τῇ μυθικῇ συμβάλλεται πιθανότητι ὡς ἀπὸ ἱστορίας, ὅτι πῦρ καὶ ἐκεῖ γῆθεν ἀνεδίδοτό ποτε αὐτόματον· διόπερ ἀποκληρωτικῶς ἔδοξε τῷ μύθῳ αὐτόθι καταῤῥίψαι τὸν Ἥφαιστον, ὡς εἰς τόπον τινὰ συγγενῆ· προσφυὲς γὰρ πάντως τῷ πυρὶ Ἡφαίστῳ τόπος πῦρ τε ἀναβλύζων, καὶ ἄλλα σημεῖα ἔχων θερμότητος· οἷον τὴν τῶν ἐκεῖ θερμῶν ὑδάτων ἀνάδοσιν, τὸ ψιλὸν τῆς γῆς, τὴν πενίαν τῆς πιότητος· διὸ οὐδὲ λασία ἐστὶν ἡ νῆσος ὕλαις ὀρειναῖς. — Ἡ δὲ

НБ ОНУ ім. І.І. Мечникова

ἱστορία καὶ ἄλλως προςοικειοῖ τῷ Ἡφαίστῳ τὴν Λῆμνον,
διότι χαλκεῖς ἄνδρας ἤνεγκέ ποτε ἡ νῆσος, οἳ πρῶτοι χαλ-
κευσάμενοι βέλη διὰ τοῦτο Σίντιες ἐπεκλήθησαν, διὰ τὸ σίνε-
σθαι ἤτοι βλάπτειν τῇ εὑρέσει τῶν ὅπλων. — Καὶ ἄλλως δὲ
Σίντιες οἱ Λήμνιοι, καθότι πειραταὶ ἦσαν· ὥστε εἶναι καὶ
αὐτοὺς Λήμνια κακά· καθάπερ ὕστερον αἱ γυναῖκες αἳ τοῖς
ἀνδράσιν ἐν Λήμνῳ εἰς φόνον ἐπεβούλευσαν· καὶ ἄλλως δὲ
ὡς οἱ Λήμνιοι ἄγριοι, δηλοῖ καὶ παροιμία, Λημνίαν χεῖρα
εἰποῦσα τὴν ἀπαραίτητον· καὶ Λήμνιον βλέπειν, ἀντὶ τοῦ,
δεινὸν καὶ πυρώδες· ἐκεῖθεν δὲ καὶ Λήμνιον κακὸν, ἢ ἀπὸ
τῆς κατὰ στόμα δυσωδίας τῶν Λημνιάδων, ἢ μᾶλλον ἀπὸ
τῶν θρυλλουμένων φόνων. Ε. — Ἰστέον δὲ καὶ ὅτι δύο ῥίψεις
τοῦ Ἡφαίστου ὁ μῦθος λέγει, τὴν μετὰ γένεσιν ὑπ' αὐτῆς
Ἥρας, ὅτε καὶ ἐχωλάνθη· (Ἰλ. Σ, 395.) δευτέραν δὲ τὴν
ὑπὸ τοῦ Διὸς (Ἰλ. Ο, 18.) ὅτε τῇ μητρὶ ἀλεξῆσαι ἤθελε
δεσμευθείσῃ πρὸς τοῦ Διός. Ε. — Ὀλίγος θυμὸς ἐνῆεν] Ἀντὶ
τοῦ ἐλειποψύχουν, βραχείας μοι τῆς ψυχῆς γινομένης. Σ. —
Ὅπερ παρὰ τοῖς ὕστερον συνθέτως ὀλιγοθυμεῖν λέγεται. Ε.

Σ. 594. Κομίσαντο] Ἐπιμελείας ἠξίωσαν καὶ ἀνείλοντο. Σ.
— Ἔστι κομίσασθαι τὸ ἐπιμεληθῆναι· ἐξ οὗ καὶ κομιδὴ ἡ ἐπι-
μέλεια, καὶ κομιδῇ ἐπίῤῥημα, ἀντὶ τοῦ λίαν καὶ ἐν πάσῃ ἐπι-
μελείᾳ. Ε. — Ἄφαρ] Εὐθέως, ταχέως. Σ. — Τὸ δὲ ἄφαρ, ὃ
μέχρι καὶ ἐς ἄρτι περιφέρεται παρὰ τοῖς λέγουσιν ἀφαρὶ τὸ
αὐτίκα, οὐ κολλητέον μετὰ τοῦ, πέσοντα, ἀλλὰ μετὰ τοῦ,
κομίσαντο. — Δηλοῖ τὸ αὐθωρὸν καὶ συναπτῶς, ὡς ἐκ τοῦ
ἅπτω. Ε.

Σ. 596. Κύπελλον] Ὅτι κύπελλον ποτηρίου εἶδος ἐπὶ
τὰ ἔσω κύπτον. — Τὸ δ' αὐτὸ καὶ ἀμφικύπελλον λέγεται, οἱονεὶ
πανταχόθεν ἐπὶ τὰ ἔσω κεκυφός· πολλάκις γὰρ ἡ ἀμφὶ πρό-
θεσις, τὸ κύκλῳ σημαίνει, ὡς δηλοῖ καὶ τὸ νῆσος ἀμφίαλος,
καὶ βροντὴ ἀμφίπυρος, ἡ πάντοθεν κεραυνώσασα, καὶ οὕτω
πυρώσασα· ἄλλοι δὲ κύπελλον τὸ οἰνηρόν φασι ποτήριον, εἰς ὃ
χύεται, τουτέστιν, ἐγχέεται πηλὸς, εἴτ' οὖν οἶνος· χρὴ δὲ
εἰδέναι ὅτι τὸ ἀμφικύπελλον, ὡς Ἀριστοτέλης ἐμφαίνει και-
νήν τινα κατασκευὴν ἔχει, καὶ ἀξίαν ἐν τοῖς νῦν ζητήσεως·
φησὶ γὰρ ἐκεῖνος, ὅτι αἱ θυρίδες τοῦ μέλιτος ἀμφίστομοι· περὶ
γὰρ μίαν βάσιν δύο θυρίδες εἰσὶν ὥσπερ τῶν ἀμφικυπέλλων,
ἡ μὲν ἐκτὸς, ἡ δ' ἐντός· τέως γε μὴν, ὡς ἐν εἰκασμῷ δοκεῖ

НБ ОНУ імені І.І.Мечникова

ταὐτὸν εἶναι ἀμφικύπελλον εἰπεῖν καὶ δικύπελλον, ὡς κατὰ τὰς ἀντιθέτους θυρίδας ἤτοι σύριγγας καὶ θήκας τοῦ μέλιτος, μιᾷ βάσει, τουτέστι πυθμένει; δύο κυπέλλων διοικουμένων, ὡς ἐν διδυμότητι, τοῦ μὲν ἄνω, τοῦ δὲ κάτω· ἵνα καὶ ἡ βάσις ἐν τοῖς τοιούτοις εἴη, ὅτε δεήσει, πρὸς πόσιν χρήσιμος. Ε.

Σ. 597. Ἐνδέξια] Ἀντὶ τοῦ, ἀπὸ δεξιῶν μερῶν ἀρξάμενος. Σ. — Ἐνδέξια δὲ οἰνοχοεῖν λέγει τὸ ἐπιδεξίως, ἢ ἀρξάμενος ἀπὸ τῶν δεξιῶν. Ε. (στ. 471.).

Σ. 598. Ὠνοχόει] Ἰστέον δὲ, ὅτι τὸ οἰνοχοεῖν οὐ κυριολεκτεῖται ἐπὶ τοῦ νέκταρος, ἀλλὰ πάντως ἐπὶ τοῦ οἴνου· τέθειται δὲ κατ᾽ ἀνάγκην καὶ ἐπὶ νέκταρος, διὰ τὸ μὴ εὐπορεῖν τὸν ποιητὴν σεμνοτέρας συμποσιακῆς λέξεως· οἰνοχοεῖν μὲν γὰρ νέκταρ, τὸ ἐγχέειν νέκταρ, δίκην οἴνου. Ε.

Σ. 599. Ἄσβεστος] Ἀκατάπαυστος, πολύς· ἡ μεταφορὰ ἀπὸ τοῦ πυρός. Σ. Σύνηθες δὲ Ὁμήρῳ, ὁπηνίκα τὰς τῶν πραγμάτων δυσχερείας αὐξήσει καὶ εἰς παντελῆ δυσκολίαν ἀναγάγοι, τοιούτοις τισὶ νοήμασι χρῆσθαι εἰς λύσιν τοῦ κινδυνώδους καὶ ἀλύτου τῶν περιπετειῶν· — ἀνθρωποπαθὲς παρὰ τοῖς ποιηταῖς τὸ δαιμόνιον φῦλον. — Διὸ καὶ οἱ θεοὶ ἄσβεστον γέλων παθεῖν λέγονται ἐπὶ τῷ Ἡφαίστῳ πονουμένῳ καὶ σπεύδοντι· ἐπειδὴ ἀνθρωπίνως γελοῖον ἀμφιγυιήεις ἀνὴρ συντόνως κινούμενος καὶ τῇ χωλείᾳ κυμαινόμενος, οἷον, καὶ ὧδε καὶ ἐκεῖ περιφερόμενος· οὕτω γοῦν καὶ Ἥρα οὐκ ἄσβεστον καὶ χανδὸν γελῶσα, μειδιῶσα δὲ σεμνότερον, ὡς τοιούτῳ προσώπῳ ἔπρεπε, τὸ τοῦ παιδὸς ἐδέξατο χειρὶ κύπελλον. — Ἰστέον δὲ ὅτι τε σεμνότερος πάντων, ὡς εἰκὸς, ὁ τοῦ μύθου Ζεὺς, ὡς μὴ συνδιατεθεὶς ὅλως, οἷς ὁ Ἥφαιστος καὶ λαλεῖ καὶ γελοίως πονεῖται. Ἥρα δὲ μετ᾽ αὐτὸν τηρεῖ τὸ σεμνὸν, μειδιάσασα· οἱ δὲ ἄλλοι θεοὶ τοῦ τοιούτου ὕψους ὑποκατέβησαν, ἄσβεστον γέλων παθόντες. Ε.

Σ. 600. Ποιπνύοντα] Ἐνεργοῦντα, διακονοῦντα. Σ. — Τὸ πονεῖσθαι μετὰ συνέσεως, ποιπνύειν ἡ ποίησις λέγει. Ε.

Σ. 604. Ἀμειβόμεναι] Ἐξ ἀμοιβῆς καὶ διαδοχῆς ᾄδουσαι. — Ἀπόλλωνος κιθαρίζοντος ἐκ διαδοχῆς παραμέρος ᾖδον. Σ. Ἀμείβεσθαι δὲ ὀπὶ καλῇ αἱ Μοῦσαι λέγονται, ἢ ἑαυτὰς ἐν μέρει, ἢ τὸν Ἀπόλλωνα, ὃς εἶχε τὴν φόρμιγγα· ὑπ᾽ ἐκείνῳ γὰρ, ὡς κορυφαίῳ τῆς ᾠδῆς, ᾄδειν αὗται λέγονται, ἀμοιβαδὸν δηλαδή. Ε.

Σ. 606. Κακκείοντες] Κατακοιμηθησόμενοι. Σ. — Ἀντὶ τοῦ

НБ ОНУ імені І. І. Мечникова

ἔφεσιν ἔχοντες τοῦ κατακεῖσθαι εἰς ὕπνον· οὕτω καὶ ὀψείον-
τες, οἱ ἔχοντες ἐπιθυμίαν τοῦ ὄψεσθαι, καὶ βρωσείοντες καὶ πο-
λεμησείοντες, οἱ ἐπιθυμοῦντες βρώσεως καὶ πολέμου. — Κακ-
κείοντες, ἤγουν κατακεισόμενοι εἰς ὕπνον. Ε.

Σ. 607. Ἀμφιγυήεις] Ὁ ἀμφοτέρωθεν βεβλαμμένος· παρὰ
τὸ γύω· τὸ τὰ μέλη διαλύω, ἐπειδὴ τὸ πῦρ πολλῆς δεῖται
τῆς ὕλης. Β.

Σ. 608. Ἰδυίῃσι] Ἐπιστήμοσιν, ἐμπείροις. Σ. — Πραπίδεσ-
σιν] Ὅτι πραπίδας τὰς φρένας εἰπεῖν, χρήσιμον εἰς οὐδὲν τῇ
λογογραφίᾳ· διὸ φυλαττέτω ἀπόθετον τῇ ποιήσει. Ε. Βολφ.
ποίησεν ἰδυίῃσι ἀντὶ ποίησ' εἰδ.

Σ. 610. Ἱκάνοι] Καταλάβοι. Σ.

Σ. 611. Καθεῦδ' ἀναβάς] Ἀνέβη καθευδήσων, ἢ ἀνεκέκλιτο.
Β. — Παρὰ δὲ, χρυσόθρονος Ἥρη] Τὸ δὲ, παρὰ δὲ χρυσόθρο-
νος Ἥρη, ἔλλειψιν ἔχει· ὡς γὰρ τὸ μετὰ δὲ, ἀντὶ τοῦ μετὰ
ταῦτα δὲ, καὶ, ἐπὶ δὲ, καὶ, πρὸς δὲ, ἀντὶ τοῦ, ἐπὶ τούτοις,
καὶ πρὸς τούτοις, οὕτω καὶ τὸ, παρὰ δὲ χρυσόθρονος Ἥρη,
ἤγουν παρὰ δὲ αὐτῷ ἡ χ. Ἥρα. Ε. — Ἰστέον, ὅτι ἡ Ῥα-
ψῳδία αὕτη μόνη παραβολὴν οὐκ ἔχει. Σ.

НБ ОНУ імені І.І.Мечникова

# ΣΧΟΛΙΑ

### ΕΙΣ ΤΗΝ

## ΤΟΥ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ

## ῬΑΨΩΙΔΙΑ, Ἡ ΓΡΑΜΜΑ Β.

Σ. 1. Ἱπποκορυσταί] Ἰστέον δὲ, ὅτι ἱπποκορυστὰς ἐνόησάν τινες τοὺς ἔχοντας ἱππείας τρίχας ἐν ταῖς κόρυσιν· ἀλλ' εἰ τοῦτο ἦν, ὤφειλεν ἱπποκόρυθας εἰπεῖν, ἢ οὕτω πως, ὁμοίως τῷ κορυθάϊκες, καὶ κορυθαίολος· ἔστιν οὖν ἱπποκορυστὴς, ὁ καὶ ἱππιοχάρμης. Ε. Ἐφ' ἵππων ὁπλιζόμενοι, ἢ ἵππους κορύσσοντες, τουτ' ἔστι πολεμικοὶ, ἢ ἀφ' ἵππων μαχόμενοι. Σ. (ἴδ. Α, 152.)

Σ. 2. Νήδυμος ὕπνος] Ὅτι νήδυμος ὕπνος ὁ βαθὺς καὶ ἀνέκδυτος. . . Οἱ δὲ νήδυμον ὕπνον φασὶ τὸν ἡδὺν, πλεονασμῷ τοῦ ν, καίτοι τινὲς οὐ βούλονται φωνήεντι δασυνομένῳ τὸ ν προστίθεσθαι· οἱ δέ παλαιοί φασι, καὶ δίχα τοῦ ν εὑρίσκεσθαι ἥδυμον παρὰ τοῖς μεθ' Ὅμηρον. — Σημείωται δὲ καὶ, ὅτι ἄλλο μὲν τὸ καθεύδειν, ἄλλο δὲ τὸ ὑπνοῦν, καὶ οὐκ ἀεὶ τὸ αὐτὸ ἐξ ἀνάγκης δηλοῦσι· καὶ γὰρ ἀνωτέρω μὲν (Α, 611.) ὁ Ζεὺς ἀναβὰς ἐκάθευδεν· ἐνταῦθα δὲ νήδυμος ὕπνος οὐκ ἔχει αὐτόν· ἔστι γὰρ καθεύδειν μὲν τὸ ἁπλῶς ἀναπίπτειν ὡς ἐπὶ ὕπνῳ· ὑπνοῦν δὲ, αὐτὸ δὴ τὸ ἐκλελῦσθαι καὶ ἀπρακτεῖν τὰς αἰσθήσεις. — Οὕτω δὲ καὶ τὸ κοιμᾶσθαι τοῦ ὑπνοῦν διενήνοχεν ἐν πολλοῖς, ὁμοίως τῷ καθεύδειν. Ε. — Λέγομεν δὲ ἡμεῖς, ὅτι ἐκάθευδε μὲν, ἀλλ' ἐπ' ὀλίγον ἐκαθεύδησε, καὶ οὐ διὰ πάσης τῆς νυκτὸς, ὡς καὶ ἄλλοι καθεύδουσι. Σ.

Σ. 4. Πολέας] Τὸ δὲ πολέας σχῆμα ἀμφιβολίας ποιεῖ· ἄδηλον γὰρ, εἴτε πολλοὺς τῶν Ἀχαιῶν ὀλέσει, ὧν ὀλλυμένων ἐτιμᾶτο Ἀχιλλεὺς, εἴτε πολλοὺς Τρῶάς τε καὶ Ἕλληνας ἐπὶ ταῖς ναυσὶ τῶν

Ἀχαιῶν, ὅπερ καὶ κάλλιον· καὶ γὰρ προϊὼν ἐρεῖ, ὅτι τεθήσονται Ἀχαιοῖς καὶ Τρωσὶν ἄλγεα καὶ στοναχαί. Ε.

Σ. 5. Ἥδε δὲ οἱ] Ἐπαινεῖ δὲ ὁ ποιητὴς τὸ τοιοῦτον πλάσμα, διά τε τὸ τοῦ ὀνείρου λοξὸν, ὃ μάλιστα ἐπιπρέπει χρησμοῖς, τοῖς τε ἄλλοις, καὶ τοῖς δι' ὀνείρων δὲ οὐχ ἥκιστα, καὶ διὰ τὸ πιθανὸν τοῦ τῶν Ἀχαιῶν εἰς τὸν πόλεμον θάῤῥους· οὐ γὰρ ἂν ἄλλως ἐθάῤῥησαν, οὔτε ὁ βασιλεὺς, οὔτε ὁ στρατὸς τὴν ἔξοδον, δίχα τοῦ πολεμάρχου Ἀχιλλέως, εἰ μὴ τοιοῦτος αὐτοὺς ἠρέθισεν ὄνειρος· καὶ οὕτω μὲν πιθανῶς ἔσχεν ἡ τῶν Ἑλλήνων τόλμα. — Ἰστέον δὲ, ὅτι ἡ τοῦ ὀνείρου ἀπάτη γίνεται εἰς τοῦτο καὶ μόνον, τὸ πεῖσαι τὸν βασιλέα ἐξαγαγεῖν εἰς μάχην τὸν λαὸν δίχα τοῦ Ἀχιλλέως· ὡς ἔκ τοτε τῶν Ἀχαιῶν ἐξ ἀνάγκης ἡττηθησομένων πιθανῶς· ὁ δὲ βασιλεὺς πείθεται, θεῖον εἶναι μαθὼν τὸν ὄνειρον· ὑπαχθεὶς δὲ καὶ ὡς ὑπὸ δελέατός τινος, τοῦ ταχὺ ἁλῶναι τὴν Τροίαν· ἤτοι νῦν αὐτίκα σήμερον. Ε.

Σ. 6. Οὖλον] Νῦν τὸν ὀλέθριον. — Οὐκ αὐτὸν ὀλέθριον ὄντα, ἀλλὰ τὸν ἐπ' ὀλέθρῳ πεμπόμενον. Σ. — Καὶ ὁ ὄνειρος οὖλος μὲν, διὰ τὸ τέλος· ὄλεθρον γὰρ ποιήσει· θεῖος δὲ (στ. 22.) ὡς θεόπεμπτος· Διὸς γάρ ἐστιν ἄγγελος. Ε. — Οὖλον ὄνειρον] Τοῦτο κατὰ συμπάθειαν, ὡς οὐλομένην, καὶ ἵνα ποθοῖμεν μαθεῖν τί εἴργασται ὁ οὖλος ὄνειρος. — Ἢ οὖλον τὸν ἀσαφῆ καὶ ὕπουλον· εἰ μὴ ἄρα τὸν μαλακὸν λέγει, ἐπεὶ καὶ πρὸς αὐτὸν διαλεγόμενος οὕτω φησὶν, βάσκ' ἴθι, οὖλε ὄνειρε. Σ. Β. ὅτι οὐ τὸν μαλακὸν, ἀλλὰ τὸν ὀλέθριον· πέμπεται γὰρ ἐπ' ἀπίστῳ καὶ κακῷ.

Σ. 8. Βάσκ' ἴθι] Ἀσύνθετος δὲ καὶ ἀρχοντικὸς ὁ λόγος· διδάσκει δὲ τοὺς ἀγγέλους, μὴ περαιτέρω τῶν ἀκουομένων περιεργάζεσθαι.

Σ. 10. Ἀγορευέμεν, ὡς ἐπιτέλλω] Ὅρα δὲ τὸ ἀγόρευε, ὡς ἐπιτέλλω· ἀρέσκει γὰρ Ὁμήρῳ, τοὺς ἀγγέλους αὐτὰ ἐκεῖνα λέξεσιν αὐταῖς ἀγγέλλειν, (γρ. τοὺς ἀγγέλους αὐταῖς ἐκείναις λέξεσιν αὐτοὺς ἀγγέλλειν) ὅσα παρηγγυήθησαν (Β. παρηγγέλθησαν)· διὸ καὶ ταυτολογεῖ ἐν ταῖς ἀγγελίαις ὁ ποιητής· εἰ δέ τι καὶ πλεῖον ἐπινοησάμενος προσθήσει ὁ ἄγγελος, τοῦτο τῆς ἐκείνου συνέσεως· τὸ μὲν γὰρ ἐπιταχθὲν οὐ μετεποίησεν· ὃ δὲ ἔδει προςεπιθεῖναι, εἶπε καὶ αὐτὸ εὖ ποιήσας· ἐσθλὸν γὰρ καὶ τοῦτο τέτυκται, κατὰ τὸν ποιητὴν (Ο, 207.), ὅτ' ἄγγελος αἴσιμα

НБОНУ імені І.І.Мечникова

εἰδῇ· ὁ γοῦν ὄνειρος, καί τοι μὴ παραγγελθεὶς, ὅμως εἰκάζεται τῷ Νέστορι· ὀνειδίζει δὲ καὶ τῷ βασιλεῖ τὸν πάννυχον ὕπνον· οὐδέν τι ποιῶν ἀπεικός· οὐ γὰρ ἔβλαπτε ταῦτα τὴν ἀγγελίαν. Ε.

Σ. 11. Καρηκομόωντας] Τοὺς τὰς κεφαλὰς κομῶντας, ἀνδρείας χάριν. Σ. — Διότι ἔθος ἦν αὐτοῖς κόμην τρέφειν, οὐ μόνον εἰς κάλλος, ἀλλὰ καὶ διὰ τὸ φοβερόν. — Λέγονται δὲ, τὸν μὲν ἄλλον πάντα χρόνον κομᾷν οἱ Ἕλληνες· ἐν δὲ πένθους καιρῷ κείρεσθαι· ὡσαύτως δὲ καὶ ἐν καιρῷ ἀκμῆς, ἤτοι τελείας ἡλικίας· τηνικαῦτα γὰρ πλόκαμον κείραντες, ἀνετίθουν Ἀπόλλωνι κουροτρόφῳ, καὶ ποταμοῖς, καθάπερ ὁ Ὅμηρος ἱστορήσει ἐν τοῖς ἑξῆς· καὶ ἦν οὗτος μὲν ὁ πλόκαμος θρεπτήριος κατὰ τὸν Αἰσχύλον· πενθητήριος δὲ ἕτερος· λέγεται δὲ τῆς τομῆς τοῦ θρεπτηρίου πλοκάμου κατάρξαι Θησεύς· κειράμενος γάρ φασι τὴν ἐμπροσθίαν κόμην, εἰς Δῆλον ἀνέθετο τῷ Ἀπόλλωνι. Εἰ δέ τινες τῶν Ἑλλήνων οὐκ ἦσαν καρηκομόωντες, παρεσημειώσατο αὐτοὺς ἡ ἱστορία· καὶ ἐκ τοῦ τοιούτου παρασήμου τοὺς ἄνδρας ὠνόματε, Κουρῆτας αὐτοὺς ὀνομάζεσθαι λέγουσα· τοὺς δὲ ἀντιθέτους αὐτοῖς Ἀκαρνᾶνας ἱστοροῦσα λέγεσθαι. Ε.

Σ. 12. Νῦν γάρ κεν ἕλοι] Τὸ νῦν ἕλοι πόλιν Τρώων διὰ τὰς ὁμωνυμίας τοῦ νῦν συνέχεε τὴν ἀλήθειαν, λέγοντος μὲν τοῦ ὀνείρου, ὅτι κατὰ τὸ παρὸν δέκατον ἔτος ἁλίσκεται ἡ Τροία· νοηθέντος δὲ λέγειν, ὅτι σήμερον ἕλοις ἂν τὴν Τροίαν. Ἰστέον γὰρ, ὅτι τὸ νῦν κατὰ τοὺς παλαιοὺς, τοὺς τρεῖς χρόνους δηλοῖ· τὸν ἐνεστῶτα (οἷον Α, 232.)· καὶ τὸν παρῳχημένον (ὡς Ν, 772.)· καὶ τὸν μέλλοντα (οἷον Υ, 307.)· καὶ σημείωσαι, ὅτι οὐδὲ τὴν ἐν τοῖς λόγοις, ἤτοι τὴν ἐν τοῖς χρησμοῖς λοξότητα ἠγνόησεν ὁ ποιητής· ὅςγε καὶ πλάττει ἄρτι τοιοῦτον λόγιον· χρησμὸς γάρ τίς ἐστι πάντως καὶ ὁ ὄνειρος ὁ ῥηθείς. — Πανσυδίῃ] Πανστρατί. Σ. — Δηλοῖ κατά τινας τὸ, παμπληθεί· ἕτεροι δέ φασι, πασσυδίῃ, ἀντὶ τοῦ, πανστρατιᾷ, μηδενὸς ἀπομάχου μένοντος· ἄλλοι δὲ ἀντὶ τοῦ πανορμεί. Αἴλιος δὲ Διονύσιος, ἀντὶ τοῦ παντελῶς, ὅθεν παρὰ Θουκυδίδῃ τὸ, πανσυδεὶ διεφθάρθαι· (Η. στίχ. 1.) — Εὐρυάγυιαν] Πλατυάμφοδον, μεγάλην· ἀγυιαὶ γὰρ τὰ ἄμφοδα. Σ. — Ἔστι δὲ εὐρυάγυια, ἡ πλατύῤῥυμος· ἀγυιὰ γὰρ ἡ κοινῶς λεγομένη ῥύμη, ἀφ᾽ ἧς καὶ ἀγυιεὺς, κίων ἱερὸς Ἀπόλλωνος πρὸ θυρῶν ἑστὼς, λήγων εἰς ὀξύ. — Ἐναντία δὲ ἡ εὐρυάγυια ταῖς στενωποῖς. Ε.

НБ ОНУ ім. І.І. Мечникова

Σ. 13. Ἀμφὶς — φράζονται] Διχογνωμοῦσι περὶ τῆς Ἰλίου. Σ. — Ὅτι τὸ ἀμφιβάλλειν καὶ ἀμφισβητεῖν καὶ ἀμφιλέκτως ἔχειν, ἀμφὶς φράζεσθαι λέγει· οὕτω διχονοητικὸν καὶ τὸ ἀμφὶς φρονέοντε. — Ἰστέον δὲ ὅτι, καθάπερ ἀπὸ τῆς εἰς προθέσεως, καὶ τῆς ἐξ, καὶ τῆς πρὸς κ. λ. γίνεται ἐπιῤῥήματος (γρ. ἐπιῤῥηματικῶς) τὸ εἴσω, τὸ ἔξω, τὸ πρόσω· — οὕτω καὶ τὸ ἀμφὶς, ἐκ τῆς ἀμφὶ — τῆς σημαινούσης τὸ δύο ἐν τῷ, ἀμφίδυμος, ἀμφίστομος. Ε.

Σ. 14. Ἐπέγναμψεν] Ἐπέκαμψεν, ἔπεισεν. Σ. (ἴδ. Α, 569, καὶ Φ, 178.) ἐπέγναμψεν. Β.

Σ. 15. Ἐφῆπται] Ἐπίκειται. Σ. — Τινὲς τὸ ἐφῆπται ἀντὶ τοῦ ἐπίκειται, ἐπικρέμαται· λέγεται δὲ καὶ ἐπὶ τοῦ κρέμασθαι τὸ ἅπτεσθαι, ὡς δηλοῖ τὸ βρόχον ἥψατο (Ὀδυσσ. Λ, 277.)· ἐρεῖ δὲ καὶ ἐν τοῖς ἑξῆς ὁ ποιητὴς, ὀλέθρου πείρατ' ἐφῆπται (Η, 402.), κατὰ ὁμοίαν ἔννοιαν· (ἴδ. Φ, 513.) — Κήδεα δὲ αἱ βλάβαι· ἀπὸ τοῦ κήδω, τὸ βλάπτω. Ε.

Σ. 16. 18. Βῆ δ' ἄρ'] Ἐπορεύθη δέ. — Ἐκίχανε] Κατέλαβε.

Σ. 19. Κέχυθ' ὕπνος] Τὸ δὲ ἐκκέχυτο, ὡς ἐπὶ ὑγροῦ ἔφη περιχεομένου ὅλῳ τῷ σώματι· τοῦτο δὲ διὰ τὴν ἐν ὕπνῳ ἀπραξίαν ὅλου τοῦ σώματος. Ε. — Ἀμβρόσιον τὸν τοιοῦτον ὕπνον ἐκάλεσεν, ἤγουν θεῖον καὶ ἥδιστον διὰ τὴν αὐτοῦ λοιμοῦ ἐγγιγνομένην αὐτῷ λύπην, εἶτα ἀνάπαυσιν· ἐπεὶ ἐν ταῖς χρείαις ἀεὶ διαγρυπνεῖ.

Σ. 20. Στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς] Ὅτι Ὅμηρος εἰδὼς, ὡς εἰώθαμεν ἄνθρωποι ἐν ὕπνοις ἐκείνους ὡς ἐπιπολὺ φαντάζεσθαι, οἷς προσπαθῶς πως ἔχομεν, τῷ Νέστορι πλάττει ἀπεικασθῆναι τὸν ὄνειρον· διατί; διότι φησὶ, μάλιστα γερόντων αὐτὸν ὁ Ἀγαμέμνων ἐτίμα, οὐ μόνον ὡς συνετὸν, ἀλλὰ καὶ ὡς φιλοβασιλέα. Ε.

Σ. 21. Γερόντων] Γέροντας δέ φασιν οἱ παλαιοὶ παρ' Ὁμήρῳ τοὺς ἐντίμους λέγεσθαι, ὥσπερ δὴ καὶ ἐνταῦθα, καὶ μετ' ὀλίγον, ἐν τῷ, βουλὴ μεγαθύμων γερόντων (στίχ. 53.), ἐν οἷς καὶ Διομήδης ἦν, καὶ οἱ Αἴαντες, οἳ χρόνῳ μὲν οὐκ ἦσαν γέροντες, ἄλλως μέντοι ὡς ἔντιμοι, μετὰ τῶν γερόντων κατελέγοντο· ὅτε μέντοι ὁ ποιητὴς γέροντα ἑνικῶς εἴπῃ, τότε δὴ τὸν τῷ χρόνῳ πεπαλαιωμένον δηλοῖ. Ε.

Σ. 23. Ἀτρέος υἱὲ δαΐφρονος] Δυσωπεῖ τοῖς ἐγκωμίοις τοῦ πατρός. Σ. Β.

НБ ОНУ імені І.І.Мечникова

Σ. 24. Παννύχιον] Κατὰ τὴν παροιμίαν τὴν λέγουσαν, ἐν νυκτὶ βουλή. Ε.

Σ. 25. Ἐπιτετράφαται] Ἐπιτετραμμένοι καὶ ὑποτεταγμένοι εἰσί. Σ.

Σ. 27. Ἄνευθεν] Ὅστις σου ἄποθεν, καὶ χωρὶς οἰκῶν. Σ.

Σ. 28. Σὲ κέλευσε] Σ' ἐκέλευσε. Β.

Σ. 29. Νῦν γάρ κεν ἕλοις] Ἐκείνη γὰρ ἡ ἡμέρα πεπόρθηκε τὴν πόλιν, διὰ τὴν τῶν ὅρκων παράβασιν. Β.

Σ. 31. Ἐπέγναμψε] Ἐπέγναμψεν. Β.

Σ. 32. Ἐφῆπται] Ἐφ' ἧπται. Β.

Σ. 34. Ἀνήῃ] Καταλίπῃ, ἐάσῃ. Σ. — Τὸ δὲ ἀνήῃ, σημαίνει μὲν τὸ ἀνήσει, ἀφήσει, χαυνώσει· γίνεται δὲ ἢ ἀπὸ τοῦ ἀνῶ ἀνῇς ἀνῇ, πλεονασμῷ τοῦ η, ἢ ἀπὸ τοῦ ἀνείη εὐκτικοῦ, τροπῇ συνήθει τοῦ ε εἰς η, ὡς προσγεγράφθαι τὸ ι· — Ἔστι δὲ περίφρασις τοῦ, ὅτ' ἂν ἀφυπνισθῇς. Ε. (ἴδ. Φ, 395. 523. 537.).

Σ. 35. Ἀπεβήσετο] Ἀπέβη ἀνεχώρησε. Δ.—Τὸν δ' ἔλιπ.] Τοῦτον δὲ κατέλιπε. Δ.—Αὐτοῦ] Ἀντὶ τοῦ ἐπὶ τὸν αὐτὸν τόπον. Δ.

Σ. 38. Νήπιος] Ὅτι ἔθος Ὁμήρῳ ἐν πολλοῖς ἀναφωνεῖν τὸ, νήπιος, ἐπὶ τῶν μὴ βουλευομένων, ἢ μὴ νοούντων καλῶς· ὥσπερ δὴ καὶ ἐνταῦθα νήπιον αὐτὸς ὁ ποιητὴς λέγει τὸν Ἀγαμέμνονα, ὡς μὴ σκεψάμενον τί βούλεται ὁ χρησμός· ὁ μὲν γὰρ τὸ νῦν πλατικῶς λέγει ὁ δὲ Ἀγαμέμνων ἀπραγμόνως, οὕτω τὸ, Νῦν ἕλοις πόλιν εὐρυάγυιαν Τρώων, ἀκαριαίως ἀντὶ τοῦ, τῷ ἤματι ἐκείνῳ καὶ αὐθημερὸν ἐνόησε. Ε.

Σ. 41. Θείη] Θεία δὲ αὐτὸν εἶχε κληδών· ὅ ἐστιν, ἀνεμνήσθη τὸ ὄναρ. Σ. Ταὐτὸν οὖν δηλοῦσιν ἐνταῦθα ὄνειρός τε καὶ ὀμφή. Ε.

Σ. 42. Μαλακὸν δὲ ἔνδυνε χιτῶνα] Ὅτι σχῆμα καὶ ἐνταῦθα διασκευαστικόν. Ε. — Ἰστέον δὲ, ὅτι ἐπὶ μὲν ἀνδρὸς χιτῶνα λέγει· ἐπὶ γυναικὸς δὲ, πέπλον. Σ. Χιτὼν δὲ, τὸ λεπτότερον ἱμάτιον, ὃ προφορεῖται.

Σ. 43. 45. Περὶ δὲ αὖ μέγα βάλετο — ξίφος] Ὅρα δὲ καὶ διαφορὰν ἐνταῦθα τοῦ περιβαλέσθαι καὶ ἀμφιβαλέσθαι, εἴπερ Φᾶρος μὲν περιβάλλεται, ξίφος δὲ ἀμφιβάλλεται. Ε. — Νηγάτεον] Νεωστὶ κατεσκευασμένον, ἢ νενησμένον. — Δηλοῖ δὲ ὁ χιτὼν παρ' αὐτῷ καὶ τὸν σιδηροῦν. Σ. Περὶ δὲ μέγα. Β.

Σ. 44. Λιπαροῖσιν] Λιπαροὺς δὲ πόδας λέγει οὐ τοὺς διὰ τρυφὴν,

(Β. τροφὴν) ἀλλὰ διὰ τὸ γυμνάσιον τοιούτους ἀπὸ μέρους δὲ νοητέον τὸ πᾶν, ὡς καὶ τοῦ ὅλου σώματος εὐσαρκοῦντος δι' εὐεξίαν τῷ βασιλεῖ. Ε. — Λιπαροῖς] Λευκοῖς, καὶ εὐτραφέσιν· ἢ προαλειφομένοις ἐν τῷ ὑποδεδέσθαι. Σ. — Ὑποδεῖσθαι πάντως ἐπὶ ποδῶν, ὥσπερ τὸ ἀναδεῖσθαι ἐπὶ κεφαλῆς. Ε.

Σ. 45. Ὤμοισι βάλετο ξίφος] Περὶ τοὺς ὤμους τὰ ξίφη ἔφερον, καὶ οὐκ ἐζώννυντο αὐτὰς καθάπερ οἱ ὕστερον. Ε.—Ἀργυρόηλον] Ἀργυροῖς ἥλοις διαπεπαρμένον. Σ.

Σ. 46. Ἄφθιτον] Ἀδιάφθαρτον, αἰώνιον, ὅτι οὐκ ἐδόθη ἐκ τοῦ γένους ἑτέρῳ. Σ.

Σ. 48. Ἠὼς] Ἰστέον δὲ, ὅτι Ὅμηρος μὲν φῶς ἀγγέλλειν θεοῖς ἔφη τὴν μυθικὴν Ἠῶ, ἀφυπνίζουσαν οἷον ἐκείνους. Ε. Προσεβήσατο, κ. λ.] Τουτέστιν, ἀνέτειλεν. Σ. — Μακρὸν Ὄλυμπον] Ἰστέον ὅτι ἐνταῦθα ὄρος ὁ Ὄλυμπος· διὸ καὶ μακρὸς· προσεβήσατο Ὄλυμπον, ὅτι αἱ ἀκρώρειαι πρῶται φωτίζονται. Β. προσεβήσετο. Β.

Σ. 49. Φόως ἐρέουσα] Τὸ δὲ φῶς ἐρεῖν, ταὐτόν πως ἐστὶ τῷ φωσφορεῖν. — Λέγουσι δὲ, ὅτι τρίτη καὶ εἰκοστὴ αὕτη ἡμέρα τῆς Ἰλιάδος. Ε. — Φόως, τὸν ἥλιον· κατ' ἐξοχὴν δὲ ὁ ἥλιος φῶς λέγεται. Β.

Σ. 50. Κέλευε] Κέλευσε. Β.

Σ. 51. Κηρύσσειν—Ἀχαιούς] Ὅρα δὲ καὶ κηρύσσειν Ἀχαιοὺς ἐντελῶς ῥηθέν· λέγει γὰρ κηρύσσειν, ἤτοι τῇ βοῇ συγκαλεῖσθαι τοὺς Ἀχαιούς· οἱ δὲ μεθ' Ὅμηρον μετὰ δοτικῆς τὸ κηρύσσειν συντάσσουσιν. Ε.

Σ. 53. Βουλὴν δὲ πρῶτον] Ἴδ. Α, 144. — Τινὰ δὲ τῶν ἀντιγράφων βουλὴ γράφουσι δίχα τοῦ ν· ἵνα λέγῃ, ὅτι βουλὴ πρῶτον ἐκαθέσθη γερόντων· καί φασιν οἱ παλαιοὶ, ἀστειοτέραν καὶ ἀριστάρχειον εἶναι τὴν τοιαύτην γραφήν. — Ἰστέον δὲ, ὅτι τὸ μὲν ἐκάθιζε βουλὴν ἀντὶ τοῦ συνῆγε νοεῖται. — Κληθέντες γὰρ καὶ συνελθόντες οἱ τῆς βουλῆς, εἶτα ἐκάθηντο. Ε.—Βουλὴν] Ἐνταῦθα τὸ προβούλευμα. Σ.

Σ. 54. Πυληγενέος] Ἰστέον δὲ ὡς ἐν τούτοις κεῖται σχῆμα καινὸν τοιοῦτον· ἀπὸ κτητικοῦ ὀνόματος ἀναλυθέντος ποιεῖται Ὅμηρος γενικὴν σύνταξιν, οὕτως.—Νεστορέῃ παρὰ κ. λ.] Ἤγουν παρὰ τῇ νηῒ τοῦ Νέστορος τοῦ Πυλίου βασιλέως. Ε. Πυλοιγενέος. Β.

Σ. 55. Πυκινὴν] Συνετὴν, σώφρονα. Σ. Πυκινὴ βουλὴ ἡ



НБ ОНУ імені І.І.Мечникова

στεῤῥά, ἐκ μεταφορᾶς τῶν πυκνῶν σωμάτων, ἃ δυσπαθέστερά εἰσι τῶν ἀραιῶν. — Τὸ δὲ ἀρτύνεσθαι πλεονασμῷ τοῦ ν, δωρικῶς ἀπὸ τοῦ ἀρτύω γίνεται· δηλοῖ δὲ τὸ ἀπηρτισμένον τι ποιεῖν. Ε

Σ. 58. Φυήν] Φύσιν, τρόπον. Σ. — Εἶδος ἐπὶ τοῦ προσώπου, μέγεθος ἐπὶ τοῦ σώματος, φυὴν δὲ, τὸ ὅλον κάλλος, ἤτοι τὴν τοῦ ὅλου σώματος εὐπρέπειαν. Β.

Σ. 65. Κέλευσε] Σὲ κέλευσε. Β.

Σ. 68. Ἐπέγναμψε] Ἐπέγναμψεν. Β.

Σ. 69. Ἐφῆπται] Ἐφ' ἧπται. Β.

Σ. 71. Ὤχετ' ἀποπτάμενος] Σημείωσαι δὲ, ὅτι Ὁμήρου εἰπόντος, ὡς Ὄνειρος τάδε εἰπὼν ᾤχετο ἀποπτάμενος, πτερωτοὶ ἐντεῦθεν οἱ ὄνειροι ἀνεπλάσθησαν. Ε.

Σ. 72. Θωρήξομεν] Ὁπλήσωμεν· Ἰώνων ἡ συστολή. Σ. — Λείπει τὸ σκοπήσομεν. Ε.

Σ. 73. Ἡ θέμις ἐστίν] Ὡς νενόμισται, ὡς προσῆκόν ἐστι. Σ. — Ὅτι θέμις τοῖς στρατηγοῖς ἐστιν, ὅτε πειρᾶσθαι τῶν στρατιωτῶν πρὸ τοῦ πολέμου, εἴτε οἰκείᾳ γνώμῃ πολεμοῦσιν, εἴτε ἀνάγκῃ, τουτέστιν, εἴτε προθύμως ἔχουσι πολεμεῖν, εἴτε καὶ μή· ὡς ἂν προθύμους μὲν ὄντας ἐπιῤῥώσειαν εἰς πλέον, μὴ προθυμουμένους δὲ εἰς θάρσος ἀγάγοιεν. Καὶ Ἀγαμέμνων οὖν ἐνταῦθα, ἐπεὶ Ἀχιλλέως μηνίσαντος, ὑπόπτως ἔχει τοῖς Ἀχαιοῖς· πρῶτον ἔπεσι πειρήσομαί φησι — καὶ φεύγειν κελεύσω· ὑμεῖς δὲ — κωλύετε· οἴεται γὰρ ἐθελοκακεῖν τυχὸν τοὺς Ἕλληνας διὰ τὴν τοῦ πολεμάρχου Ἀχιλλέως ὀργίαν· καὶ διὰ τοῦτο θέλει σχηματίσασθαι τὸν οἴκαδε ἀπόπλουν, ὡς ἤδη ἀπογνοὺς τὴν τῆς Τροίας ἅλωσιν· ἐπεὶ δὲ ὕπεστι δέος, μή ποτε ἡδέως οἱ Ἕλληνες τὸν λόγον προσηκάμενοι ὁρμήσωσιν ἀποπλεῖν, συμβουλεύει τοῖς γέρουσιν, ἵνα κωλύσωσιν ἀντιστάντες τῇ τοῦ βασιλέως δημηγορίᾳ· καὶ ἔστι μὲν ἡ βουλὴ ἀγαθὴ, καὶ κατὰ τὸν Ὅμηρον, πυκινὴ, καὶ τῷ ὄντι στρατηγική· τὸ δὲ πρᾶγμα, μικροῦ δεῖν, εἰς μέγα κατέστρεψεν ἂν κακὸν, οἷα τοῦ ὄχλου ἅμα τῷ λόγῳ τοῦ βασιλέως ὑποκινηθέντος εἰς ἀπόπλουν, πόθῳ τῶν οἴκοι· καὶ οὐκ ἤδη διὰ τοῦτο μεμπτέον τὴν βασιλικὴν βουλήν· οὐ γὰρ ἐκ τῶν ἀποτελεσμάτων ἀεὶ κριτέον τὰ καλὰ εἴτε καὶ φαῦλα. — Ἐπαινετέον δὲ τὸ βούλευμα, διότι ὅπερ ἤθελεν ὁ βασιλεὺς, ἤνυσται. — Ἐρεῖ γὰρ ὁ ποιητὴς, ὅτι εὐθὺς αὐτοῖς γλυκίων ὁ πόλεμος ἐγένετο,

НБ ОНУ імені І.І. Мечникова

ἢ ὁ εἰς τὰ οἰκεῖα νόστος. Ε. — Ἠ] Τὸ ἢ ἰσοδυναμοῦν ἐστι τῷ ὡς ἐπίῤῥημα. Ε. Ἔπεσιν. Β.

Σ. 74. Πολυκλήϊσι] (Πολυκληῖσι Ῥωμ.) — Τὸ δὲ πολυκλήϊσι, προπαροξυτόνως ἀναγινώσκουσιν οἱ παλαιοί· ἔστι μὲν γὰρ ὀξυτόνως κληῒς, ἡ ναυτικὴ καθέδρα. — Ἡ δὲ σύνθεσις βαρύνει αὐτὸ, καὶ γίνεται πολυκλήϊς, πολυκλήϊδος. Ε. Πολυκαθέδροις, ἐξ οὗ πολυκώπεις· κληΐδες γὰρ καλοῦνται αἱ τῶν ἐρεσσόντων καθέδραι. Σ.

Σ. 77. Ἠμαθόεντος] Ὅτι τοῦ Πύλου ἠμαθόεντος ἀντὶ τοῦ ἠμαθοέσσης· εἰ μὴ ἄρα τις ἀρσενικῶς ὀνομάσει τὸν Πύλον, ὅπερ εἰ καὶ παρὰ ἄλλοις ἐστὶν, ἀλλὰ παρὰ τῷ ποιητῇ οὐ φαίνεται (ἴδ. Α, στ. 252.)· τοιοῦτον δὲ καὶ ἐν Ὀδυσσείᾳ τὸ, Ὑλήεντι Ζακύνθῳ (Α, 246.), ἀντὶ τοῦ Ὑληέσσῃ, — ὡς ἐπὶ καὶ ἄλλων καταλήξεων γίνεται· οἷον κλυτὸς Ἱπποδάμεια (στ. 742.) καὶ ἀγγελθεῖσά μοι γενναῖος, καὶ πικρὸς ὀδμὴ (Ὀδυσσ. Δ, 406.) — καὶ ἐν ἄλλοις μυρίοις. Ἠμαθόεις δὲ Πύλος, ἢ ἡ γῆν ἀμαθώδη ἔχουσα, ἤτοι ὑπόξηρον, τοιοῦτον γὰρ ἡ ἄμαθος, ἢ περὶ ἣν ποταμὸς ῥέει καλούμενος Ἄμαθος, ὥς φησιν ὁ γεωγράφος (Η, σελ. 232.). — Τὸ δὲ ἀμαθώδη τὴν ὅλην ἐκεῖ χώραν, ἢ τὸν Πύλον εἶναι, ψεῦδος ἐκεῖνος εἶναι φησι. Ε. — Ἠμαθόεντος· παραθαλασσίας· ἢ Ἤμαθος, ποταμὸς Πύλου. Ε.

Σ. 78. Ὅς σφιν] Ὁ σφίν. Β.

Σ. 79. Μέδοντες] Πρόβουλοι. Σ. — Δηλοῦται δὲ διὰ μὲν τοῦ ἡγήτορες, τὸ τῶν βασιλέων ἡγεμονικὸν, διὰ δὲ τοῦ μέδοντες, τὸ βουλευτικόν. Ε.

Σ. 81. Νοσφιζοίμεθα] Ὅτι νοσφίζεσθαι παρὰ μὲν τῷ ποιητῇ τὸ νόσφι καὶ χωρὶς γίνεσθαι καὶ ἀφίστασθαι· ἢ ἐνεργητικῶς, τὸ χωρίζειν καὶ νόσφι καὶ πόῤῥω ποιεῖν· παρὰ μέντοι τοῖς ὕστερον, τὸ ἰδιοποιεῖσθαι, νοσφίζεσθαι λέγεται, τὸ δ' αὐτὸ καὶ σφετερίζεσθαι· νοσφιζοίμεθα μᾶλλον, τουτέστι, χωριζοίμεθα, πόῤῥω γενοίμεθα. Ε. — Μᾶλλον] Τὸ δὲ μᾶλλον Ἀττικῶς παρέλκει. Ε. κεν. Β.

Σ. 82. Εὔχεται εἶναι] Οἷς γὰρ ἡ ἀποτυχία κίνδυνον φέρει, οὐκ ἂν οἱ τοιοῦτοι ψεύσωνται. — Τίνι γὰρ ἂν χαριζόμενος ὁ βασιλεὺς μείζονι, ψεύσηται; ἔτι δὲ οὐδὲ εἶπεν ὁ γέρων, ὅτι ἐὰν ἄλλος εἶπε, ψευδὴς ἦν ὁ ὄνειρος, ἀλλ' ἐκεῖνος ἂν ὁ εἰπὼν ἰδεῖν, ἐψεύσατο τὸ ἰδεῖν· ὁ δὲ Ἀγαμέμνων οὐ ψεύδεται τὸ ἰδεῖν· οὐ γὰρ ἂν ἑαυτὸν ἀπατῴη· ἔτι



НБ ОНУ імені І.І.Мечникова

δὲ καὶ ἀληθεύσει ὁ ὄνειρος τοῦ βασιλέως, οὐδ' αὐτὸ εἶπεν ὁ Νέστωρ σαφῶς. Ε.

Σ. 84. Βουλῆς ἐξ ἦρχε νέεσθαι] Προηγεῖτο τῆς ἐκ τοῦ προβουλίου ἐξόδου. Σ. — Ἤγουν ἀρχὴν αὐτὸς ἀνέδωκε τοῖς βουλευταῖς, προϊέναι εἰς ἀγοράν. Ε. Ἐξῆρχε. Β.

Σ. 87. Ἠύτε ἔθνεα] Ὅτι πολλοῖς ἡδύσμασι παραρτύων ὁ ποιητὴς τὴν ἑαυτοῦ ποίησιν, ἕν τι τῶν τοιούτων ἀγαθῶν ἔχει καὶ τὴν παραβολὴν, δι' ἧς πολλά τινα ἐξανύει καλά· δι' αὐτῆς γὰρ πολλαχοῦ καὶ ζώων ἰδιότητας καὶ φυσικὴν ἱστορίαν ποικίλην ἐκτίθεται. — Καὶ ὅλως οὐ μόνον φιλόσοφόν τι πρᾶγμα ἡ παραβολὴ παρὰ τῷ ποιητῇ, ἀλλὰ καὶ πραγμάτων τῶν ὁσημέραι γινομένων διδασκαλία, καὶ ἐναργείας ποιητικὴ, καὶ πολυπειρίας περιποιητική· ἔργον δὲ αὐτῆς καὶ τὸ διδάσκειν ἀριδήλως τὰ ὑποκείμενα πράγματα, ὧν χάριν παρείληπται. — Ἔστιν οὖν παραβολὴ νόημα πιστούμενον ἐκ τῶν καθεκάστην γινομένων τὰ λεγόμενα· λέγεται δὲ παραβολὴ, διότι τοῖς λεγομένοις παραβάλλει, τουτέστι, συγκρίνει καὶ παρατίθησι πρᾶγμά τι γνώριμον εἰωθὸς ἀεὶ γίνεσθαι, ὅπερ ὀφείλει πάντως γνωριμώτερον εἶναι τοῦ δι' ὃ παρείληπται· κακία γὰρ παραβολῆς τὸ ἄγνωστον καὶ ἀσύνηθες· εἰς ὃ αἱ τοῦ Χοιρίλου κακίζονται παραβολαί· διότι οὐδὲ διδασκαλικὴ ἡ τοιαύτη ἐστὶ παραβολή. — Ἰστέον δὲ καὶ ὅτι ὡσεπιπολὺ μὲν προηγεῖται ἡ παραβολὴ τῆς ἀνταποδόσεως, ποτὲ δὲ καὶ ἀνάπαλιν. — Καὶ ὅτι τῶν παραβολῶν αἱ μὲν εἰσὶν ἀναπόδοτοι, αἱ δὲ μετὰ ἀποδόσεως. — Τοιαύτη τις καὶ ἐνταῦθα παραβολὴ παρὰ τῷ ποιητῇ, ἔνθα τὴν τῶν Ἀχαιῶν ὁρμὴν εἰς τὴν ἀγορὰν παραβολικῶς θέλων διδάξαι, μελίσσαις εἰκάζει αὐτούς. — Πρὸς τοῦτο γὰρ καὶ μόνον ἡ παραβολὴ τῷ ποιητῇ, καὶ οὐ πρὸς ὅλον τὸ πρᾶγμα. — Δεῖ γὰρ εἰδέναι, ὅτι οὐ συχναὶ παρ' αὐτῷ εὑρεθήσονται παραβολαὶ ὅλαι διόλου συμβιβαζόμεναι τοῖς ὑποκειμένοις πράγμασιν· ὡσεπιπολὺ δὲ τὸ μὲν πλεῖον μέρος τῆς παραβολικῆς διασκευῆς ἄχρηστον τῷ ποιητῇ. ἔστι δ' ὅτε καὶ ἐναντίον πρὸς τὸ πρᾶγμα εὑρίσκεται· ὀλίγον δέ τι μέρος ἐκ τῆς παραβολῆς τῷ πράγματι συμβιβάζεται. — Ἔθνεα εἶσι μελισσάων] Ἔθνεα δὲ μελισσῶν καταχρηστικῶς λέγει, κυρίως γὰρ ἐπὶ ἀνθρώπων τίθεται ἡ λέξις. — Λέγει δὲ καὶ ἐν τοῖς ἑξῆς ὁμοίως χηνῶν καὶ γεράνων καὶ κύκνων ἔθνεα, καὶ μυιάων ἔθνεα, μὴ θέλων ἀγέλην εἰπεῖν· κἂν γὰρ οἱ νεώ-

НБ ОНУ імені І.І.Мечникова

τεροι ἀγέλας ἐπὶ ὀρνέων τιθῶσι, ἀλλ' Ὅμηρος τὴν τοιαύτην
λέξιν τῷ τῶν βοῶν πλήθει προσήρμοσε· βούλονται δὲ οἱ
νεώτεροι ἐπὶ μελισσῶν οὐκ ἔθνος λέγειν, ἀλλὰ σμῆνος· μά-
λιστα δὲ ἑσμόν· τὸ γὰρ σμῆνος οὐ μόνον ἐπὶ πλήθους λέ-
γεται μελισσῶν, ἀλλὰ καὶ τὸ σίμβλον, ἤτοι τὸ ἀγγεῖον ἐν
ᾧ τὸ μέλι ἀποτιθέασιν αἱ μέλισσαι, σμῆνος καλεῖται. —
Ἀδινάων] Ἀδιναὶ δὲ μέλισσαι αἱ πυκναί· παρὰ τὸ ἄδην, ὃ δηλοῖ
τὸ δαψιλῶς, διὸ καὶ δασύνεσθαι αὐτό τινες βούλονται. Ε. —
Συγγενὲς δὲ ποιητικῆς τὸ ζῶον διὰ τὸν μόχθον, καὶ τὸ
γλυκὺ, καὶ τὴν σύνθεσιν τοῦ κηρίου. — Ὡπλισμέναι τέ εἰσι
κέντροις· εἷς γε δι' αὐτῶν βασιλεύς· ὑπήκοοί τε καὶ αὐταί
εἰσι· καὶ ἐπὶ ἔργῳ ἐξίασιν, οὐχ ὡς γέρανοι· φιλάλληλοί τέ
εἰσι, καὶ μεταβαίνουσαι πολλὰς ἀρχὰς πτήσεως ποιοῦνται.
Σ. 88. Πέτρης ἐκ γλαφυρῆς] Ἀπὸ πέτρας γλαφυρᾶς, ὀπ-
λονότι σπηλαίου τινὸς ὡς εἰκὸς, ὀρεινοῦ. — Γλαφυρῆς] Κυ-
ρίως ἐπὶ χειροκμήτων τὸ τοιοῦτον τίθεται ῥῆμα, καὶ δηλοῖ
ὁ ποιητὴς τοῦτο ἐν Ὀδυσσείᾳ (Δ, 438.), εἰπών· εὐνὰς δια-
γλάψασα, ὅ ἐστι, κοιλάνασα. Ε. — Νέον ἐρχομενάων] Οἱ μὲν
τὸ πλῆθος τοῦτο εἰρῆσθαι θέλουσι, ὅτι συνεχῶς οὕτω προΐασι
πολλαὶ, ὡς δοκεῖν αὐτὰς νεωστὶ ἄρχεσθαι τῆς ἐξόδου· οἱ δὲ
νέον τὸ ἔαρ φασίν· ἄμεινον δὲ λέγειν, ὅτι τοῖς μὲν ἄλλοις
ζώοις αἱ πτήσεις ἀποτεταμέναι γίνονται· αἱ δὲ μέλισσαι
βραχύ τι πετοῦσαι ἐφιζάνουσι τοῖς ἄνθεσι, καὶ πάλιν ἐφ' ἕτερα
μετίασιν ἄνθη.
Σ. 89. Βοτρυδὸν] Συνεστραμμέναι, καὶ συνηγμέναι, ὡς ἐν
βότρυος σχήματι. Σ. — Πάνυ δὲ ἡ λέξις ἔχει ἐμφαντικώ-
τατα· εἴποις γὰρ ἂν ἰδὼν τὸ ἔθνος τῶν μελισσῶν, ὅταν ἐπι-
αχθεσθῇ ἄνθεσι, βότρυϊ ἐοικέναι, ὡς ἀπὸ ῥαγῶν συγκειμένων
ξανθῶν· ἐξήρτηνται γὰρ ἀλλήλων ὡς ῥάγες, καὶ πετόμεναι
δὲ ἐγγὺς ἀλλήλων εἰσί. — Ἰστέον δὲ, ὅτι Ὁμήρου εἰπόντος
βοτρυδὸν τὰς μελίσας πέτεσθαι ἐναλλάξας τὸ σχῆμα παλαιός τις,
σμῆνος ἔφη βοτρύων. — Τὸ ἐπὶ ἄνθεσιν εἰαρινοῖς, ἀντὶ τοῦ ἐπὶ
ἄνθη ἐαρινὰ, ὅμοιον τῷ ἦλθεν ἐπὶ Κρήτεσσιν, ἀντὶ τοῦ ἐπὶ τοὺς
Κρῆτας. (Δ, 251.) Ε.
Σ. 90. Ἅλις] Ἤγουν ἠθροισμένως. Ε. Δαψιλῶς, πολλαὶ
καὶ ἅμα. Β.
Σ. 91. Νεῶν ἄπο καὶ κλισιάων] Ἀπὸ τῶν νεῶν καὶ σκηνῶν. Δ.
Σ. 92. Βαθείης] Βαθείης δὲ, οἱ μὲν μακρᾶς· ἐπεὶ καὶ

НБ ОНУ імені І.І. Мечникова

δὲ καὶ ἀληθεύει ὁ ὄνειρος τοῦ βασιλέως, οὐδ' αὐτὸ εἶπεν ὁ Νέστωρ σαφῶς. Ε.

Σ. 84. Βουλῆς ἐξ ἦρχε νέεσθαι] Προηγεῖτο τῆς ἐκ τοῦ προβουλίου ἐξόδου. Σ. — Ἤγουν ἀρχὴν αὐτὸς ἀνέδωκε τοῖς βουλευταῖς, προϊέναι εἰς ἀγοράν. Ε. Ἐξῆρχε. Β.

Σ. 87. Ἠΰτε ἔθνεα] Ὅτι πολλοῖς ἡδύσμασι παραρτύων ὁ ποιητὴς τὴν ἑαυτοῦ ποίησιν, ἕν τι τῶν τοιούτων ἀγαθῶν ἔχει καὶ τὴν παραβολὴν, δι' ἧς πολλά τινα ἐξανύει καλά· δι' αὐτῆς γὰρ πολλαχοῦ καὶ ζώων ἰδιότητας καὶ φυσικὴν ἱστορίαν ποικίλην ἐκτίθεται. — Καὶ ὅλως οὐ μόνον φιλόσοφόν τι πρᾶγμα ἡ παραβολὴ παρὰ τῷ ποιητῇ, ἀλλὰ καὶ πραγμάτων τῶν ὁσημέραι γινομένων διδασκαλία, καὶ ἐναργείας ποιητικὴ, καὶ πολυπειρίας περιποιητική· ἔργον δὲ αὐτῆς καὶ τὸ διδάσκειν ἀριδήλως τὰ ὑποκείμενα πράγματα, ὧν χάριν παρείληπται. — Ἔστιν οὖν παραβολὴ νόημα πιστούμενον ἐκ τῶν καθεκάστην γινομένων τὰ λεγόμενα· λέγεται δὲ παραβολὴ, διότι τοῖς λεγομένοις παραβάλλει, τουτέστι, συγκρίνει καὶ παρατίθησι πρᾶγμά τι γνώριμον εἰωθὸς ἀεὶ γίνεσθαι, ὅπερ ὀφείλει πάντως γνωριμώτερον εἶναι τοῦ δι' ὃ παρείληπται· κακία γὰρ παραβολῆς τὸ ἄγνωστον καὶ ἀσύνηθες· εἰς ὃ αἱ τοῦ Χοιρίλου κακίζονται παραβολαί· διότι οὐδὲ διδασκαλικὴ ἡ τοιαύτη ἐστὶ παραβολή. — Ἰστέον δὲ καὶ ὅτι ὡσεπιπολὺ μὲν προηγεῖται ἡ παραβολὴ τῆς ἀνταποδόσεως, ποτὲ δὲ καὶ ἀνάπαλιν. — Καὶ ὅτι τῶν παραβολῶν αἱ μέν εἰσιν ἀναπόδοτοι, αἱ δὲ μετὰ ἀποδόσεως. — Τοιαύτη τις καὶ ἐνταῦθα παραβολὴ παρὰ τῷ ποιητῇ, ἔνθα τὴν τῶν Ἀχαιῶν ὁρμὴν εἰς τὴν ἀγορὰν παραβολικῶς θέλων διδάξαι, μελίσσαις εἰκάζει αὐτούς. — Πρὸς τοῦτο γὰρ καὶ μόνον ἡ παραβολὴ τῷ ποιητῇ, καὶ οὐ πρὸς ὅλον τὸ πρᾶγμα. — Δεῖ γὰρ εἰδέναι, ὅτι οὐ συχναὶ παρ' αὐτῷ εὑρεθήσονται παραβολαὶ ὅλαι διόλου συμβιβαζόμεναι τοῖς ὑποκειμένοις πράγμασιν· ὡσεπιπολὺ δὲ τὸ μὲν πλεῖον μέρος τῆς παραβολικῆς διασκευῆς ἄχρηστον τῷ ποιητῇ. ἔστι δ' ὅτε καὶ ἐναντίον πρὸς τὸ πρᾶγμα εὑρίσκεται· ὀλίγον δέ τι μέρος ἐκ τῆς παραβολῆς τῷ πράγματι συμβιβάζεται. — Ἔθνεα εἶσι μελισσάων] Ἔθνεα δὲ μελισσῶν καταχρηστικῶς λέγει, κυρίως γὰρ ἐπὶ ἀνθρώπων τίθεται ἡ λέξις. — Λέγει δὲ καὶ ἐν τοῖς ἑξῆς ὁμοίως χηνῶν καὶ γεράνων καὶ κύκνων ἔθνεα, καὶ μυιάων ἔθνεα, μὴ θέλων ἀγέλην εἰπεῖν· κἂν γὰρ οἱ νεώ-

НБ ОНУ імені І.І. Мечникова

τεροι ἀγέλας ἐπὶ ὀρνέων τιθῶσι, ἀλλ' Ὅμηρος τὴν τοιαύτην
λέξιν τῷ τῶν βοῶν πλήθει προσήρμοσε· βούλονται δὲ οἱ
νεώτεροι ἐπὶ μελισσῶν οὐκ ἔθνος λέγειν, ἀλλὰ σμῆνος· μά-
λιστα δὲ ἑσμόν· τὸ γὰρ σμῆνος οὐ μόνον ἐπὶ πλήθους λέ-
γεται μελισσῶν, ἀλλὰ καὶ τὸ σίμβλον, ἤτοι τὸ ἀγγεῖον ἐν
ᾧ τὸ μέλι ἀποτιθέασιν αἱ μέλισσαι, σμῆνος καλεῖται. —
Ἀδινάων] Ἀδιναὶ δὲ μέλισσαι αἱ πυκναί· παρὰ τὸ ἄδην, ὃ δηλοῖ
τὸ δαψιλῶς, διὸ καὶ δασύνεσθαι αὐτό τινες βούλονται. Ε. —
Συγγενὲς δὲ ποιητικῆς τὸ ζῶον διὰ τὸν μόχθον, καὶ τὸ
γλυκύ, καὶ τὴν σύνθεσιν τοῦ κηρίου. — Ὡπλισμέναι τέ εἰσι
κέντροις· εἷς γε δι' αὐτῶν βασιλεύς· ὑπήκοοί τε καὶ αὐταί
εἰσι· καὶ ἐπὶ ἔργῳ ἐξίασιν, οὐχ ὡς γέρανοι· φιλάλληλοί τέ
εἰσι, καὶ μεταβαίνουσαι πολλὰς ἀρχὰς πτήσεως ποιοῦνται.

Σ. 88. Πέτρης ἐκ γλαφυρῆς] Ἀπὸ πέτρας γλαφυρᾶς, δη-
λονότι σπηλαίου τινὸς ὡς εἰκὸς, ὀρεινοῦ. — Γλαφυρῆς] Κυ-
ρίως ἐπὶ χειροκμήτων τὸ τοιοῦτον τίθεται ῥῆμα, καὶ δηλοῖ
ὁ ποιητὴς τοῦτο ἐν Ὀδυσσείᾳ (Δ, 438.), εἰπών· εὐνὰς δια-
γλάψασα, ὅ ἐστι, κοιλάνασα. Ε. — Νέον ἐρχομενάων] Οἱ μὲν
τὸ πλῆθος τοῦτο εἰρῆσθαι θέλουσι, ὅτι συνεχῶς οὕτω προΐασι
πολλαὶ, ὡς δοκεῖν αὐτὰς νεωστὶ ἄρχεσθαι τῆς ἐξόδου· οἱ δὲ
νέον τὸ ἔαρ φασίν· ἄμεινον δὲ λέγειν, ὅτι τοῖς μὲν ἄλλοις
ζώοις αἱ πτήσεις ἀποτεταμέναι γίνονται· αἱ δὲ μέλισσαι
βραχύ τι πετοῦσαι ἐφιζάνουσι τοῖς ἄνθεσι, καὶ πάλιν ἐφ' ἕτερα
μετίασιν ἄνθη.

Σ. 89. Βοτρυδὸν] Συνεστραμμέναι, καὶ συνηγμέναι, ὡς ἐν
βότρυος σχήματι. Σ. — Πάνυ δὲ ἡ λέξις ἔχει ἐμφαντικώ-
τατα· εἴποις γὰρ ἂν ἰδὼν τὸ ἔθνος τῶν μελισσῶν, ὅταν ἐπι-
ακθεσθῇ ἄνθεσι, βότρυϊ ἐοικέναι, ὡς ἀπὸ ῥαγῶν συγκειμένων
ξανθῶν· ἐξήρτηνται γὰρ ἀλλήλων ὡς ῥάγες, καὶ πετόμεναι
δὲ ἐγγὺς ἀλλήλων εἰσί. — Ἰστέον δὲ, ὅτι Ὁμήρου εἰπόντος
βοτρυδὸν τὰς μελίσας πέτεσθαι ἐναλλάξας τὸ σχῆμα παλαιός τις,
σμῆνος ἔφη βοτρύων. — Τὸ ἐπὶ ἄνθεσιν εἰαρινοῖς, ἀντὶ τοῦ ἐπὶ
ἄνθη ἐαρινὰ, ὅμοιον τῷ ἦλθεν ἐπὶ Κρήτεσσιν, ἀντὶ τοῦ ἐπὶ τοὺς
Κρῆτας. (Δ, 251.) Ε.

Σ. 90. Ἄλις] Ἤγουν ἠθροισμένως. Ε. Δαψιλῶς, πολλαὶ
καὶ ἅμα. Β.

Σ. 91. Νεῶν ἄπο καὶ κλισιάων] Ἀπὸ τῶν νεῶν καὶ σκηνῶν. Δ.

Σ. 92. Βαθείης] Βαθείης δὲ, οἱ μὲν μακρᾶς· ἐπεὶ καὶ

НБ ОНУ імені І.І.Мечникова

ρεῖατα μακρὰ νάουσιν (Φ, 197.) ἀντὶ τοῦ βαθέα. — Προπάροιθε] Τὸ δὲ προπάροιθεν καὶ ἐπὶ τόπου καὶ ἐπὶ χρόνου λαμβάνεται. Σ. Β.

Σ. 93. Ἰλαδόν] Κατὰ ἴλας καὶ συστροφάς. — Ὄσσα] Θεία φήμη καὶ κληδών. — Δεδήει] Ἐξῆπτο, διεγήγερτο. Σ. Πρωτότυπον τοῦ ἰλαδὸν ἡ ἴλη, ὃ σημαίνει τὴν τάξιν· καὶ πάλαι μὲν καὶ ἡ ἴλη καὶ τὸ ἰλαδὸν διὰ τῆς ει διφθόγγου εἶχε τὴν ἄρχουσαν, ὡς ἀπὸ τοῦ εἰλῶ, τὸ συστρέφω· ἐξ οὗ τότε καὶ τὸ πέδειλον· ὕστερον δὲ οὐχ οὕτως, ἀλλ' ἐν τῷ ι αὐτοῖς ἡ γραφή. — Εἴη δ' ἂν λέγων ἀλληγορικῶς ὄσσαν, ἢ τὴν τῶν βασιλέων ἄρτι κέλευσιν, οἷς πειθόμενοι συνήγοντο, ἢ τὴν πάντων τῶν Ἀχαιῶν πρὸς ἀλλήλους ἐγκέλευσιν, οἳ ἐπέκεινα τῶν ἐννέα κηρύκων, ὤτρυνον καὶ αὐτοὶ ἑαυτοὺς εἰς τὴν ἀγοράν. Ε. — Εἰλαδόν. Β.

Σ. 94. Διὸς ἄγγελος] Πανομφαῖος γὰρ ὁ Ζεὺς λέγεται, ὅτι τὰ αὐτομάτως γινόμενα, εἰς αὐτὸν ἀναφέρεται. Β.

Σ. 95. Στοναχίζετο] Τὸ δὲ στοναχίζεσθαι δηλοῖ ποιὰν βοήν τινα· οὐ μόνον γὰρ ἐπὶ θρήνου ἡ λέξις τίθεται, ἀλλὰ καὶ ἐπὶ ἁπλῶς θορύβου. Ε. — Ὑπὸ δὲ στεναχίζετο. Β.

Σ. 99. Σπουδῇ] Ἀντὶ τοῦ μόλις ἐκαθέσθη καὶ δυσχερῶς. — Ὅτε μέντοι ἐρεῖ τις ἀπὸ σπουδῆς τί λέγειν, τότε ἡ λέξις τὸ ὁλοψύχως καὶ ἐνδιαθέτως καὶ ἐναγωνίως δηλοῖ. Ε. Δηλοῖ δὲ ἡ λέξις καὶ τὸ ταχέως· σπουδῇ νῦν ἀνάβαινε (Ὀδυσσ. Ο, 209.). Β. — Ἐρήτυθεν] Κατεῖχον ἕκαστος τὰς ἑαυτοῦ καθέδρας. Σ. — Καθ' ἕδρας. Β.

Σ. 100. Κλαγγῆς] Ὅρα δὲ τὸ κλαγγὴ ἐνταῦθα ἐπὶ ἀνθρώπων κραυγῆς τεθέν. Ε.

Σ. 101. Σκῆπτρον ἔχων] Οὕτω τοίνυν τὸ σκῆπτρον ἄφθιτον (στ. 46.) ὡς θεόθεν τε δοθὲν τῷ γένει τῶν Ἀτρειδῶν, καὶ ἐκ προγόνων εἰς τοὺς ἐπιγόνους διαβεβηκός. Ε. Κάμε τεύχων] Καμὼν ἔτευξεν· ἀναστροφὴ δὲ ὁ τρόπος. Σ.

Σ. 103. Διακτόρῳ] Διάγοντι τὰς ἀγγελίας τὰς τῶν θεῶν ἢ διακτόρῳ (ἀνάγνωθ. διατόρῳ, Εὐσταθ. ἢ ὁ διάτορος, ὅ ἐστι σαφὴς ἐν ταῖς ἀγγελίαις, τορὸν γὰρ τὸ τρανὲς καὶ σαφὲς) καὶ τρανεῖ κατὰ τὸ λέγειν. Σ. — Ἀργειφόντῃ] Ἰοῦς τῆς Ἰνάχου θυγατρὸς, τοῦ Ἀργείων βασιλέως, Ζεὺς ἐρασθεὶς, καὶ γνοὺς αὐτὴν μετέβαλεν, εἰς βοῦν, διὰ τὸν τῆς Ἥρας ζῆλον. Ἥρα δὲ αἰτησαμένη ὡς βοῦν, καὶ λαβοῦσα παρὰ τοῦ Διὸς

НБ ОНУ імені І.І. Мечникова

ἐπέστησεν αὐτῇ φύλακα Ἄργον, τὸν πανόπτην καλούμενον,
ὅτι κατὰ παντὸς τοῦ σώματος εἶχεν ὀφθαλμούς. Κελευσθεὶς
δὲ ὁ Ἑρμῆς ὑπὸ τοῦ Διὸς κλέψαι τὴν βοῦν, ἐπειδὴ λαθεῖν
οὐκ ἠδύνατο τὸν Ἄργον, λίθῳ βαλὼν ἀπέκτεινε, καὶ ἐντεῦθεν
Ἀργειφόντης ἐκλήθη· τῇ δὲ Ἰοῖ ἡ Ἥρα, ὡσανεὶ βοΐ, οἶστρον
ἐμβάλλει· ἡ δὲ ἐκ τῆς ὀδύνης πρῶτον ἦλθεν εἰς τὸν ἀπ᾽
ἐκείνης Ἰόνιον κόλπον κληθέντα· ἔπειτα διὰ τοῦ καλουμένου
πρότερον Θρᾳκίου πόρου, νῦν δὲ ἀπ᾽ ἐκείνης Βοσπόρου, ἐλθοῦσα,
ἄλλους τε διαφόρους τόπους πλανηθεῖσα ἦλθεν εἰς Αἴγυπτον,
ὅπου, τὴν ἀρχαίαν μορφὴν ἀναλαβοῦσα, τίκτει παρὰ τῷ Νεί-
λῳ ποταμῷ παῖδα Ἔπαφον. Σ. (ἴδ. Ἀπολλόδ. Β. 251. 52.):
— Ἡ δὲ ἱστορία τὸν Ἄργον τοῦτον πολυπράγμονα τὰ εἰς
ὄψιν εἶναι βούλεται· καὶ ὀριγνώμενον πᾶσι παρεῖναι πράγ-
μασι, καὶ ἀείποτε καὶ ὡς οἷόν τε, συνεχῶς πάντα ὁρᾷν,
καὶ μηδὲν τῶν ὑπὸ τὴν ἀρχὴν αὐτοῦ διαλανθάνειν αὐτόν·
ἴσως δὲ καὶ ἀγχίνους ὁ ἄνθρωπος ἦν· καὶ τὰ μὲν ὁρῶν, τὰ δὲ
προορῶν. — Τυχὸν δὲ καὶ ὀξὺς ἦν τὴν θέαν, ἀλλὰ καὶ ἐγρη-
γορὼς τὰ πολλά. — Ὥσπερ δὲ τὸν Ἄργον ὁ μῦθος αἰνιγματωδῶς
ἐσέμνυνεν, οὕτω καὶ ἄλλον τινὰ πολλὰ πράττοντα ταῖς χερσὶν
ἑκατόγχειρα ἔπλασε, καί τινι ἀκαμάτῳ τὴν πορείαν ὄντι, ἀπὸ
χαλκοῦ τὸ σκέλος ἐσφυρηλάτησε, καὶ ἀκουστικὸν δέ τινα ὄντα,
ὄνου φέρειν ὦτα εἶπε, τερατολογῶν πολυτρόπως τὰς φιλοτι-
μίας τῆς φύσεως. Ε.

Σ. 104. Πληξίππῳ] Πολεμικῷ. Ἱπποδάμεια, ἡ Οἰνομάου θυ-
γάτηρ, ἐρασθεῖσα Πέλοπος, Μυρτίλον τὸν Ἑρμοῦ υἱὸν, ἡνίο-
χον δὲ τοῦ ἑαυτῆς πατρὸς, ἔπεισε τῇ κατὰ τοῦ πατρὸς νί-
κῃ συνεργῆσαι, καὶ τοὺς ἵππους τῆς εἰς τὸ τρέχειν ὁρμῆς
κατασχεῖν, βουλομένη τὸν Πέλοπα καὶ τοὺς ἵππους λαβεῖν,
καὶ τὸν ἑαυτῆς γάμον· ἔκειτο γὰρ τῷ νικήσαντι ἔπαθλον ὁ
ταύτης γάμος, τῷ δὲ νικηθέντι θάνατος. Ἀγωνιζομένων δὲ
αὐτῶν ὁ Οἰνόμαος ἐκπίπτει τοῦ ἅρματος· οὐ γὰρ αἱ χοι-
νικίδες τοὺς ἐμβόλους κατέσχον· τοῦτο πανουργεύσαντος τοῦ
Μυρτίλου· καὶ οὕτω νενίκηται, καὶ ἀνῄρηται ὁ Οἰνόμαος, τῷ
Μυρτίλῳ ἐπαρασάμενος, ὅπως ἀπόληται ὑπὸ Πέλοπος· ὃ καὶ
ἐγένετο. Διαβαινόντων γὰρ αὐτῶν διὰ τοῦ Αἰγαίου πόντου
καὶ διψησάσης τῆς Ἱπποδαμείας, καταβὰς ἐκ τοῦ ἅρματος
ὁ Πέλοψ ἐζήτει ὕδωρ κατὰ τῆς ἐρήμου· κατ᾽ ἐκεῖνου δὲ καὶ-
ροῦ ἡ Ἱπποδάμεια ἐρασθεῖσα Μυρτίλου ἐδέετο μὴ ὑπεριδεῖν·

НБ ОНУ імені І.І. Мечникова

ἀντειπόντος δὲ αὐτοῦ, καὶ τοῦ Πέλοπος παραγενομένου, φθάνει ἡ Ἱπποδάμεια κατηγορήσασα τοῦ Μυρτίλου, ὡς βιάσασθαι βουληθέντος αὐτήν· καὶ Μυρτίλον Πέλοψ ἀπὸ τοῦ ἅρματος ὠθεῖ εἰς τὸ πέλαγος, αὐτὸς δὲ ἡνιοχεῖ· ὅθεν τὸ μὲν πέλαγος Μυρτῷον, ἀπὸ τοῦ Μυρτίλου· ὁ Πέλοψ δὲ Πλήξιππος ἔκτοτε ἐκλήθη, διὰ τὴν περὶ τοὺς ἵππους αὐτουργίαν. Σ.

Σ. 105. Αὐτὰρ ὁ αὖτε Πέλοψ] Πέλοψ ἐκ προτέρας γυναικὸς ἔχων παῖδα Χρύσιππον ἔγημεν Ἱπποδάμειαν τοῦ Οἰνομάου· ἐξῆς ἱκανῶς ἐπαιδοποίησεν. Ἠγαπωμένου δὲ ὑπ' αὐτοῦ σφόδρα τοῦ Χρυσίππου, ἐπιφθονήσαντες ἥτε μητρυιὰ, καὶ οἱ παῖδες, μήπως καὶ τὰ σκῆπτρα αὐτῷ καταλείψῃ, θάνατον ἐπεβούλευσαν Ἀτρεὺς καὶ Θυέστης, οἱ πρεσβύτατοι τῶν παίδων, αὐτῷ· ἀναιρεθέντος οὖν τοῦ Χρυσίππου, Πέλοψ ἐπιγνοὺς ἐφυγάδευσε τοὺς αὐτόχειρας τῆς σφαγῆς, γενομένους παῖδας, ἐπαρασάμενος αὐτοῖς, καὶ τῷ γένει, δι' αὐτῶν ἀναιρεθῆναι. Οἱ μὲν οὖν ἄλλοι ἀλλαχῆ ἐκπίπτουσι τῆς Πίσσης. Τελευτήσαντος δὲ τοῦ Πέλοπος, Ἀτρεὺς κατὰ τὸ πρεσβύτερον, σὺν στρατῷ πολλῷ ἐλθὼν ἐκράτησε τῶν τόπων. Ἱστορεῖ Ἑλλάνικος. Σ. — Ὅμηρος τὰ μὲν κατὰ τὸν Ἀγαμέμνονα καὶ τὸν Αἴγισθον, οἶδε· τὰ δὲ κατὰ τὸν Ἀτρέα καὶ τὸν Θυέστην, οὐχ ὁμοίως τοῖς λοιποῖς ἱστορεῖ, ἀλλὰ φαίνεται εἰδὼς αὐτοὺς πάνυ φίλια φρονοῦντας ἀλλήλοις. Φησὶ γὰρ ὅτι Ἀτρεὺς θνήσκων ἔλιπε τὸ σκῆπτρον τῷ Θυέστῃ, ὡς ἐπὶ παιδὶ ἀτελεῖ τῷ Ἀγαμέμνονι θνήσκων, τῷ πρεσβυτάτῳ τῶν παίδων· καὶ ἀναθεὶς τῷ ἀδελφῷ Θυέστῃ ἐπιτροπεύειν τοῦ Ἀγαμέμνονος· ὁ δὲ αὖθις ἔλιπε τὸ σκῆπτρον, οὐ τῷ παιδὶ Αἰγίσθῳ περιόντι, ἀλλὰ τῷ Ἀγαμέμνονι τῷ ἐπιτροπευομένῳ, δίκαια ποιῶν. Τινὲς δέ φασι τὸν ποιητὴν εἰδέναι μὲν καὶ αὐτὸν τὰ κατὰ τὸν Ἀτρέα καὶ Θυέστην κακὰ, σιωπῆσαι δὲ αὐτὰ διὰ τὸ τῆς ἱστορίας οὐκ εὔφημον, καὶ ἵνα μὴ βλασφημήσῃ τὸ γένος, οὐ γὰρ εἴωθε κακολογεῖν Ὅμηρος. Ε.

Σ. 106. Πολύαρνι] Δηλοῖ τὸν πολυθρέμμονα, ὡς ἀπὸ μέρους τῶν ἀρνῶν. Ε. Πολυθρέμμονα, πλουσίῳ. Σ. — Ἔλιπε πολύαρνι Θυέστῃ] Ἔλιπεν. Β.

Σ. 108. Πολλῇσι] Πολλῇσιν. Β.

Σ. 109. Ἔπεα . . . προσηύδα] Ἐπ' Ἀργείοισι μετηύδα. Β.

Σ. 110. Θεράποντες Ἄρηος] Ὅτι βουλευσάμενος ὁ βασιλεὺς πειράσασθαι τῶν Ἑλλήνων καθὰ προγέγραπται, ὡς ἂν γνῷ, εἴτε

НБ ОНУ імені І.І. Мечникова

θέλουσιν ἀποκινδυνεύσειν, εἴτε καὶ μὴ, καὶ παραγγείλας τῇ τῶν γερόντων βουλῇ, ἀντιπεσεῖν καὶ κωλῦσαι αὐτὸν, ἐφ' οἷς δηλονότι μέλλει δημηγορῆσαι, ὡς ἐπὶ φυγῇ καὶ καταλύσει τοῦ πολέμου· εἶτα καθίσας πανελλήνων ἀγορὰς, ἀνίσταται, καὶ δημηγορεῖ τοιαῦτα ἐξ ὧν φαίνεται μὲν κατασκευάζειν τὴν τοῦ λόγου ἀξίωσιν· τῇ δὲ ἀληθείᾳ τὸ ἐναντίον τῇ ἀξιώσει συνάγει· ἀξιοῖ μὲν γὰρ κατὰ τὸ φαινόμενον, φεύγειν ἀφέντας τὸν πόλεμον· καὶ τοῦτο ἔστιν αὐτῷ πέρας τῆς δημηγορίας· αἱ δὲ κατασκευαὶ, δι' ὧν δείκνυται δῆθεν τὸ δεῖν φεύγειν, τοὐναντίον ἅπαν συνάγουσιν οὔτε σταθεραὶ οὖσαι, ἀλλὰ καὶ λίαν εὐδιάλυτοι· καὶ οὕτω ποιεῖται δημηγορίαν τὴν λεγομένην ἐσχηματισμένην· σχήματι γὰρ μόνῳ καὶ προσποιήσει, καὶ κατὰ μόνον τὸ φαινόμενον ἐξεπιπολῆς λέγει τὸ, φεύγωμεν, ἐν δὲ τῷ βάθει τῶν λεγομένων καὶ τῇ τοῦ λόγου ψυχῇ, τὸ μὴ φεύγειν. Καὶ κατασκευάζει καὶ βούλεται χρώμενος ἐννοίαις ἀμφιβόλοις τε καὶ διπλαῖς, καὶ ὡς οἷον εἰπεῖν, ἀμφιταλάντοις, δοκούσαις μὲν κατασκευάζειν τὸ δέον εἶναι φυγεῖν, ῥεπούσαις δὲ μᾶλλον εἰς τὸ ἀνάπαλιν, ὡς εἶναι δυνατὸν τῷ λέγοντι εἰπεῖν, ὡς διὰ ταῦτα μάλιστα οὐ φευκτέον, ὦ βασιλεῦ, δι' ἅτινα σὺ φεύγειν ἀξιοῖς. Οὕτω τοίνυν ὁ βασιλεὺς — ἀφορμὰς ἐνδοὺς ἀντιλογιῶν τοῖς ἀριστεῦσι καραδοκεῖ ἀπ' αὐτῶν, ὡς εἰκὸς, ἐναντίωσιν, καθὰ καὶ παρῄνεσεν· καὶ ὁ ὄχλος πρὸς μόνον τὸ φαινόμενον ἀπιδὼν ἅματε ἤκουσεν, ὅτι φεύγωμεν, καὶ εὐθὺς ἀναστὰς, τῆς ἀξιώσεως ταύτης γίνεται. — Σκοπὸς μὲν γὰρ αὐτῷ δῆθεν, τὸ, φεύγωμεν· τούτου δὲ προκατάρχουσι κεφάλαια ταῦτα· μέμψις Διὸς, ὡς ἀπατήσαντος· ὅπερ ἀδύνατον δειχθήσεται· καὶ ὄνειδος τῶν Ἑλλήνων, διότι τοσοίδε καὶ τοιοίδε ὄντες, ἐπὶ μακρὸν οὕτω πολεμοῦντες, οὐκ ἤνυσαν, ὃ προέθεντο. — Καὶ ἄλλα δὲ ἐφεξῆς κεῖνται κεφάλαια, οἷς οὐκ ἂν ἐπενεχθείη τὸ, φεύγωμεν, δυναμένων τῶν ἀκουσάντων εἰπεῖν πρός γε τέως τὰ ῥηθέντα νῦν κεφάλαια, ὡς οὔτε Ζεὺς ψεύδεται, οὔτε ἡμεῖς ἀκλεῶς οὕτω καὶ ἀγενῶς ἀναχωρήσομεν. — Τὸ ἥρωες θεράποντες Ἄρηος φανερῶς ἐπὶ κωλύσει ἔθετο, ὡς μὴ δέον ὂν τοὺς τοιούτους φεύγειν· ἐπαίρει γάρ φασιν ἐπίτηδες αὐτοὺς ἐγκωμίοις, ὅπως αἰδοῖντο φεύγειν. Ε.

Σ. 111. Ἄτη ἐνέδησε βαρείῃ] Τὸ δὲ ἄτη ἐνέδησε βαρείῃ ἀστείως τέτραπται, ὡς ἀπὸ δεσμοῦ βαρύνοντός τινα, καὶ μὴ ἐῶντος προκόπτειν, ἐφ' οἷς χρή. Ε. — Ἐνέδησεν] Ἐνέβαλεν. Σ.

НБ ОНУ імені І.І. Мечникова

Σ. 112. Καὶ κατένευσεν] Τὸ δὲ τὸν Δία ἀπατῆσαι μετὰ τὸ κατανεῦσαι, φανερῶς κωλύει τὸν ἀπόπλουν· οὐ γὰρ δυνατὸν ἐκεῖνον ψεύσασθαι μετὰ τὴν κατάνευσιν, εἴπερ οὐκ ἔστιν οὐδὲν ἔπος ἐκείνου ἀπατηλὸν, ὅ, τι κεφαλῇ κατανεύσει· ὅτι δὲ κατένευσεν, οἱ γέροντες ἐν τοῖς ἑξῆς δηλώσουσι· καὶ ἄλλως δὲ οὐδεὶς ἂν σπουδαῖος ἐναντία ἑαυτῷ βουλεύσηται. —Σχέτλιος] Σχέτλιον δὲ τὸν Δία καλεῖ, ὡς σχετλιοποιὸν, καὶ τοῦ σχετλιάζειν πολλοῖς γινόμενον αἴτιον· ὅτι καὶ ἄλλως οὐχ ὑβριστικὸν ἀεὶ τὸ σχέτλιος, ἐν τοῖς ἑξῆς ἀριδήλως φανήσεται· σχέτλιος γὰρ ἔοικε λέγεσθαι, ὁ πλέον τοῦ δέοντος, καὶ ἐφ' οἷς οὐ καιρὸς, προθυμούμενος, καὶ ὡς εἰπεῖν, ὁρμητίας· ὃν ἔδει σχέσθαι καὶ τλῆναι καὶ μὴ ὁρμῆσαι εἰς τὰ παρόντα. — Ἔστι δὲ ὅ τε σχέτλιος καὶ ὁ πολλὰ ἀνασχόμενος καὶ τλάς· σημείωσαι δὲ καὶ ὡς πρός τινα ὑποσχόμενον, εἶτα δὲ ἀπατήσαντα λεχθείη ἂν τὸ σχέτλιος. Ε.

Σ. 117. Πολλάων πολίων κατέλυσε] Τὸ δὲ ὃς πολλὰς πόλεις κατέλυσε καὶ ἔτι λύσει, οὐδ' αὐτὸ συμβάλλεταί τι πρὸς τὸ φεύγωμεν, ἀλλ' ἀνάμνησίς ἐστι τῶν προτέρων ἀνδραγαθιῶν, ἐν αἷς πολεμαρχοῦντος Ἀχιλλέως εἴκοσι τρεῖς εἷλον πόλεις, ὅθεν οὐκ ἀδύνατον, καὶ τὴν Τροίαν αἱρεθῆναι, καθὰ καὶ ἐκείνας. — Κάρηνα] Μεγαλοπρεπῶς δὲ εἴρηται τὸ κάρηνα, διὰ τὰς ὑψηλὰς πόλεις, καὶ ἐπιδόξους. Ε. Ἀκροπόλεις, ἐξ οὗ βασίλεια. Σ.

Σ. 119. Αἰσχρὸν γάρ] Τὸ δὲ αἰσχρὸν εἶναι, λαὸν τοσοῦτον τῷ πλήθει καὶ τοιόνδε τῇ ἀνδρείᾳ, μάψ' οὕτω πολεμεῖν ὀλιγωτέροις ἀνδράσιν, ἀναντιῤῥήτως ἐμποδιστικὸν τοῦ φεύγειν ἐστὶν, ὡς μὴ ἂν πρέπον ὂν ἐπονειδίστως φεύξεσθαι τοῖς τοιούτοις· καὶ ἄλλως δέ φασι, ταχεῖαν ἐγγυᾶται τὴν νίκην, εἰ πλείους αὐτοὶ τῶν Τρώων καὶ ἰσχυρότεροι, καὶ Δία δὲ ἔχουσι σύμμαχον, οὗ κράτος ἐστὶ μέγιστον. Ε.

Σ. 120. Μάψ] Αἰολέων δὲ ἡ τοῦ μὰψ βραχυλογία, ἐκ τοῦ μάτην. Ε.

Σ. 122. Παυροτέροισι] Οἱ μὲν Τρῶες, χωρὶς τῶν ἐπικούρων ἦσαν ἀριθμῷ μυριάδες έ. Τῶν δὲ Ἑλλήνων τὸ πλῆθος τινὲς μέν φασι μυριάδες δώδεκα, ἄλλοι δὲ ιδ. Σ. — Πέφανται] Ἀντὶ τοῦ πέφηνεν· ὥσπερ καὶ ἀπὸ τοῦ ξηραίνω, ἐξήρανται· οἷον ἐξήρανται ἡ χείρ. Ε.

Σ. 123. Εἴπερ γάρ κ' ἐθέλοιμεν] Δηλῶν πόσον εἰσὶν οἱ

Τρῶες ὀλιγώτεροι, διδάσκει δι' ὑποθετικοῦ τινος σχήματος, ὑπερδεκαπλασίονας εἶναι τοὺς Ἕλληνας τῶν ἐφεστίων Τρώων, ἤγουν ἐγκατοίκων· οἷς καὶ μάλιστα μεμέληκε τῆς μάχης, ὡς τῶν ἐπικούρων, εἰ καὶ ἐκ πολλῶν πόλεων ἦσαν ἐγχέσπαλοι, ὅμως μὴ ὁλοψύχως μαχομένων. Ε.

Σ. 124. Ὅρκια πιστὰ ταμόντες] Τὸ δὲ ὅρκια πιστὰ ταμόντες, ἀντὶ τοῦ τελέσαντες, θύσαντες· τοῦτο γὰρ δηλοῖ τὸ ταμόντες .Ε.

Σ. 125. Ἐφέστιοι] Ἔποικοι, ὅ ἐστιν αὐτόχθονες, πολῖται. Σ. —Ὅσοι ἑστίας, τουτέστιν οἰκίας, αὐτόθι διαμένουσι. Σχολ .Β.

Σ. 126. Διακοσμηθεῖμεν] Κατὰ δεκάδας δὲ διαιρεῖ τοὺς δαιτυμόνας ὁ βασιλεὺς, ἐπεί, φασι, ἔθος ἦν μὴ πλέονας τῶν δέκα συνεσθίειν. Ε.

Σ. 130. Οἳ ναίουσι κατὰ πτόλιν] Τοῦτο δὲ ἐφερμηνευτικόν ἐστι τοῦ ἐφέστιος· ἐφέστιος γὰρ ὁ κατὰ πόλιν οἰκῶν, καὶ ἑστίαν ἔχων· οἱ δὲ ἐπίκουροι κατὰ τοῦτον τὸν λόγον ἐφέστιοι. — Ἰστέον δὲ, ὅτι πάνυ ὀνειδιστικῶς εἰπὼν καὶ πικρῶς τὸ ὑπερδεκαπλασίους ὄντας τοὺς Ἕλληνας τῶν Τρώων, ὅμως μηδὲν ἀνῦσαι, εἰς κρίσιν νίκης ἢ ἥττης, παραμυθεῖται προσηνέστερον τὸ ὄνειδος, ἐπαγαγὼν, ὅτι ἀλλ' ἐπίκουροι πολλέων ἐκ πολίων. — Εἰσὶν ἀνισάζοντες τοῖς Τρωσὶ τὸ ἐλάττωμα.— Δι' ὧν ὀνειδίζει τῷ ἑαυτοῦ συμμαχικῷ ὁ βασιλεὺς, ὡς δέον ὂν ἀναχωρῆσαι, εἴπερ οἱ μὲν ἐπίκτητοι τῶν Τρώων οὕτω μάχονται, αὐτοὶ δὲ οὐκ εἰσὶν ἀξιόμαχοι πρὸς ἐκείνους. Ε.

Σ. 132. Πλάζουσι] Ἀντὶ τοῦ ἀποπλανῶσι τοῦ σκοποῦ. Ε. — Εὖ δὲ τὸ οἰκειοῦσθαι τὴν ἧτταν, καὶ μὴ τὸ κοινὸν ἐλέγχειν. Σ. Β.

Σ. 133. Ἴλιον] (Εὐστ.) Παρασημειοῦνται δὲ καὶ ὅτι Ἴλιον μὲν ὁ ποιητὴς, πολλαχοῦ τὴν Τροίαν λέγει, ἐθνικὸν δὲ οὐδαμοῦ λέγει τοὺς Ἰλιεῖς, ἀλλὰ Τρῶας ἁπανταχοῦ· οὕτω καὶ τὴν Εὔβοιαν εἰδὼς, τοὺς πολίτας οὐ λέγει Εὐβοεῖς, ἀλλὰ Ἄβαντας· τοῦτο δὲ καὶ ἐπὶ ἄλλων ἐν τοῖς ἑξῆς φανεῖται γιγνόμενον. Ε.

Σ. 134. Ἐννέα δὴ βεβάασι] Τὸ δὲ ἐννέα δὴ βεβήκασιν ἐνιαυτοὶ, οὐδ' αὐτὸ προτρεπτικόν ἐστιν εἰς τὸ φυγεῖν· εἶχε γὰρ ἄν τις εἰπεῖν, ὅτι οὐκ ἦν ἡμῖν καιρὸς τοῦ τὴν Τροίαν ἁλῶναι ὁ ἔννατος ἐνιαυτὸς, ὡς ἤδη τῶν ἐννέα βεβηκότων, καιρὸν εἶναι τοῦ φυγεῖν· δεκάτῳ δὲ ἐνιαυτῷ ἁλῶναι τὴν Τροίαν ἔδει· οὗ παρελθόντος καιρὸς ἦν ἀναχωρήσεως· ἐπεὶ

НБ ОНУ імені І.І. Мечникова

δὲ οὔπω παρῆλθεν ὁ δέκατος, μενετέον, ἀλλ' οὐ φευκτέον, καὶ ἐκδεκτέον τὸ πέρας τῆς μάχης. Ε.

Σ. 135. Καὶ δὴ δοῦρα σέσηπε] Τὸ δὲ τὰ δοῦρα σαπῆναι καὶ τὰ σπάρτα λελῦσθαι, ἀριδηλότατον κώλυμά ἐστιν οὐ μόνον φυγῆς, ἀλλὰ καὶ τῆς ἁπλῶς ἐπανόδου· διὰ τοῦτο γάρ φησι καὶ τὸ πλέον τοῦ κινδύνου τοῖς Ἕλλησιν ἐν τῷ νόστῳ γενέσθαι, ναυαγίοις περιπεπτωκόσι διὰ τὴν τῶν νηῶν σαθρότητα. — Δοῦρα δὲ νεῶν πρὸς διαστολὴν τῶν τε κατὰ τὴν μάχην, καὶ τῶν ἁπλῶς ξύλων· κατὰ τὸ, ἀνήλυθεν ἐκ δόρυ γαίης (Ὀδυσσ. Ζ, 167.) — Σέσηπε] Διασέσηπται, ἐκ τοῦ χρόνου. Σ. — Παθητικὸν δὲ τὸ σέσηπε, καθὰ καὶ τὸ διέφθορεν. Ε. — Σπάρτα δὲ τὰ σχοινία, ὡς ἀπὸ παλαιοῦ ἔθους· ἐοίκασι γὰρ, ὃ δὴ καὶ νῦν πολλαχοῦ γίνεται, σπάρτων φυτοῖς χρᾶσθαι οἱ παλαιοὶ εἰς πλοκὴν σχοινίων· καὶ ἦν ἐν λόγῳ σπάρτος Ἰβερικὴ παρὰ τοῖς παλαιοῖς. — Ἴδε δὲ καὶ ὅτι ἐπὶ ξύλου μὲν ἔθηκε τὸ σήπεσθαι, ἐπὶ δὲ σχοίνου τὸ λύεσθαι, ὅ ἐστιν ἀναλύεσθαι. Ε. — Λέλυνται] Διαλέλυνται. Σ.

Σ. 136. Ἄλοχοι] Καὶ τὸ τὰς ἀλόχους δὲ προσμένειν τοὺς Ἕλληνας, αὐτοὺς δὲ μηδὲν ἔτι ἀνῦσαι, ἐπαμφότερα νοεῖται· ὅτι τε ἐπανιτέον τοῖς ποθοῦσιν· ἵνα εἰ καὶ μὴ μετὰ λαφύρων ἐπανέλθωμεν, κἂν γοῦν ἡμᾶς αὐτοὺς ἐπανασωσώμεθα· καὶ ὅτι οὐκ ἐπανιτέον ἀκλεῶς ἐπὶ ἀτελέστῳ ἔργῳ, ἵνα μὴ τὰς ἐλπίδας ἐκείνας αἰσχύνωμεν. — Νήπια δὲ τὰ τέκνα φησὶ, τὰ κατὰ τὸν καιρὸν τοῦ ἀπόπλου ἐαθέντα τοιαῦτα· νῦν γὰρ οὐκέτι ἂν εἶεν νήπια. Ε.

Σ. 137. Ἐνὶ μεγάροις ποτιδέγμεναι] Ἐν μεγάροις προσδέγμεναι. Β.

Σ. 138. Ἀκράαντον] Μονονουχὶ λέγων, ὅτι κἂν πόλεις ἄλλας παρεστησάμεθα, ἀλλ' ὁ σκοπὸς ἡμῖν, οὐκ ἤνυσται, ἡ τῆς Τροίας ἅλωσις· ναὶ μὴν καὶ ἡ τῆς Ἑλένης ἀνακομιδή. Ε. — Αὔτως] Ματαίως. Σ.

Σ. 139. Πειθώμεθα] Ἀντὶ τοῦ πεισθῶμεν. Σ. — Ἐγώ. Β.

Σ. 140. Φεύγωμεν] Ἐνῆν εἰπεῖν, στείχωμεν· ἀλλὰ τῷ αἰσχρῷ ὀνόματι ἀποτρέπει τοῦ ἀπόπλου. Σ. Β.

Σ. 141. Αἱρήσομεν] Οὗτος ὁ στίχος ἀναιρεῖ τὴν ἀμφιβολίαν· διὸ ἔν τισιν οὐ φέρεται. Β.

Σ. 143. Ἐπάκουσαν] Ὅσοι τοῦ προβουλεύματος οὐκ ἤκουσαν τῶν ἡγεμόνων. Σ. (ἴδ. στ. 6.)

Σ. 144. Κινήθη δ' ἀγορή] Ὅτι τὴν τῶν Ἀχαιῶν κίνησιν τὴν ἀπὸ

НБ ОНУ імені І.І. Мечникова

τῆς ἀγορᾶς, ὅτε οἴκαδε ἵεντο, δυσὶ παραβολαῖς διδάσκει ὁποία τις ἦν· μιᾷ μὲν ἀπὸ θαλάσσης, λέγων· κινήθη δ' ἀγορή, κ.τ.λ. — Ἑτέρᾳ δὲ ἠπειρωτικῇ τοιαύτῃ· ὡς ὅτε κινήσει ζέφυρος κ.τ.λ. — Ἐςὶ δὲ κατὰ τοὺς παλαιοὺς αὕτη μὲν ἡ παραβολὴ, διὰ τὴν ὁμοθυμαδὸν ὁρμὴν ἑκάστου τῶν Ἑλλήνων· ἡ δὲ πρώτη πρὸς τὸν τάραχον. (Βιργ. Αἰν. ΙΑ, 296.) — Ὡς κύματα μακρὰ] Κύματα δὲ μακρὰ, τὰ ὑψηλὰ λέγει, τουτέστι τὰ εἰς ὕψος κορυφούμενα· οὕτω γὰρ καὶ μακρὸς Ὄλυμπος, ὁ ὑψηλός· ἔστι δὲ ὅτε ἡ λέξις καὶ τὸ βαθὺ σημαίνει· ὡς ὅτε φρέατα μακρὰ (Φ, 197.) λέγονται, ἤγουν βαθέα, καὶ οὐχ ἁπλῶς, ἀλλὰ πάνυ βαθέα· οὐ γὰρ πᾶν βαθὺ, ἤδη καὶ μακρὸν λέγεται· ἐνταῦθα γοῦν κύματα μὲν μακρά· λήϊον δὲ βαθὺ, οὐ μὴν μακρόν. Ε.

Σ. 145. Πόντου Ἰκαρίοιο] Πόντος δὲ Ἰκάριος μέρος τι τοῦ Αἰγαίου, Εὔρῳ καὶ Νότῳ μάλιστα κυμαινόμενος· ἔνθα ὡς καὶ ὁ περιηγητὴς ἱστορεῖ, μεγάλα ἐγείρονται κύματα. — Κατὰ τὸν γεωγράφον (Στράβ. Ι, σελ. 488, καὶ ΙΔ. σελ. 639.) παράκειται τῇ Σάμῳ νῆσος Ἰκαρία, ἀφ' ἧς τὸ Ἰκάριον πέλαγος· αὐτὴ δὲ ἐπώνυμος Ἰκάρου παιδὸς Δαιδάλου, ὃς κηρίνοις φασὶ πτεροῖς μετεωρισθεὶς πρὸς ἥλιον, καὶ μὴ κρατήσας τοῦ δρόμου, τακέντος τοῦ κηροῦ καὶ περιῤῥυέντων τῶν πτερῶν, αὐτόθι κατέπεσεν. Ε.

Σ. 146. Ὤρορ'] Τὸ δὲ ὤρορε γίνεται μὲν ἐκ τοῦ ὦρα παρακειμένου, ἀττικῶς ὄρωρε, καὶ δηλοῖ τὸ διήγειρεν· ἔπαθε δὲ ὑπέρθεσιν χρόνου, μετατεθέντος τοῦ ω μεγάλου εἰς τὴν ἄρχουσαν. — Οὕτω ποτὲ καὶ ἡ τοῦ Κρονίωνος συστέλλεται παραλήγουσα, χρόνου μεταθέσει· ὁ γὰρ Κρονίων, εἰ μὲν βραχύνει τὸ παραλῆγον δίχρονον, φυλάττει τὸ ω ἐν τῇ γενικῇ, εἰ δὲ ἐκτείνει αὐτὸ, ἀλλάσσει τὸ μακρὸν ω ἐν τῇ γενικῇ· οὕτω καὶ τὸ ἠνάλωτο ἐκ τοῦ ἀνήλωτο μετηλλάγη τῷ χρόνῳ, καὶ τὸ ἠναντιοῦτο, ἀπὸ τοῦ ἐνηντιοῦτο. Ε.

Σ. 147. Ζέφυρος] Ὁ δὲ Ζέφυρος βοῤῥᾶς τίς ἐστι καὶ αὐτὸς συμπληρῶν τοὺς ἀστάχυας. — Καίτοι τινὲς ἑσπέριον, ὅ ἐστιν ἀπὸ δύσεως ἄνεμον τὸν Ζέφυρον λέγουσι. Ε.

Σ. 148. Λάβρος] Λάβρος δὲ ὁ λίαν βαρύς. — Ἐπαιγίζειν δὲ τὸ ἐφορμᾶν, δηλοῖ καὶ ἄνωθεν ἐπιπνέειν. — Τὸ δὲ αὐτὸ καὶ καταιγίζειν λέγεται· δηλοῖ δὲ οὐ πάνυ βιαίαν πνοήν, ἀλλὰ σύντονον. — Τὸ δὲ ἐπί τε ἠμύει ἀσταχύεσσιν, ἀντὶ τοῦ ἐπικλίνεται τὸ λήϊον τοῖς ἀσταχύεσιν, ἤγουν διὰ τῶν ἀστα-

χόων. — Ὥσπερ ἡ μάχη φρίσσει ἐγχείησιν, οὕτω τὸ λήϊον ἀνάπαλιν ἐπικλίνεται ἀσταχύεσσι. Ε.

Σ. 149. Ἀλαλητῷ] Θορύβῳ· προσληπτέον τὴν Σὺν, ἵν' ᾖ, σὺν θορύβῳ. Σ.

Σ. 150. 151. Ἀειρομένη] Ὅρα δὲ τὸ, κονίη ἀειρομένη, ἐξ οὗ ἐπενοήθη τοῖς ὕστερον ἡ τοῦ κονιορτοῦ σύνθεσις· δῆλον γὰρ, ὡς ταὐτὸν κονιορτὸς καὶ κόνις ἀειρομένη, οὐ μὴν κειμένη κάτω. Ε.

Σ. 152. Ἅπτεσθαι] Σημείωσαι, ὅτι τὸ μὲν ἅπτεσθαι ἀντὶ τοῦ ἐπιλαμβάνεσθαι γενικῇ συντέτακται· εἰ δὲ ἐπὶ φιλοφροσύνης, ἢ ἁπλῶς ὁμιλίας ἡ λέξις λαμβάνεται, τότε δὴ αἰτιατικῇ συντάσσεται. Ε.

Σ. 153. Οὐρούς τ' ἐξεκάθαιρον] Ἐν τῷ οὐροὺς ἐξεκάθαιρον, οὐροὶ λέγονται οἱ τόποι, ὅθεν ἡ ναῦς ὁρούει, τουτέστιν, ὁρμᾷ καθελκομένη εἰς θάλασσαν· τούτους δὲ οἱ Ἕλληνες ἐξεκάθαιρον τῆς, ὡς εἰκὸς, τῷ πολλῷ χρόνῳ αὐτόθι συμπεφυρμένης ὕλης. Ε. Ἐξεκάθαιρον· ἐξέσκαπτον. Σ. — Οὐρούς] Ταφροειδῆ ὀρύγματα, δι' ὧν αἱ νῆες καθέλκονται εἰς τὴν θάλασσαν· ἢ τὰς ἀντλίας. Σ.

Σ. 154. Ἕρματα] (ἴδ. Α, στ. 486.) — Τὸ δὲ ταύτας (ἴσως ταῦτα ἕρματα) ὑφέλκειν ἐν τῷ μέλλειν ἀποπλέειν τὴν νῆα, ὑφαιρεῖν λέγει ὁ ποιητής· οἱ δὲ μεθ' Ὅμηρον ἐπὶ τοῦ κλέπτειν τιθέασι τὴν λέξιν, ὡς καὶ τὸ ὑφελέσθαι. Ε.

Σ. 155. Ὑπέρμορα] Ὑπὲρ τὸ προσῆκον, ὑπὲρ τὸ εἱμαρμένον. Σ. — Οὗ πρωτότυπον καὶ κοινότερον καὶ σαφέστερον τὸ ὑπὲρ μοῖραν. Ε.

Σ. 157. Ἀτρυτώνη] Ὁ Ὀδυσσεὺς ἐν ἀρχαῖς ὑπὸ ἀμηχανίας καὶ ἄχους μικρόν τι στὰς, διενοήθη καὶ αὐτὰ ταῦτα, ὡς εἰκὸς, καὶ αὐτὸς εἰς νοῦν ἔλαβεν, ὑπαγορευούσης οἷον τῆς Ἀθηνᾶς. — Σημειωτέον δὲ, ὅπως ὁ Ὅμηρος αὐξήσας τὴν τοῦ πράγματος περιπέτειαν, καὶ εἰς ἄπορον ἀγαγὼν, ἀμήχανον γὰρ ἀνθρωπίνως ἐπισχεθῆναι τοὺς Ἕλληνας, οὕτως οἷον κατακράτος φεύγοντας, ἀκολούθως τῇ τοῦ βασιλέως δημηγορίᾳ θεὸν ἐπεισάγει ἀνύοντα τὸ δυσχερὲς ἀνελπίστως ἐπιφανέντα, ὥσπερ ἔκ τινος μηχανῆς, τὴν Ἀθηνᾶν δηλαδή· καί φασιν οἱ παλαιοὶ, ὅτι πρῶτος Ὅμηρος καὶ τοῖς τραγικοῖς ποιηταῖς μηχανὰς εἰσηγάγετο. Ε.

Σ. 160. Εὐχωλήν] Ἤγουν καύχημα. Ε.

Σ. 163. Μετὰ λαόν] Κατὰ λαόν. Β.

НБ ОНУ імені І.І.Мечникова

Σ. 165. Ἀμφιελίσσας] Ἀμφοτέρωθεν ταῖς κώπαις ἐλαυνομένας· ἤ, εἰς ἑκάτερα τὰ πλευρὰ στρεφομένας. Σ.

Σ. 169. Ἀτάλαντον] Ἤτοι ἴσον τῷ Διῒ κατὰ τὴν βουλήν. — Ἀτάλαντος δὲ ὁ οἷον ἰσόσταθμος· τὸ ᾱ μὲν γὰρ ἐνταῦθα ἰσότητα δηλοῖ κατὰ τοὺς παλαιούς, ἢ ὁμοιότητα. — Τάλαντον οὐ μόνον ὁ σταθμὸς, δι' οὗ τὰ βάρη διακρίνεται τῶν σωμάτων ἐντιθεμένων ταῖς πλάστιγξιν, ἀλλὰ καὶ αὐτὸ τὸ βάρος τὸ σταθμώμενον· ἔστιν οὖν ἀτάλαντος καὶ ὁ τὸν ἴσον ἕλκων σταθμὸν, ἐὰν ταλάντῳ μέλλει κρίνεσθαι. Ε.

Σ. 170. Νηὸς ἐϋσσέλμοιο] Ναῦς δὲ εὔσελμος ἡ ἡ εὔζυγος καὶ εὐκάθεδρος, καθ' ὃ εὔεδρον ἀργὼ φησί που Θεόκριτος (Εἰδύλ. 13. στ. 21.)· σέλμα γὰρ ἡ καθέδρα. Ε.

Σ. 171. Ἄχος] Ἄχος κατὰ τοὺς παλαιοὺς ἡ ἄφωνος ἀνία. Ε.

Σ. 173. Πολυμήχαν' Ὀδ.] Ὁ παντίοις δόλοις κεκοσμῆσθαί που λεχθήσεται. — Τῷ δὲ πολυμηχάνῳ ἐναντία ἡ παρ' ἑτέρῳ ποιητῇ ἀμήχανος γυνή, τουτέστιν, ἀφελὴς καὶ ἁπλοϊκή, καὶ ἄδολος καὶ ἀπάνουργος. Ε. — Πολύβουλε, συνετέ. Σ.

Σ. 175. Πεσόντες] Τὸ πεσόντες ἄτακτον φυγὴν ὀνειδίζει, ὡς εἴπερ ἐδιώκοντο. Ε. — Οὐκ ἐμβάντες. Σ. Β.

Σ. 179. Μηδέ τ' ἐρώει] Τὸ ἐρωεῖν ποτὲ μὲν τὸ ὁρμᾶν, καὶ προπηδᾶν· ποτὲ δὲ καὶ ἀναποδίζειν· φησὶ γοῦν ἐνταῦθα, ἀλλ' ἴθι νῦν μετὰ λαὸν Ἀχαιῶν, ἤγουν εἰς τοὺς Ἀχαιούς· μηδέ τ' ἐρώει, τουτέστι μηδὲ ἀφόρμα καὶ ἐνδιαστικῶς ἀναπόδιζε. Ε. — Ὁρμᾶν ἔα, ἢ μὴ παύου. Σ. Β. — Κατὰ λαόν. Β.

Σ. 180. Ἐρήτυε] Ἤγουν κώλυε. Ε.

Σ. 183. Ἀπὸ δὲ—βάλε.] Ἀπέβαλε τὴν χλαῖναν διὰ τὸ εὐπερίσταλτον, ἵνα ἐν τῷ θέειν ῥᾷον τρέχοι. Ε.

Σ. 184. Κῆρυξ Εὐρυβάτης] Ἰστέον δὲ, ὅτι ἕτερος οὗτός ἐστιν Εὐρυβάτης, καὶ ἕτερος ὁ Ἀγαμέμνονος, οὗ ἐμνήσθη ἐν τῇ Α (στ. 320.)· ἕκαστος γὰρ τῶν βασιλέων εἶχεν ἰδίους κήρυκας. Σ.

Σ. 185. Ἀντίος] Ὁ Ὀδυσσεύς, φησι, παρὰ τοῦ Ἀγαμέμνονος λαμβάνει τὸ σκῆπτρον· οὐχ ἁπλῶς δὲ τοῦτο ποιεῖ, ἀλλ' ἵνα δοκῇ σὺν τῇ τοῦ βασιλέως γνώμῃ κρατεῖν αὐτούς. Σ.

Σ. 186. Δέξατό οἱ] Ἀντὶ τοῦ, παρ' αὐτῷ. Σ. Β. — Ἄφθιτον] Τὸ μὲν ἀθάνατον ἐπὶ ἐμψύχων οἱ φιλόσοφοι τάσσουσι, τὸ δὲ ἄφθιτον ἐπὶ ἀψύχων. Σ.

Σ. 188. Ὅντινα—κιχείη] Ὅτι οὐ τὸν αὐτὸν τρόπον Ὀδυσ-

НБ ОНУ імені І.І. Мечникова

σεῦς μετέρχεται φεύγοντας τούς τε βασιλεῖς, τούς τε δημότας· ἀλλ' ἐκείνους μὲν προσηνέστερον· δειλίαν τε ἀποκαλῶν τὴν τοιαύτην ἀναχώρησιν, ἀνακαλύπτων δὲ καὶ ὅτι πειρᾶται τῶν Ἑλλήνων ὁ βασιλεύς· παραμιγνύων δὲ καί τι φόβου, ἐὰν οὐκ ἐθελήσωσι πεισθῆναι. Καὶ τὸν βασιλέα δὲ ἐπαινῶν, τοὺς δὲ δημότας καὶ πλήττων καὶ ἀπειλούμενος, καὶ ἐξευτελίζων, καὶ ὑβρίζων. Σκοπὸς δὲ αὐτῷ τῆς ἐντρεχείας, τὸ ἐπιστρέψαι τοὺς Ἕλληνας καὶ καθίσαι πάλιν εἰς ἀγορὰν, ἵνα μάθωσιν ἔργοις αὐτοῖς, ὅτι διάπειρα ἦν ἡ τοῦ βασιλέως δημηγορία. Ε.

Σ. 189. Ἀγανοῖς ἐπέεσσιν] Ἀγανοὶ λόγοι οἱ προσηνεῖς. Ε.

Σ. 190. Δαιμόνιε] Αὕτη ἡ λέξις τῶν μέσων ἐστί· δηλοῖ δὲ ἀμφότερα, ὁτὲ μὲν ἐπὶ ἐπαίνῳ λεγομένη, οἷον· Θεῖε, μακάριε, μέγιστε· ἢ Ἀγαθὲ καὶ ἄριστε· ὁτὲ δ' ἐπὶ ψόγῳ, οἷον Ἄφρον καὶ μάταιε· ἢ Χείριστε καὶ φαῦλε· ὁτὲ μὲν οὖν φησι Θεῷ προσφερῆ, ἥσσονα λέγει, ἢ κατὰ Θεόν· ὁτὲ δὲ ἀνθρώπῳ, ὑπερέχοντα ἄνθρωπον, ὡς δηλοῦσθαι ἥττονα μὲν Θεοῦ, ὑπερέχοντα δὲ ἀνθρώπου. Σ. — Τὸ δὲ Δαιμόνιε, μέση λέξις· διὸ καὶ τὸν βασιλέα δαιμόνιον καλεῖ, καὶ τὸν δημότην ὁμοίως δαιμόνιον· ἐκεῖνον μὲν ὡς εὐδαίμονα, τοῦτον δὲ ὡς δυσδαίμονα· τῶν μέσων γάρ ἐστι καὶ ὁ δαίμων καὶ ἡ τύχη.— Ἀεὶ τοίνυν παρὰ τῷ ποιητῇ ἐπαμφοτερίζει τὸ δαιμόνιος, ἀναλόγως τοῖς ὑποκειμένοις προσώποις. Ε.

Σ. 191. Λαούς] Τοὺς ὑπό σε δηλαδή. Ε.

Σ. 192. Οἷος νόος] Ὁποῖος νοῦς, διάνοια· ἀντὶ τοῦ· ἔτι οὐκ οἴδαμεν τί βούλεται, περὶ φυγῆς ἡμῖν λέγων. Σ. — Ἐν δὲ τῷ, Οὐ γάρ πω σάφα οἶσθ' . . . . φανερῶς παριστᾷ, ὅτι ἐν τῷ προβουλίῳ οὐ πάντες παρῆσαν ἀπαραλείπτως οἱ βασιλεῖς, ἀλλ' οἱ ἐπιφανέστεροι καὶ προέχοντες μόνοι. Ε.

Σ. 198. Δήμου τ' ἄνδρα] Δήμου δὲ ἄνδρα τὸν ἰδιώτην λέγει. Ε. — Δήμου ἄνδρα. Β.

Σ. 199. Ὁμοκλήσασκε] Ἠπείλησε μεθ' ὕβρεως. Σ.

Σ. 200. Ἀτρέμας ἧσο] Ἐπὶ μέντοι τῶν βασιλέων ἄλλως εἶπεν, αὐτός τε κάθησο, κ.τ.λ. οὐ μὲν ὅτι καὶ σιώπα. Ε.

Σ.202. Ἐναρίθμιον] Ἀντὶ τοῦ ἐν ἀριθμῷ καὶ λόγῳ κείμενος. Ε.

Σ. 204. Κοίρανος] Βασιλεὺς, ἡγεμών. — Καὶ οἱ Ἀθηναῖοι δὲ, ὁπότε πλείονας παρεῖχον τῷ στρατεύματι ἡγεμόνας, ὡς ἐν Αἰγὸς Ποταμοῖς τοὺς Ἐννέα, ἡττῶντο· ὁπότε δὲ δι' ἑνὸς ἐποιοῦντο τοὺς ἀγῶνας, ἐνίκων, ὥσπερ ἐν τῇ Κνίδῳ ὁ Κόνων,

НБ ОНУ імені І.І. Мечникова

νικῶν τὸ τῶν Πελοποννησίων στρατόπεδον. Σ. — Τριῶν οὖν τῶν μόνον ἀρχῶν, μιᾶς τῆς δημοκρατίας, ἥτις ἐὰν μὴ κατὰ νόμους γένηται, εἰς ὀχλοκρατίαν ἐκπίπτει, καὶ ἑτέρας τῆς ἀριστοκρατίας, ἣν οὐ κατὰ νόμους ἰθυνομένην ὀλιγαρχία μετεκδέχεται· καὶ τρίτης τῆς βασιλείας, ἥτις ἐκπεσοῦσα τοῦ νομίμου εἰς τυραννίδα κατολισθαίνει, ὁ ποιητὴς τὴν ἔννομον μοναρχίαν ἐπαινεῖ· οὐκ ἀποδοκιμάσας οὐδὲ τὰς λοιπὰς, ἀλλὰ τὸ τοῦ καλοῦ κάλλιον ἐπιλεξάμενος· τὸ γὰρ οὐκ ἀγαθὸν πολυκοιρανίη, οὐκ ἤδη κακὸν τὴν ἔννομον πολυαρχίαν ἔδειξε· τὸ γὰρ οὐκ ἀγαθὸν οὐκ ἐξ ἀνάγκης κακόν ἐστιν. Ε.

Σ. 205. Ἀγκυλομήτεω] Ἀγκυλομήτης, ὁ ἐν τοῖς σκολιοῖς πράγμασιν εὐμήχανος· δηλοῖ δὲ τὸ Ἀγκύλον παρὰ τῷ Ποιητῇ τρία· τὸ σκολιὸν κατὰ βούλευσιν, ὡς ὅταν λέγῃ Ἀγκυλομήτην τὸν Κρόνον, καὶ, τὸ περιφερὲς κατὰ σχῆμα, ὡς τὸ· ἀγκύλα κύκλα· καὶ τὸ ἰσχυρὸν, ὡς τὸ· ἀγκύλον ἅρμα. (Ζ, 39.) Σ.

Σ. 207. Κοιρανέων] Διατάσσων, διερχόμενος, καὶ τὸ τοῦ Κοιράνου ἔργον ἐπιτελῶν. — Δίεπε] Διέτασσε, διώκει. Σ.

Σ. 209. Ἠχῇ] Πρὸ μικροῦ ἁπλῶς ἐμνήσθη κυμάτων κινουμένων ἐν μέσῳ πελάγει· ἐνταῦθα δὲ καὶ προσρυσσομένων αἰγιαλῷ μεγάλῳ, καὶ διὰ τοῦτο μεῖζον βοώντων διὰ τὸ τοῦ ἤχου διπλοῦν, τότε ἐν τῷ πόντῳ καὶ τὸ ἐν τῷ αἰγιαλῷ· ἐπαινεῖται δὲ ἡ παραβολὴ διὰ τὰς τραχείας ὀνοματοποιΐας· τὸ, ἠχῇ· τὸ, πολυφλοίσβου· τὸ, βρέμεται· τὸ, σμαραγεῖ· δι' ὧν ἡ φράσις τῷ νοουμένῳ συνεκτραχύνεται. Ε. — Κῦμα] Τοῦτο πρὸς τὴν κίνησιν, τὸν δὲ βρόμον πρὸς τὴν ἀπήχησιν. Σ.

Σ. 212. Θερσίτης δ' ἔτι μοῦνος] Ὅτι διδάσκων ὁ ποιητὴς, ὡς οὐδὲν καινὸν, ἐν πολλῷ πλήθει πεπαιδευμένων ἀνδρῶν καὶ ἀτάκτους εἶναί τινας καὶ ἀτασθάλους καὶ ἀσωφρονίστους, ποιεῖ ἐνταῦθα, ὡς ἐν λόγῳ ἐπεισοδίου τινὰ Θερσίτην ἀκαιρολόγον ἄνδρα καὶ ἐπεσβόλον καὶ οὐκ ἐν δέοντι παῤῥησιαστικὸν, τοῖς ἀρίστοις ἑαυτὸν ἐξισοῦν ἐθέλοντα. — Οἱ δὲ παλαιοὶ παρασημειοῦνται ἐνταῦθα, ὅτι οὐ μόνον Ξενοφάνης πεποίηκε σιλλοὺς, ἐν οἷς εὐδοκίμηκεν (εὐδοκίμησεν), ἀλλὰ καὶ τούτου τοῦ εἴδους πρῶτος κατῆρξεν Ὅμηρος, ἐν οἷς αὐτός τε τὸν Θερσίτην σιλλαίνει, καὶ ὁ Θερσίτης τοὺς βασιλεῖς· εἰσὶ δὲ οἱ σιλλοὶ ποιήσεως εἶδος κωμικῆς. Ε. — Ἐζήτηται δὲ, διὰ ποίαν αἰτίαν ὁ Θερσίτης ἐστράτευσεν εἰς Τροίαν, τοιοῦτος ὤν; ῥητέον οὖν,



НБ ОНУ імені І.І.Мечникова

ὅτι ἤτοι στασιώδης ὢν οὐκ ἀπελείφθη ἐπὶ τῆς πατρίδος· ἤ,
ὅτι κατεπεισόδιον παρῆκται πρὸς τὸ ἐκ σκυθρωποῦ πρὸς ἱλα-
ρότητα τὰς ψυχὰς ἀνακαλέσασθαι τῶν Ἑλλήνων· ὥσπερ εἴλη-
πται καὶ Ἥφαιστος γέλωτος χάριν παρὰ τοῖς Θεοῖς ἐν τῇ ά
(595.). Λαμβάνεται δὲ πᾶν ἐπεισόδιον τῷ ποιητῇ ἢ πιθανότη-
τος ἕνεκεν· ἢ χρείας, ὥσπερ τοῦτο νῦν· ἢ κόσμου καὶ ὑψώσεως
χάριν. Σ. —Ἀμετροεπής] Ἀμετροεπὴς δέ ἐστιν ὁ ἀπεραντολόγος
κατὰ τοὺς παλαιοὺς, καὶ μὴ μέτρον εἰδὼς λόγου· διὸ καὶ
ἄκοσμά φησιν αὐτὸν εἰδέναι καὶ πολλά· πολλὰ μὲν, ὡς πο-
λυλόγον· εἴγε πάντων σιγώντων αὐτὸς λαλεῖ· ἄκοσμα δὲ, διότι
μάτην καὶ οὐ κατὰ κόσμον ἤριζε τοῖς βασιλεῦσι· πῶς γὰρ
οὐ μάτην λαλεῖ, ὃς μήτε ὑπὲρ ἑαυτοῦ λέγει, μήτε ὑπὲρ φίλου,
ἀλλὰ διὰ φθόνον, τὸν πρὸς τοὺς κρείττονας, διασείει τὸν λαόν.
— Ἐκολῴα] Τὸ δὲ ἐκολῴα δηλοῖ τὸ ἐθορύβη.

Σ. 214. Οὐ κατὰ κόσμον] Ἔνθα ὅρα, ὅτι τε τὸ οὐ κατὰ
κόσμον ἑρμηνεία ἐστὶ καὶ τοῦ μάψ, καὶ ὅτι οὐχ ἁπλῶς ψέ-
γεται ὁ βασιλεῦσιν ἐρίζων, ἀλλὰ ὁ μάτην. Ε. — Οὐ κατὰ
τὸ πρέπον, ἀτάκτως· τουτέστιν, οὐ δικαίως ἐφιλονείκει τοῖς
βασιλεῦσιν. Σ.

Σ. 215. Ἀλλ'... Ἀργείοισι] Τὸ δὲ, ἀλλ', ὅ τι οἱ εἴσαιτο
κ. τ. λ. διπλῆν ἔννοιαν ἔχει· ἢ γὰρ λέγει ὡς ὅπερ ἂν αὐτῷ
εἴσαιτο, ἤγουν δόξοι, ἐκεῖνο γελοῖον ἦν τοῖς Ἀργείοις, ἤγουν
τὰ τῷ Θερσίτῃ σπουδαῖα, γέλως ἦσαν τοῖς Ἀχαιοῖς· ἢ ὅτι
ἐκεῖνο ἀκόσμως πρὸς ἔριν ἐλάλει, ὅπερ ἂν αὐτῷ ἐδόκει γε-
λοῖον εἶναι τοῖς Ἀχαιοῖς· ἵνα δείξῃ διὰ τούτου, πάνυ γελοῖον
καὶ αὐθάδη τὸν Θερσίτην. — Οἱ πλεῖστοι γελοῖον μὲν προ-
περισπωμένως τὸν γελωτοποιὸν λέγουσιν, οἷον τὸν μῖμον, γε-
λοιον δὲ, τὸν καταγέλαστον. Ε. — Ἀλλ' ὅπερ ἂν ἐνόμιζεν
ὁ Θερσίτης ἀναγκαῖον εἶναι, τοῦτο γέλωτος πολλοῦ ἄξιον
ἐφαίνετο τοῖς Ἕλλησιν. Σ.

Σ. 216. Αἴσχιστος] Αἴσχιστος δὲ, ὁ δύσμορφος. — Λυ-
κόφρων δὲ εἰδοποιήσας τὸ τοῦ Θερσίτου αἶσχος, πιθηκόμορ-
φον αὐτὸν ὠνόμασεν. Ε. (στ. 1000.)

Σ. 217. Φολκός] Ὁ στραβὸς, ὁ τὰ φάη, τουτέστι τοὺς
ὀφθαλμοὺς, μὴ ὀρθὰ ἔχων, ἀλλὰ ἐστραμμένα καὶ παρειλκυ-
σμένα τῆς κατὰ φύσιν ὀρθότητος. Ε.

Σ. 218. Συνοχωκότε] Τὸ δὲ συνοχωκότε, δηλοῖ μὲν τὸ
συμπεπτωκότας· γίνεται δὲ ἀπὸ τῆς ξυνοχῆς, ἥτις παρὰ τῷ

НБ ОНУ імені І.І. Мечникова

Ποιητῇ δηλοῖ τὴν ἀπὸ πλατέος εἰς στενὸν σύμπτωσιν. Ε. — Ἐπὶ στῆθος] Ἐπὶ στῆθος δὲ, ἵν' ὁρῷτο τὸ κυρτὸν ἔμπροσθεν. Σ. Β. — Συνοχωκότε. Β.

Σ. 219. Φοξός] Ὀξυκέφαλος. Σ. — Φοξὴ δὲ κεφαλὴν λέγεται ὁ εἰς ὀξὺ λήγουσαν ἔχων αὐτὴν, λεγόμενος οὕτω, ἢ ἀπὸ τῆς ὀξύτητος, ἢ κατὰ τοὺς παλαιοὺς ἐξ ὁμοιότητος τῶν πυριῤῥαγῶν ὀστράκων, ἅπερ φοξὰ λέγεται· οἱονεί τινα φλοξά· προμήκης οὖν ἡ κεφαλὴ τῷ Θερσίτῃ καὶ διὰ τοῦτο γελοῖα· ὅπουγε καὶ ὁ μέγας ἐκεῖνος Περικλῆς ὀνειδισμόν τινα εἶχεν, ὡς ἱστορεῖ Πλούταρχος (Περικλ. σελ. 153.), διὰ τὸ τῆς κεφαλῆς πρόμηκες. — Ψεδνὴ δὲ, κ. τ. λ.] Ὡς ἂν μὴ λανθάνῃ τὸ ἐκείνης φοξὸν τῇ κόμῃ ἐπικρυπτόμενον· ἔστι δὲ ψεδνὴ, ἡ λεπτὴ (ἀραιὰ, μαδαρά. Σ.). — Λάχνη] Λάχνη δὲ ἡ τρίχωσις, παρὰ τὸ λά ἐπιτατικὸν, καὶ τὸ χνοῦς, ὃ δηλοῖ βραχεῖάν τινα καὶ λεπτὴν τριχῶν ἀνάφυσιν, ὁποία καὶ ἡ τῶν βρεφῶν. — Τὸ δὲ ἐπενήνοθεν εἰς μὲν γραφὴν πεζὴν πάντη ἐστὶν ἀσυντελές· σημαίνει δὲ τὸ ἐπέθεε, καὶ ἐπέτρεχεν — ἔστι χρόνου μέσου παρακειμένου. Τὸ γὰρ θέω ὑπερβιβασθὲν γίνεται ἔθω, καὶ μετὰ προθέσεως ἐνέθω, οὗ μέσος παρακείμενος ἤνοθα, ἐξ οὗ τὸ ἐπενήνοθα. Ε. — Ἢ κατὰ Φιλόξενον, ἐκ τοῦ ὄθω, τὸ κινῶ, γίνεται ἐνόθω, ἐξ οὗ καὶ Ἐνοσίχθων. Ἐνόθω, ὁ μέλλων ἐνόσω· ὁ παρακείμενος, ἤνοκα, ὁ μέσος, ἤνοθα, καὶ διπλασιασμῷ Ἀττικῷ ἐνήνοθα, ὅπερ ἄμεινον. Σ. — Ἐπενήνοθε] Ἐπήνθει, ἐπέκειτο. Σ.

Σ. 221. Τότ' αὖτ' . . .] Εἶθ' οὕτως τὸν Ἀγαμέμνονα. Δ.

Σ. 222. Κεκληγώς] Ὅτι οὐχ ἁπλῶς βοᾷν, ἀλλὰ κλάζειν ὁ ποιητὴς τὸν Θερσίτην φησὶ, σκώπτων εἰς ἀλογίαν· ἀλόγων γὰρ ζώων τὸ κλάζειν. Ε.

Σ. 226. Χαλκοῦ] Διὰ τί ἀπὸ τῶν ἄλλων τοῦ χαλκοῦ ἐμνήσθη; διότι τίμιος ἦν τοῖς ἀρχαίοις ὁ χαλκός. Σ. Β. — Ἔνια τῶν ἐνταυθοῖ νοημάτων ἐκ τῆς τοῦ Ἀχιλλέως δημηγορίας παρείλκυσται· ὡς οἷον τυχαίως καὶ κατά τινα συνέμπτωσιν· ἢ καὶ κατὰ παραποίησιν· τὸ μὲν γὰρ πλεῖαί τοι χαλκοῦ κλισίαι εἰς τὸ φιλοκτέανον ἀποτείνεται, ὅπερ ὠνείδισεν ὁ Ἀχιλλεὺς τῷ βασιλεῖ, ἀορίστως αὐτὸς εἰπὼν, εἰ καὶ ὁ Θερσίτης ὑπερβολικῶς ναυσὶν ὅλαις τὸν βασιλικὸν πλοῦτον ηὔξησε. Ε.

Σ. 228. Ἕλωμεν] Οὗτος μὲν οὖν ἕλωμέν φησιν· ὁ δὲ



НБ ОНУ імені І.І. Мечникова

Ἀχιλλεὺς, Τρώων ἐκπέρσωσ'· οὗτος γὰρ καὶ ἑαυτῷ ἐπιγράφει τοὺς πολεμίους. Σ.

Σ. 230. Υἷος ἄποινα] Προσληπτέον τὴν ὑπὲρ πρόθεσιν, ἵν' ᾖ, ὑπὲρ υἱοῦ δῶρα. Σ.

Σ. 231. Ὅν κεν ἐγὼ δήσας] Ἐνταῦθα καὶ τῶν ἄλλων προὔθηκεν ἑαυτὸν, ὃ δὴ δείκνυσιν, αὐτὸν καὶ γελοῖον παρὰ πᾶσιν ὑπὲρ πάντα· πάντως δὲ ἐπιθεὶς τῷ στήθει τὴν χεῖρά φησι. Σ.

Σ. 232. Ἠὲ γυναῖκα νέην] Τὸ δὲ ἢ γυναῖκα νέην, ἀκαταλλήλως ἔχει πρὸς τὴν συνήθη σύνταξιν· ὤφειλε γὰρ οὕτως ἔχειν, ἢ χρυσοῦ ἐπιδέῃ ἢ γυναικὸς νέης· ὁ δὲ ποιητὴς ἴσως θυμούμενον ἄνθρωπον μιμούμενος ποιεῖ τὸν Θερσίτην ἐκλαθούμενον τῆς τοῦ λόγου ἀκολουθίας. Ε. — Ἐλεεινὸς παρ' αὐτοῦ καὶ ἐφύβριστος διὰ Χρυσηίδα ὁ βασιλεὺς δείκνυται· τὸ δὲ ἄγω, ἀπὸ κοινοῦ. Σ.

Σ. 233. Νόσφι κατίσχεαι] Ταὐτόν ἐστι τῷ νοσφίζῃ καὶ ἰδίᾳ κατέχεις καὶ χωρίζεις ἢ ἀποστερεῖς. Ε. — Ἀπονόσφι. Β.

Σ. 234. Κακῶν ἐπιβασκέμεν] Εἰσὶ δὲ κακὰ, ὧν ἐπιβάσκει τοὺς Ἕλληνας ὁ βασιλεὺς Ἀγαμέμνων, ὁ λοιμὸς, ὁ δι' αὐτὸν γεγονὼς, καὶ ἡ τοῦ Ἀχιλλέως ἀπόστασις. — Ἐπιβαίνω μὲν ἐγὼ, ἐπιβάσκω δὲ ἄλλους, ἤγουν ἐπιβαίνειν ποιῶ κακῶν. Ε.

Σ. 235. Ὦ πέπονες κακ' ἐλέγχε'] Πάνυ δὲ ἀνασειστικὰ ταῦτα τοῦ ὄχλου· διὸ καὶ Ὀδυσσεὺς δεδιὼς, μήποτε, οὓς αὐτὸς πόνῳ ἤθροισε, ῥᾷον ἀνασοβήσας ὁ Θερσίτης διασκεδάσῃ, ποιεῖ κατ' αὐτοῦ τὰ ἑξῆς δηλωθησόμενα· εἰσὶ δὲ πέπονες μὲν οἱ ἔκλυτοι, ἀπὸ μεταφορᾶς τῶν πεπόνων καρπῶν, οἳ ἔκλυτοι, γίνονται πεπανθέντες· ὥσπερ αὖ πάλιν οἱ ὠμοὶ τῶν καρπῶν σκληροὶ ὄντες, ἐπίθετον γεγόνασι τοῖς ἀνενδότοις ἀνθρώποις, καὶ ἀνυπείκτοις. — Δῆλον οὖν, ὅτι πέπων κυρίως πᾶς καρπός, φασιν, ὡραῖος τοῦ φαγεῖν — οὕτω δὲ καὶ μῆλα καὶ μόρα πέπονα. Β. — Τὸ πέπονες παραλαμβάνεται ἐπὶ ἐπαίνου καὶ ψόγου· καὶ ἐνταῦθα μὲν, ἐπὶ ψόγου· ἡ δὲ μεταφορὰ ἀπὸ τῶν πεπαινομένων καρπῶν, οἱ μετρίως πεπανθέντες, εὔχρηστοι καὶ εὐαπόδεκτοι· ὑπερπεπανθέντες δὲ, ἔκλυτοι καὶ σεσηπότες, διὸ ἡ λέξις τὰ ἐναντία σημαίνει· ἐπὶ δὲ τοῦ ἐπαίνου, ὡς τὸ, ὦ πέπον, ὦ Μενέλαε. Β. — Ἀχαιΐδες οὐκ Ἀχαιοί] Τὸ δὲ Ἀχαιΐδες

οὐκέτ' Ἀχαιοὶ, δηλοῖ μὲν τὸ γυναῖκες οὐκέτ' ἄνδρες· λέγεται δὲ παρονομασία ὑπὸ τῶν παλαιῶν. Ε.

Σ. 236. Οἴκαδε . . . νεώμεθα] Τὸ δὲ οἴκαδε νεώμεθα, διόρθωσις οἱονεὶ ἐστὶ τοῦ φεύγωμεν, ὅπερ φθάσας ὁ βασιλεὺς εἶπεν. — Ἔστι δὲ τὸ νεώμεθα, ἀντὶ τοῦ νοστήσωμεν. Ε.

Σ. 237. Γέρα πεσσέμεν] Πέσσειν δὲ γέρα, τὸ κατέχειν καὶ ταμιουχεῖν — τινὲς δὲ ἀντὶ τοῦ κατακυβεύσειν (κἀλ. κατακυβεύειν, Σ) ἴδ. Λ, 81.

Σ. 241. Ἀλλὰ μεθήμων] Δηλοῖ δὲ ὁ μεθήμων οὐ τὸν πρᾶον, ἀλλὰ τὸν πέπονα, καὶ ἀμελητὴν καὶ ἔκλυτον, ἀπὸ τοῦ μεθιέναι· ἐνταῦθα δὲ λεληθότως καὶ τὴν ἀνδρίαν τοῦ Ἀχιλλέως καταῤῥίπτει ῥωμαλέον μὲν πάνυ αὐτὸν ὑπεμφαίνων, χαῦνον δὲ καὶ οὐ θαρσαλέον, οὐδὲ ἐντρεχῆ. Ε. μεθήμων· ἀμελής. Σ. — Τοῦτο δὲ πρὸς τὸ ἀτελὲς τῆς ξιφουλκίας φησίν. Β.

Σ. 243. Ὣς φάτο] Ταῦτα εἰπόντα τὸν Θερσίτην ὁ μὲν βασιλεὺς ἀφίησι ληρεῖν· τάχα μὲν καὶ ὡς αἴτιον ἑαυτὸν εἰδὼς τῆς τε νῦν κινήσεως τῶν πραγμάτων, καὶ τῆς τοῦ Ἀχιλλέως ὕβρεως· καὶ διὰ τοῦτο νοῶν ταπεινὰ καὶ αἰδούμενος, ἤδη δὲ καὶ διὰ τὸ τοῦ ἤθους βασιλικόν· ὑπερφρονεῖ γὰρ τοῦ φαυλοτάτου Θερσίτου, καθὰ καὶ τὸν Ἀλεξάνδρου φασὶ κύνα, τὰ μὲν μικρὰ θηρία παριέναι, ὁρμᾷν δὲ ἐπὶ τὰ κρείττω. — Ὀδυσσεὺς δὲ, ᾧ καὶ ἔχθιστος ἦν, ἐφίσταται αὐτῷ, καὶ σωφρονίζει, ὡς μετ' ὀλίγα γνωσόμεθα. Ε.

Σ. 245. Ἠνίπαπε] Ἐκακολόγησεν, ἐπέπληξε. Σ.

Σ. 246. Ἀκριτόμυθε] Ἔστι δὲ ἀκριτόμυθος, ἢ ὁ πολύλογος, ἢ ὁ ἀδιευκρίνητος ἐν τῷ λέγειν καὶ ἄκοσμος· εἰ γάρ τις τὴν αὐτοῦ δημηγορίαν σκέψεται, ἧς τέλος ἐστὶ τὸ οἴκαδε νεώμεθα, πολυλογίαν μὲν ἔχει καὶ τραχύτητα κατὰ τοῦ βασιλέως, κατασκευὴν δὲ τῆς ἀξιώσεως οὐδεμίαν τῆς ἀξιούσης οἴκαδε νέεσθαι. Ε.

Σ 248. Ἐγὼ σέο φημὶ] Ὅτι ἐν πολλοῖς τὸ φημὶ ἀξιωματικῶς καὶ ἀποφαντικῶς οἱ παρὰ τῷ ποιητῇ δημηγοροῦντες τιθέασιν, ὡς εὖ εἰδότες, καὶ, ἐφ' οἷς λέγουσιν, ἀληθεύοντες. Ε.

Σ. 250. Ἀνὰ στόμ' ἔχων] Διὰ στόματος ἔχων, λοιδορῶν. Σ.

Σ. 251. Νόστον τε φυλάσσοις] Τὸ δὲ νόστον φυλάσσοις, ἀντὶ τοῦ ἐπιτηροίης καὶ παρακατέχοις εἰς ἀφορμὴν στάσεως καὶ ἀποστάσεως. Ε. — Ἐπιτηροίης τὸν καιρὸν τοῦ ἀπόπλου. Σ.

Σ. 255. 256. Ὅτι οἱ μάλα διδοῦσιν] Ὅτι Θερσίτου εἰπόν-

НБ ОНУ імені І.І.Мечникова

τος, ὡς πολλὰς γυναῖκας δίδομεν οἱ Ἀχαιοὶ τῷ βασιλεῖ, καὶ οὕτω φίλα μὲν τῷ δήμῳ λέγοντος, κοινοποιουμένου δὲ τὴν εὐεργεσίαν διὰ τοῦ δίδομεν· ἔτι δὲ εἰπόντος, καὶ ὅτι ἐγὼ δήσας ἄγω αἰχμάλωτον, δι' οὗ χρυσὸς προσγίνεται τῷ βασιλεῖ, Ὀδυσσεὺς εἰς ὑπερβολὴν ἀντιδημαγωγῶν, καὶ τὴν τοῦ Θερσίτου ὑπὲρ ἑαυτοῦ σεμνολογίαν ἐξαφανίζων μέμφεται αὐτὸν λέγων ἐν ἐρωτήσει· κάθησαι ὀνειδίζων — ἥρωες Δαναοί; — Σὺ δὲ δίδως μὲν πρᾶγμα οὐδὲν, ἀγορεύεις δὲ κερτομῶν, ὅ ἐστι δακνηροὺς μόνον λόγους δίδως τῷ βασιλεῖ. — Ἧσαι ὀνειδίζων] Τὸ δὲ ἧσαι ὀνειδίζων, ἀντὶ τοῦ διατρίβεις, ἀργεῖς· οὐ γὰρ ἐκάθητο ἀληθῶς ὁ Θερσίτης, ἀλλὰ ἵστατο. Ε.

Σ. 259. Μηκέτ' ἔπειτ'] Ὅτι μέλλων εἰπεῖν ὁ Ὀδυσσεὺς, ὡς ἐὰν μὴ τόδε ποιήσω, μηκέτι ζώην μήτ' ἐγὼ, μήτ' ὁ υἱός μου Τηλέμαχος, οὕτω περιφράζει, μηκέτ' Ὀδυσσῆϊ, κ. τ. λ. τούτων γὰρ τὸ μὲν πρῶτον ἐπαρᾶται στρατιωτικώτερον τὸν ἐκ πολέμου θάνατον· τὸ δὲ ἐφεξῆς τὸν τοῦ υἱοῦ θάνατον δηλοῖ· Τηλεμάχου γὰρ θανόντος, οὐκέτι πατὴρ ὁ Ὀδυσσεύς. Ε.

Σ. 262. Τά τ' αἰδῶ ἀμφικαλύπτει] Τὸ δὲ, Τά τ' αἰδῶ ἀμφικαλύπτει, περιφραστικῶς εἶπεν· οὐ γὰρ ἔκειτο ἴσως μία λέξις δηλωτικὴ τοῦ καλύμματος τῆς αἰδοῦς, ὅπερ οἱ Ῥωμαῖοι μὲν βράκαν φασίν· ἕτεροι δὲ ἀναξυρίδα ἐκ τοῦ ἀνασύρεσθαι. Ε.

Σ. 265. Σκήπτρῳ δὲ μετάφρενον ἠδὲ καὶ ὤμω] Σημείωσαι δὲ ὅτι, ἀπειλησάμενος Ὀδυσσεὺς πλῆξαι τὸν Θερσίτην καὶ μηδένα ἰδὼν δυσχεράναντα, εὐθὺς ἐπιτίθησι καὶ πληγήν. — Μετάφρενον] Μετάφρενον δὲ λέγεται τὸ ἀπὸ αὐχένος ἕως ὀσφύος· μᾶλλον δὲ τὸ ἀντικρὺ ὄπισθεν τῶν φρενῶν. Ε. — Τὸν μεταξὺ τῶν ὤμων τόπον. Σ.

Σ. 266. Ὁ δ' ἰδνώθη] Ἰδνωθῆναι δέ ἐστι τὸ συγκαμφθῆναι· καὶ γίνεται ἀπὸ τοῦ τὸ ἰνίον δονηθῆναι μεταθέντος (ἴσως μετατεθέντος) τοῦ δ ὀπίσω τοῦ ν· ἔστι δὲ ἰνίον τὸ ὀπίσω τῆς κεφαλῆς, οὗ συμπίπτοντος ἐπὶ τὸ κάτω, καὶ συσπωμένου πρὸς τοῖς ὤμοις, ἰδνοῦσθαι λέγεται ὁ τοῦτο πάσχων. Ε. — Ἀπὸ τῆς ὀδύνης συνεκάμφθη. Σ. — Θαλερὸν δὲ οἱ ἔκπεσε δάκρυ] Θαλερὸν δὲ δάκρυον, ἢ τὸ ἀκμαῖον, ἢ τὸ ἔνικμον· ἐκ μεταφορᾶς τῶν θαλλόντων φυτῶν. Ε. — Θερμὸν, ἀκμαῖον. Σ.

Σ. 267. Σμῶδιξ δ' αἱματόεσσα] Σμῶδιξ δὲ ὁ ὕφαιμος μώλωψ· ὑποτρέχοντος γάρ φασιν αἵματος, κατ' ὀλίγον ἐξέφθηκεν·

ὅπερ διὰ τοῦ ἐξυπανέστη δηλοῦται, ὡς μετ' ὀλίγα εἰρήσεται — ὅ ἐστιν οἴδησε. Σ.

Σ. 269. Ἀχρεῖον ἰδών] Τὸ δὲ ἀχρεῖον ἰδεῖν, τὸ ἀκαίρως ὑποβλέψαι. καὶ ἐπὶ οὐδεμιᾷ χρείᾳ, ἢ ἀντὶ τοῦ μιμοειδὲς καὶ ἀχρειοποιόν, ὡς ἀμορφωθέντος τοῦ προσώπου τοῖς δάκρυσι. Ε. — Ὀργιζομένου δὲ, καὶ μὴ δυναμένου ἀμύνεσθαι, τὸ βλέμμα διαγράφει. Σ. — Ἀπεμόρξατο δάκρυ] Ἀπομόργεσθαι καὶ ἀπομόργνυσθαι κυρίως τὸ ἐκπιέζειν· ὅθεν ἀπεμόρξατο δάκρυον ἀντὶ τοῦ ἐξέθλιψε. Ε. — Ἀπομόρξατο. Β.

Σ. 270. Ἀχνύμενοί περ] Καί τοι ἀχνύμενοι ἐπὶ τῇ ἀναβολῇ τῆς ἀνακομιδῆς, ἤγουν ἐπὶ τῇ ἀργίᾳ τοῦ νόστου, ὅμως ἐπ' αὐτῷ ἡδὺ ἐγέλασαν. Ε.

Σ. 273. Βουλάς τ' ἐξάρχων] Τὸ δὲ βουλὰς ἐξάρχων ἀγαθὰς, ἔλλειψιν ἔχει προθέσεως, ἵνα ᾖ, εἰς βουλὰς ἐξάρχων ἀγαθάς· ἄλλως γὰρ τὸ ἐξάρχειν γενικῇ συντάσσεται· ἔφη γοῦν πρὸ μικροῦ, βουλὰς ἐξῆρχε νέεσθαι· ὁμοίως δὲ ἐλλιπὲς καὶ τὸ κορύσσων πόλεμον· οὐ γὰρ κυρίως ἂν λέγοι τις κορύσσειν μάχην, ἀλλὰ κορύσσειν τινὰς εἰς μάχην· εἰ μή τις σωματοειδῶς νοεῖ τὸν πόλεμον. Ε.

Σ. 274. Τὸ δή] Τό δε. Β. — Ἔρεξεν] Ἔπραξεν. Δ.

Σ. 275. Ἐπεσβόλον] Ἐπεσβόλον αὐτὸν λέγει, τουτέστιν, ἔπεσιν, ὡς βέλεσι βάλλοντα, ὃ ταὐτόν ἐστι τὸ (Ι. τῷ) βλάσφημον. Ε.

Σ. 276. Ἀγήνωρ] Αὐθάδης, ὑβριστὴς, καὶ θρασύς. Ἔστι δὲ, ὅτε δηλοῖ καὶ τὸν ἀνδρεῖον. Σ. (ἴδ. Α, 205.). — Πάλιν] Τοῦτο διὰ τὸ μὴ ἔτι μνησθῆναι αὐτοῦ ἐν τῇ ποιήσει· τὸ δὲ πάλιν, εἰς τοὐπίσω. Σ. Β. — Ἀνήσει] Ἀναπείσει, παρορμήσει. Σ.

Σ. 279. Ἀθήνη] Ἡ δὲ Ἀθηνᾶ πρὸς ἡσυχίαν καὶ πειθώ· πῶς γὰρ ἄλλως ἡσύχασαν, οὓς πρώην ἐννέα ἐπεῖχον κήρυκες μόγις. Β.

Σ. 284. Νῦν δή σε, ἄναξ] Ὅτι ποικίλη μὲν ἡ τοῦ Ὀδυσσέως δημηγορία καὶ πολυειδὴς τοῖς ἤθεσιν, ἀπαλωτέρα δέ· πῇ μὲν γὰρ ἀποτείνεται πρὸς τὸν βασιλέα, πῇ δὲ στρέφεται πρὸς τὸν λαόν· καὶ νῦν μὲν ὀνειδίζει τοῖς Ἕλλησι τὸ μὴ θέλειν τὴν τοῦ βασιλέως τιμὴν, ἀλλὰ σπεύδειν φυγεῖν ἀγεννῶς· νῦν δὲ παραμυθεῖται καὶ οἷον ὑπεραπολογεῖται αὐτῶν, ὡς μὴ φύσει ἀγεννῶς ἐχόντων, ἀλλὰ κεκμηκότων τῷ πολυετεῖ τοῦ πολέμου, καὶ οὕτω ταλαντεύσας ἐν ἰσότητι τὰ νοήματα, καὶ οἱονεὶ

НБ ОНУ імені І.І.Мечникова

δείξας τοὺς Ἀχαιοὺς οὔτε ἐπαινετοὺς, οὔτ' αὖ πάλιν ψεκτοὺς, εἴπερ νόστου μέμνηνται, ὕστερον ἐπάγει παράκλησιν, καὶ ἀξιοῖ μένειν, ὡς ἤδη παρὰ βραχὺ ἐλθόντας τοῦ Τροίαν ἑλεῖν, κατὰ τοὺς παλαιοὺς χρησμοὺς, οἷς οὐδ' αὐτοὶ ἔχουσιν ἀντειπεῖν. — Ὁ δὲ Νέστωρ καταφορικῶς τὸν λόγον ἐν τοῖς ἑξῆς μεταχειριζόμενος καὶ ὑψηλότερον, τήν τε τοῦ Ὀδυσσέως δημηγορίαν μέμφεται, καὶ πολλὰ τῶν ἐκείνου νοημάτων ἐπανορθοῖ, καὶ τοὺς Ἕλληνας κολακεύειν οὐκ ἀνέχεται, ἀλλὰ καὶ ἀσεβείας αὐτοὺς γράφεται, ὡς ἐπιόρκους καὶ παρασπόνδους καὶ ἀναγκαίως αὐτοὺς ἀπαιτεῖ πολεμεῖν· καὶ τὸν βασιλέα θυμὸν δίκαιον κατ' αὐτῶν ἀναλαβέσθαι κελεύει, ἐὰν μὴ πείθοιντο, καὶ, θάνατον ἀπειλεῖται τῷ λειποτακτοῦντι, καὶ ὅπως δεῖ ἐκτάξαι τὸν πόλεμον, ὑποτίθεται. — Ἰστέον δὲ καὶ ὅτι ἐξαρχῆς μὲν ὁ Ὀδυσσεὺς οὐ προσφθέγγεται τοὺς Ἕλληνας, ἀλλὰ τὸν βασιλέα· εἶτα λέγει καὶ ὅτι, ὡς ἢ παῖδες νεαροὶ, κ. τ. λ. ποιεῖ δὲ τοῦτο, λεαίνων τεχνικῶς τὸν λόγον καὶ τὸ πάνυ πικρὸν ἀφαιρῶν· ἐλύπει γὰρ τοὺς Ἕλληνας, εἰ πρὸς ἐκείνους αὐτὸν ἀπέτεινεν, ὅτι θέλετε τὸν βασιλέα ἐλέγχιστον θεῖναι. Ε.

Σ. 285. Ἐλέγχιστον] Ἐπονείδιστον, ἐφύβριστον. Σ.

Σ. 286. Ἐκτελ. ὑπόσχεσιν] Τοῦτο ἀνελεύθερον καὶ δουλοπρεπές· καλῶς δὲ ἀπὸ τῶν ὡμολογημένων ἤρξατο, ὃ μάλιστα δυσωπεῖ. Σ.

Σ. 289. Παῖδες νεαροὶ, χῆραί τε γυναῖκες] Παισὶ δὲ καὶ χήραις ἀπεικάζει τοὺς Ἕλληνας· ὀνειδίζων αὐτοὺς καὶ κωμῳδῶν· διὰ μὲν τῶν γυναικῶν, εἰς μικροψυχίαν, διὰ δὲ τῶν παίδων εἰς ἀφεραπονίαν καὶ εἰς μαλακότητα. Ε.

Σ. 290. Οἶκόν δε νέεσθαι] Ἀνίησι τὴν ἐπιτίμησιν τῇ συγγνώμῃ· δυνάμεως δὲ ῥητορικῆς ἀπὸ τοῦ αὐτοῦ πράγματος πρὸς ἑκάτερον ἐξ ἐναντίου λαμβάνειν τὰς ἀφορμάς. — Πάντες γὰρ ἀγαπῶμεν τοὺς ὑπὲρ ὧν ἡμάρτομεν ἀπολογουμένους· δύναται δὲ καὶ ἀνάγκην μείζονα ἐπιτιθέναι, διὰ τούτων, τοῦ μένειν αὐτοὺς, αἰσχρὸν δεικνὺς τὸ ἐπανελθεῖν ἀπράκτους, καὶ ὀφθῆναι διὰ τοσούτου χρόνου τοῖς οἰκείοις ἐπονειδίστως· διὸ καὶ ἐπάγει· αἰσχρόν τοι, κ. τ. λ. ἀναγκαίως δὲ ἐνδίδωσιν, ὅπως μικρὰ θεραπευθέντες, μεγάλα χαρίσωνται. Σ.

Σ. 293. Ἀσχαλάα] Λυπεῖται, ἀσχάλλει. Σ. — Σὺν νηΐ. Β.

Σ. 294. Χειμέριαι] Τὸ δυσχερὲς τῆς ἀνακομιδῆς πρὸ ὀφθαλμῶν αὐτοῖς ἄγει, καὶ τὴν τοῦ ὡρισμένου χρόνου συμ-

НБ ОНУ імені І.І. Мечникова

πλήρωσιν· περιτροπέων δὲ, ἀντὶ τοῦ τροπὰς λαμβάνων, τουτέστι συμπληρούμενος. Β. — Ἱλέωσι. Β.

Σ. 298. Κενεόν] Κενὸν λαφύρων· δέλεαρ δὲ τοῦ μένειν ὑποβάλλει αὐτοῖς λαφύρων ἐλπίδα. Β.

Σ. 299. Δαῶμεν] Τὸ δὲ δαῶμεν ταὐτὸν τῷ γνῶμεν, μάθωμεν. Ε.

Σ. 301. Δὴ τό γε] Τό δε. Β. — Ἴδμεν] Οἴδαμεν.

Σ. 302. Μάρτυροι] Πιστὸς δὲ ὁ λόγος, ὅταν τοὺς ἀκούοντας μάρτυρας ἔχει τῶν λεγομένων. Β. — Οὓς μὴ κῆρες] Ὅσους μὴ προκαθαρπάσας ὁ θάνατος ἀπῆλθε. Σ. — Αἱ τοῦ λοιμοῦ κῆρες. Β.

Σ. 303. Χθιζά τε καὶ πρώϊζ'] Κατεσμίκρυνε δὲ τὸν ἐννεαετῆ χρόνον, ἵνα μὴ, διὰ τῆς ἀναμνήσεως πλέον ποιήσῃ ἀγωνιᾶσαι τοὺς Ἕλληνας. Σ. — Αὐλίδα] Ἡ δὲ Αὐλὶς τόπος ἐστὶ ἐκ πλαγίου τῆς Εὐβοίας, συνάπτων τῷ Ἑλικῶνι ὄρει, οὕτω λεγόμενος παρὰ τὸ αὐτόθι συναχθείσας ἀλισθῆναι ἢ αὐλισθῆναι πρὸ τοῦ εἰς Τροίαν ἀπόπλου τὰς νῆας τῶν Ἀχαιῶν. Ε.

Σ. 308. Δράκων ἐπὶ νῶτα δαφοινός] Ὁ μὲν δράκων Ἀθηνᾶς φησιν ἱερός· διὸ καὶ εἰς τοὺς Ἕλληνας ἐκλαμβάνεται, οἷς ἐπίκουρός ἐστιν ἡ Ἀθηνᾶ. — Ἡ δὲ στρουθὸς ἀνάκειται μὲν τῇ Ἀφροδίτῃ, διὰ τὸ πολύγονον. — Τίθεται δὲ εἰς τοὺς Τρῶας, οἷς Ἀφροδίτη ἐπικουρεῖ· μᾶλλον μὲν οὖν εἰς αὐτὴν Τροίαν. — Σῆμα δὲ καὶ τέρας λέγει τὸ κατὰ τὸν δράκοντα· τὸ μὲν ὡς μὴ πάνυ παράδοξον· τὸ δὲ ὡς παρὰ φύσιν· τὸ μὲν γὰρ βωμοῦ ὑπαῖξαι, καὶ πάντων βλεπόντων ἀνερπύσαι εἰς τὴν πλατάνιστον, καὶ ποιῆσαι, ἃ πεποίηκε, ταῦτα σῆμα ἢ σημεῖον ἦν· τὸ δὲ κατελθόντα ὕστερον ἀπολιθωθῆναι, τοῦτο ἦν τεράστιον. Ε. — Δαφοινός] Πυῤῥὸς κατὰ τὰ νῶτα, ἢ ὁ ἄγαν φόνιος. Σ.

Σ. 312. Ὑποπεπτηῶτες] Ὑφ' ἓν τοῦτο· εἴρηται δὲ διὰ τὴν ἀσθένειαν τῶν νεοσσῶν. Σ. Β.

Σ. 314. Κατήσθιε ] Τὸ δὲ κατήσθιε, τὸν μετὰ σφοδρότητος ὁλοτελῆ δηλοῖ ἀφανισμὸν τῶν νεοττῶν, καὶ διαφέρει τοῦ ἁπλῶς ἐσθίειν, ὡς καὶ τὸ καταφαγεῖν τοῦ ἁπλῶς φαγεῖν. — Τετριγῶτας] Τὸ δὲ τετριγῶτας μίμησίς ἐστι φωνῆς τῶν νεοττῶν, ἥτις ἁπαλωτέρα τοῦ τρύζειν ἐστὶν, ἀφ' οὗ γίνεται ἡ τρυγών· τελειότερον δέ φασι τοῦ τετριγέναι τὸ ἰαχεῖν, ὅθεν τὰ μὲν νήπια, τετριγῶτα, ἡ δὲ μήτηρ, ἀμφιαχυῖα. —

Καί φασιν οἱ παλαιοὶ, ὅτι ἁπλῶς μὲν τιτίζουσιν οἱ νεοσσοὶ, κατεσθιόμενοι δὲ τρίζουσιν· ἔστι δὲ τρίζειν, τὸ λεπτὸν ἠχεῖν κατὰ τὰς νυκτερίδας· αἳ καὶ αὐταὶ τρίζειν λέγονται. Ε.

Σ. 316. Ἐλελιξάμενος] Τὸ δὲ ἐλελιξάμενος τὸ ὑγρὸν δηλοῖ τοῦ δράκοντος καὶ εὐλύγιστον καὶ εὐπερίστροφον, καὶ, ὡς εἰπεῖν, οὐ δυσέλικτον, ἀλλ' εὐέλικτον. Ε.

Σ. 318. Ἀρίζηλον θῆκεν] Β. Διάδηλον, φανερὸν θῆκεν.

Σ. 323. Τίπτ'] Τίποτε. Δ.—Ἄνεῳ] Ἄφωνοι. Δ. Ἐπιτιμᾷ, ὡς οὐ δεομένοις μαντείας Β. —Καρηκομόωντες] Κάρη κομόωντες. Β.

Σ. 325. Ὅου κλέος] Τὸ ὅου, ἀντὶ τοῦ οὗτινος, πλεονασμὸν ἔχει τοῦ ὅ, Ε. Ὁ οὗ κλέος. Β.

Σ. 328. Ὡς ἡμεῖς αὖθι] Ἡ δὲ τῶν ἐννέα ἐτῶν ἀνάμνησις ὀνειδισμόν τινα ἔχει κατὰ τοὺς παλαιοὺς, ἐὰν τότε μὲν οἱ Ἕλληνες χρόνου μῆκος ἀκούσαντες οὐκ ὤκνησαν· νῦν δὲ πρὸς τῷ τέλει ἐκλέλυνται, ὅτε ἡ ἐνναετηρὶς βέβηκε. Ε.

Σ. 330. Νῦν πάντα τελεῖται] Τὸ δὲ νῦν πάντα τελεῖται, πρὸς τὸν ὄνειρον ἀφορᾷ τὸν βασιλικὸν, τὸν εἰπόντα, νῦν γάρ κεν ἕλοις πόλιν. Ε. — Τὸ τελεῖται, ἀντὶ τοῦ τελεσθήσεται. Β.

Σ. 331. Μίμνετε] Τὸ δὲ, μίμνετε αὐτοῦ, ἤγουν ὧδε ἐπ' αὐτοῦ τοῦδε τοῦ τόπου. Ε.

Σ. 334. Κονάβησαν] Ὁ δὲ κόναβος καὶ τὸ κοναβίζειν καὶ κοναβεῖν ἦχός ἐστι ξύλων ξηρῶν πεπληγότων ἢ μᾶλλον κοινότερον εἰπεῖν, ἦχος σωμάτων ξηρῶν· ἐρεῖ γὰρ μετ' ὀλίγα χθὼν κονάβιζε. Ε.

Σ. 336. Γερήνιος . . . Νέστωρ] Ὅτι Γερήνιος Νέστωρ, ὅτι ὁπηνίκα ἡ Πύλος ὑφ' Ἡρακλέους ἑάλω, αὐτὸς ἐν Γερήνοις ἢ ἔτυχε τρέφεσθαι, ἢ ἤχθη φυγάς. Ε.

Σ. 339. Ὅρκια βήσεται ἡμῖν;] Ἐν τούτοις τοῖς νοήμασιν ὁ μὲν Ὀδυσσεὺς ψεῦδος κατηγορεῖ τῶν Ἑλλήνων, ὡς μὴ ἐκτελούντων τῷ βασιλεῖ τὴν ὑπόσχεσιν, ἥτις ἦν τὸ τὴν Ἴλιον ἐκπέρσαντα ἀπονέεσθαι· ὁ δὲ Νέστωρ γυμνότερον καὶ ὑψηλότερον ἀσεβείας αὐτοὺς ἢ ἐπιορκίας γράφεται, ὡς οὐχ ἁπλῶς ὑποσχεθέντες, ἀλλὰ καὶ συνθεμένους καὶ ὀμόσαντας μετὰ καὶ σπονδῶν καὶ δεξιώσεων. — Συνθεσίαι] Ἤτοι ὡρισμέναι συμφωνίαι. Ε. — Βήσεται] Ἀποβήσεται. Σ.

Σ. 340. Ἐν πυρὶ δὴ βουλαί τε γενοίατο] Τὸ δὲ ἐν πυρὶ βουλαὶ γενοίατο πάνυ βαρυνομένης ψυχῆς ἐστιν· οἱονεὶ γάρ φησιν, ὅτι καυθεῖεν αἱ βουλαί· καὶ τὰ καὶ τά· ἢ μάλιστα κατὰ

НБ ОНУ імені І.І. Мечникова

τοὺς παλαιοὺς, τὸ γενοίατο ἀντὶ τοῦ ἐγένοντο· — ἵνα λέγῃ· ὅτι ἐοίκασιν αἱ βουλαὶ ἡμῶν, καὶ αἱ σπονδαὶ καὶ τὰ τοιαῦτα συγκατακαυθῆναι τότε ταῖς τῶν ὅρκων θυσίαις καὶ ἀπολέσθαι. — Μήδεά τ' ἀνδρῶν] Τὸ δὲ μήδεά τε ἀνδρῶν βούλεται μὲν εἰπεῖν ἀντὶ τοῦ ἡμῶν αἱ βουλαὶ, ἢ ὑμῶν· ἵνα δὲ μὴ πάντη σφοδρῶς διὰ πάντων ὁ λόγος εἴη, γενικῶς εἶπε καὶ ἀορίστως ἀνδρῶν, ἵνα λεάνῃ τὴν δημηγορίαν· διὰ τοῦτο γὰρ οὐδενός τινος ὡρισμένως καθήψατο, ἀλλὰ διὰ τριῶν προσώπων πληθυντικῶς καὶ ἀορίστως ἦλθεν. Ε.

Σ. 341. Σπονδαί τ' ἄκρητοι] Ἀκράτους δὲ τὰς σπονδὰς λέγει, διότι ἀκράτῳ οἴνῳ ἔσπενδον. — Ἐπέπιθμεν] Τὸ δὲ ἐπέπιθμεν, ἐκ τοῦ ἐπίθομεν δευτέρου ἀορίστου. Ε. — Γέγονε δὲ κατὰ συγκοπὴν Αἰολικὴν, καὶ διπλασιασμὸν Ἰωνικόν. Σ.

Σ. 342. Οὐδέ τι μῆχος] Τὸ δὲ οὐδέ τι μῆχος τὴν ἀμηχανίαν ὑπολαλεῖ. Ε.

Σ. 344. Ἀστεμφέα βουλήν] Ἀστεμφὴς δὲ βουλὴ, ἡ ἀμετακίνητος — τινὲς δὲ ἀστεμφὲς τὸ οἷον ἀστρεφές. Ε. — Σὺ δέ θ' ὡς. Β.

Σ. 345. Ἄρχευ] Ἤγουν μὴ ἐκείνοις ἀνατίθει τὸ πᾶν, ἀλλὰ σὺ προηγούμενος ἔχε ἑπομένους ἐκείνους. Ε.

Σ. 346. Ἕνα καὶ δύο] Ἀπειθοῦντας ἐξευτελίζει διά τε τῆς ὀλιγότητος, καὶ μηδὲ ὀνομάζων αὐτούς. Ἔστι δὲ εἷς μὲν ὁ Θερσίτης· δεύτερος δὲ, ἢ οὐδεὶς, ἀλλὰ ἁπλῶς παρέῤῥιπται δύο, εἴ που τις εἴη τυχὸν δεύτερος· ἢ, ὡς εἰκὸς, καὶ ἕτερός τις ἦν, ὃν ὁ ποιητὴς ἐσιώπησε· τὸ γὰρ τὸν Ἀχιλλέα νοῆσαι τοιοῦτον, πάνυ ἀπεμφαῖνόν ἐστι δι' ἄλλα τε, καὶ ὅτι οὐδὲ ἐβουλεύσατό τι ἐκεῖνος νόσφιν Ἀχαιῶν· καὶ μὴν τινες περὶ τοῦ Ἀχιλλέως νοοῦσι τὸ καὶ δύο. — Ὅρα δὲ τὸ ἕνα καὶ δύο, δι' οὗπερ οὐ δηλοῦνται τρεῖς, ὡς ἡ κοινὴ φράσις βούλεται, ἀλλὰ μόνοι δύο. Ε.

Σ. 347. Ἄνυσις] Ἐντελὴς δὲ πρᾶξις οὐ γενήσεται αὐτῶν, ὥστε πρὸ τοῦ δέοντος χρόνου πορευθῆναι ἡμᾶς εἰς τὴν Πελοπόννησον, τῇ Διὸς γνώμῃ. Σ.

Σ. 353. Ἀστράπτων ἐπιδέξια] Ὅρα, ὅτι καὶ ἐν ταῖς ἀστραπαῖς τὰ ἐκ δεξιῶν ἦσαν αἴσια, ὡς τῶν εὐωνύμων οὐ τοιούτων κἀνταῦθα νομιζομένων. (Ἴδ. Ξενοφ. Κυροπ. Ζ, 1, 3. καὶ Ἰλ. μ'. 239.) — Σημείωσαι δέ, ὅτι τὸ ἀστράπτων ἐπιδέξια, σολοικοφανές ἐστι. — Τὸ γὰρ ἀκόλουθον οὕτως ἂν εἶχε· φημὶ κατανεῦσαι τὸν Δία ἀστράπτοντ' ἐπιδέξια. Ὁ δὲ ποιητὴς τελείαν στιγμὴν θέμενος ἐν τῷ Τρώεσσι φόνον καὶ κῆρα φέροντες,

НБ ОНУ імені І.І. Мечникова

εἶτα ὡς ἀπ' ἄλλης ἀρχῆς ἀσυνδέτως ἀρχόμενος, φησὶν ἀστράπτων ἐπιδέξια, λείποντος τοῦ ἦν, ὑπαρκτικοῦ ῥήματος. Ε.

Σ. 355. Πρίν τινα] Τοῦτο εἰς δέλεαρ τοῖς Ἕλλησι τοῦ ἔτι ἐν Τροίᾳ μένειν ὁ Νέστωρ προβάλλεται· ἐρεθίζων τὸ πλῆθος, ὅπερ ὡς ἐπιπολὺ τῶν τοιούτων ἡττᾶται, καὶ μάλιστα, ὅταν εὔλογητὸς ᾖ ἡ ἡδονή, ὥς φασιν οἱ παλαιοί. — Ὀδυσσεῖ δὲ οὐκ ἔπρεπε ῥηθῆναι, διὸ καὶ παρῆκε μὲν αὐτὸ ἐκεῖνος· ἔδοξε γὰρ ἂν προσπαθῶς αὐτὸς ἔχειν τὰ εἰς Ἀφροδίτην. — Ὁ μέν τοι Νέστωρ ἤδη ἀφροδίσιας διὰ τὸ βαθὺ γῆρας, καὶ τῶν τοιούτων παυσάμενος, οὐ διὰ πάθος εἰκεῖον, ἀλλὰ διὰ τὸ ὑπερπαθεῖν τῶν Ἑλλήνων τοιαῦτα λέγειν δοκεῖ, ἀξιῶν δίκην τοῖς Ἀχαιοῖς δοῦναι τοὺς Τρῶας, ἐξ ὧν εἰς τὸν Μενέλαον αὐτοὶ ἐπλημμέλησαν ἐμπαροινήσαντες τῇ Ἑλένῃ. — Τὸ δὲ τινά, καὶ ὅλως τὸ τίς, ἐστὶν ὅτε τῇ κατ' αὐτὸ ἀοριστίᾳ ἰσοδυναμεῖ πρὸς τὸ ἕκαστος. Ε. — Μέγιστον δὲ εἰς κόλασιν ᾤοντο οἱ παλαιοὶ τὸ, τὰς γυναῖκας ὑπὸ πολεμίοις γενέσθαι. Β.

Σ. 356. Τίσασθαι δ' Ἑλένης] Πρὶν ἂν ἡμᾶς τιμωρίαν λαβεῖν ἀντὶ τῶν γενομένων ἡμῖν δι' Ἑλένην στεναγμῶν καὶ κακῶν. — Ὁρμήματα] Ἐνθυμήματα. Σ. — Ὁρμήματα μὲν λέγει τὴν ἐξ ἀρχῆς ἑκουσίαν ἐξ ἁρπαγῆς ἔλευσιν αὐτῆς εἰς Τροίαν· στοναχὰς δὲ τὸν ἐπὶ τούτοις μετάμελον. Ε. — Ἐγκασαν τὸν μὲν τῆς Ἰλιάδος ποιητὴν δυσανασχετοῦσαν συνιστάσιν καὶ στένουσαν τὴν Ἑλένην, διὰ τὸ βίᾳ ἀνῆχθαι ὑπὸ τοῦ Ἀλεξάνδρου· τὸν δὲ τῆς Ὀδυσσείας, ἑκοῦσαν· οὐ νοοῦντες, ὅτι οὐκ ἔστιν ἐπ' αὐτῆς ὁ λόγος, ἀλλ' ἔξωθεν πρόθεσιν, τὴν περί, δεῖ λαβεῖν, ἵν' ᾖ, περὶ Ἑλένης· καὶ ἔστιν ὁ λόγος, τιμωρίαν λαβεῖν ἀνθ' ὧν ἐστενάξαμεν καὶ ἐμεριμνήσαμεν περὶ Ἑλένης· παραλειπτικὸς γὰρ προθέσεων ἐστιν ὁ Ποιητής. Σ. Β.

Σ. 358. Ἀπτέσθω] Τοῦτο πρὸς ὑπόνοιαν ἐπήγαγεν· ἀρετὴ δὲ ῥήτορος, τὰ μὲν χαρίζεσθαι, τὰ δὲ καταπλήσσειν ἀπειλῇ κολάσεων. Β.

Σ. 359. Ἐπίσπῃ] Δηλοῖ τὸ καταδιῶξαι, ἤτοι καταλαβεῖν. Ε.

Σ. 360. Ἄλλῳ] Εὖ δηλονότι μηδομένῳ.

Σ. 361. Ἀπόβλητον] Ἐξ ἀποφάσεως τὴν κατάφασιν δηλοῖ τῶν ἐπαίνων, φεύγων τὸ φορτικόν· διὸ οὐκ εἶπεν, ἐπαινέσεις τὴν βουλήν. Σ.

НБ ОНУ імені І.І.Мечникова

Σ. 362. Κατὰ φῦλα] Τουτέστι μὴ συγκεχυμένως ἔα τοὺς Ἕλληνας μάχεσθαι· ἀλλὰ πρῶτον μὲν κατὰ φῦλα τούτους δίελε· ὅ ἐστι κατὰ ἔθνη· οἷον τοὺς Κρῆτας ἰδίᾳ· ἐν μέρει τοὺς Ἀθηναίους· ἑτέρωθι τοὺς Σαλαμινίους, καὶ τοὺς ἄλλους ὁμοίως· εἶτα δὲ αὖθις αὐτὰ τὰ φῦλα κρῖνε, τουτέστι διαχώριζε κατὰ φρήτρας, ἤγουν κατά τινα τμήματα φυλετικὰ καὶ συγγενικά· φρήτρη γάρ φασιν ἐστὶν ἡ τριττὺς, ἤγουν τὸ τρίτον τῆς φυλῆς· ἵνα μὴ μόνον τὰ ἑτερόφυλα φῦλα ἀλλήλοις ἀρήγῃ, ὡς ὑφ' ἑνὶ εὐρυκρείοντι τῷ Ἀγαμέμνονι ὄντα, ἀλλὰ καὶ ἕκασται φρῆτραι ἀλλήλαις διὰ τὸ σύμφυλον. Σημείωσαι δὲ ἐκ τούτων, ὅτι ἔοικεν ἢ μὴ γενέσθαι μέχρι τοῦ νῦν συστάδην μάχην Ἀχαιοῖς τε καὶ Τρωσὶν, ἀλλὰ μόνον ἐκδρομάς τινας διὰ τὴν τοῦ Ἀχιλλέως πολεμαρχίαν, καὶ τὸν ἐξ ἐκείνου φόβον· οὐ γὰρ ἂν ὁ Νέστωρ ἄρτι τοιαῦτα συνεβούλευεν, ἀλλ' ἦσαν ἂν ἐθάδες οἱ Ἕλληνες τῆς τοιαύτης διατάξεως, ἢ εἰ καὶ ἐγένοντο μεγάλαι μάχαι, ἀλλ' οὐ κατὰ τὴν τάξιν ταύτην τοῦ γέροντος· οἷα τοῦ Ἀχιλλέως ἐξαρκοῦντος εἰς νίκην καὶ μόνου, κἂν ἄλλως ἔταττε τὰ στρατεύματα· τὸ δὲ χρήσιμον τοῦ κατὰ φῦλα καὶ φρήτρας διακριθῆναι τοὺς Ἕλληνας, οὐ μόνον ὅτι πάντως ἂν εὐδοξεῖν σπουδάζοιεν παρὰ τοῖς εἰδόσιν ὁμοεθνέσι μαχόμενοι, ἀλλὰ καὶ ὅτι καὶ οἱ κινδυνεύοντες βοηθοῖντο ἂν ὑπὸ τῶν συμφυλετῶν· οὐ γὰρ περιοφθεῖεν ἂν οἱ τοῦ αὐτοῦ φύλου τοὺς οἰκείους κακῶς πάσχοντας. Ε.

Σ. 365. Γνώσῃ ἔπειθ', ὅς θ' ἡγεμόνων κακὸς] Τουτέστιν ἐπεὶ καθ' ἑαυτοὺς διακεκριμένοι μέλλουσι μάχεσθαι, φανήσονται οἵ τε ἀγαθοὶ λαοί τε καὶ ἡγεμόνες καὶ οἱ μὴ ἀγαθοί. Ε. — Κατὰ σφέας] Προθύμως κατὰ τὴν ἑαυτοῦ δύναμιν ἕκαστος μαχέσεται. Σ. — μαχέονται. Β.

Σ. 367. Θεσπεσίῃ] Τουτέστι θείᾳ βουλῇ — τῶν Ἀχαιῶν καλῶς δηλονότι πολεμησάντων — ἔλλειψιν ἔχει τοῦ βουλῇ ἢ γνώμῃ, ἢ κελεύσει. Ε.

Σ. 372. Συμφράδμονες] Τὸ δὲ τοιοῦτοι συμφράδμονες, ἀντὶ τοῦ, οἷς ἡ αὐτὴ ἕξις τοῦ λόγου· οὐ μὴν τὰ αὐτὰ συμβουλεύοντες· τίς γὰρ χρεία φασὶ τῶν δέκα, ἢ τῶν πλειόνων, ἐὰν ἀπαραλλάκτως ἔχοντα οὐδὲν αὐτοῖς διοίσει ἡ συμβουλή. Ε.

Σ. 373. Ἠμύσειε] Ἠμύειν τὸ ἐπικλίνεσθαι καὶ καταπίπτειν

НБ ОНУ імені І.І.Мечникова

ἐστί. Ε. Ἀπὸ τῶν ὀφθαλμῶν ἡ μεταφορὰ, οἳ σὺν τῷ μύειν τοῦ φωτὸς στερίσκονται. Σ. Β.

Σ. 377. Ἐγὼν Ἀχιλλεύς τε] Ὅτι ὁ ποιητὴς, ὡς ἀλλαχοῦ φαίνεται, κατὰ ποσά τινα διαστήματα μέμνηται τοῦ Ἀχιλλέως, ἐν λόγῳ πολλῷ τὸν ἄνδρα τιθέμενος, καὶ θέλων μὴ ἀπαλειφῆναι τὴν αὐτοῦ μνήμην τῆς ψυχῆς τῶν ἀκροατῶν, ποιεῖ γοῦν καὶ ἐνταῦθα τὸν βασιλέα λέγοντα, ὅτι ἐγὼν Ἀχιλλεύς τε κ. τ. λ. Ε.

Σ. 378. Ἐγὼ δ' ἦρχον χαλεπαίνων] Ὅρα δὲ, ὅτι οὐκ ἄλλό τι ἑαυτὸν τῆς ἔριδος ὁ βασιλλεὺς ἠτιάσατο, ἀλλ' ὅτι μόνον αὐτὸς κατήρξατο χαλεπαίνων· τὴν γὰρ αἰτίαν τοῦ ἀπράκτως ἐρίσαι τῷ Διὶ ἀνέθετο εἰπών· ἀλλά μοι Ζεὺς, κ. τ. λ. — Ἐνταῦθα δὲ παρασημειοῦνται οἱ παλαιοὶ, ὅτι εὐεπίφοροι κατὰ θεοῦ οἱ ἀτυχεῖς. Ε.

Σ. 379. Ἔς γε μίαν] Ὅρα τὸ μίαν· ἀπὸ κοινοῦ γὰρ ἐνταῦθα ληπτέον ἐκ τοῦ βουλεύειν ῥήματος ὄνομα τὴν βουλήν. Ε.

Σ. 381. Δεῖπνον] Τὸ παρ' ἡμῖν νῦν ἄριστον λεγόμενον, τὸ πρώϊνον ἔμβρωμα· δόρπος τὸ ἐν τῇ ἑσπέρᾳ, ὃ ἡμεῖς δεῖπνον λέγομεν. Σ. — Ξυνάγωμεν] Ἐναντίον δὲ τὸ συνάγειν καὶ τὸ διακρίνειν· πρωῒ μὲν οὖν ὁ βασιλεὺς πόλεμον συνάγειν θέλει· νυκτὸς δὲ ἐλθούσης διακρινεῖ αὐτόν. Ε.

Σ. 382. Εὖ μέν τις δόρυ θηξάσθω] Τὸ δὲ εὖ δόρυ θηξάσθω, εὖ δ' ἀσπίδα θέσθω, παροιμίαν ἐποίησε, τὸ σὺν δορὶ, σὺν ἀσπίδι, ἐπὶ τῶν παντὶ τρόπῳ πρᾶξαί τι πειρωμένων. Ε. — Θέσθω, ἀντὶ τοῦ περιθέσθω. Σ.

Σ. 384. Ἀμφὶς ἰδὼν] Τὸ δὲ ἀμφὶς ἰδὼν ἀντὶ τοῦ κύκλῳ, ἤτοι πάντοθεν. Ε.

Σ. 385. Κρινώμεθα] Ἀντὶ τοῦ συγκρινώμεθα. Ε. — Διακρινώμεθα. Σ.

Σ. 388. Ἱδρώσει μέν τευ τελαμὼν] Τὸ δὲ ἱδρώσει τελαμὼν ἀσπίδος ἀντὶ τοῦ ὑγρανθήσεται τῷ ἐκ τῶν στηθέων πολλῷ ἱδρῶτι· οὐ γὰρ διὰ αὐτὸς ἐκεῖνος ὁ τελαμὼν ἱδροῖ, ὡς ἵππος· τελαμὼν δὲ νῦν λῶρος πλατὺς, δι' οὗ ἡ ἀσπὶς ἀνεφέρετο, διὸ καὶ ἀναφορεὺς ὁ αὐτὸς ἐλέγετο· ἐνταῦθα δὲ σημειοῦνται οἱ παλαιοὶ, ὅτι οὔπω τότε πόρπακας εἶχον αἱ ἀσπίδες, ἀλλ' ὑπὸ τελαμώνων διῳκοῦντο, διηκόντων ἀπ' ἄκρου εἰς ἄκρον. Ε. — Στήθεσσιν] Περὶ τοῖς στήθεσι. Δ.

Σ. 389. Ἀμφιβρότης] Τῆς πανταχόθεν τὸν βροτὸν, ὅ ἐστι

НБ ОНУ імені І.І. Мечникова

τὸν ἄνθρωπον περιεχούσης, καὶ σκεπούσης· ἀνδρομήκεσι γὰρ ἐχρῶντο ταῖς ἀσπίσιν οἱ παλαιοί. Σ.

Σ. 393. Ἄρκιον ἐσσεῖται] Αὐστηρότερον τὸ τοῦ βασιλέως. Ὁ Νέστωρ μὲν γὰρ θάνατον ἁπλῶς ἠπειλήσατο, ὁ δὲ Ἀγαμέμνων καὶ ἄταφον ῥιφῆναί φησι τὸν θανόντα, καὶ μηδέν τι αὐτῷ ἄρκιον γενέσθαι, ἤγουν ἐπαρκέσαι, εἰς τὸ μὴ γενέσθαι κατάβρωμα κυνῶν τε καὶ οἰωνῶν. Ε. — Ὁ δὲ λόγος· τῷ δὲ θέλοντι φεύγειν τὸν πόλεμον, οὐχ ἱκανὸν οὐδὲ αὔταρκες γενήσεται, πρὸς τὸ μὴ ὑπὸ κυνῶν καὶ σαρκοφάγων ὀρνέων διασπασθῆναι. Σ.

Σ. 395. Κινήσει] Κινήσῃ. Ε.

Σ. 396. Προβλῆτι σκοπέλῳ] Προβλῆτα δὲ σκόπελον λέγει λίθον προβεβλημένον τῆς θαλάσσης, ὡς ἐν ἀκρωτηρίῳ, ἐξ οὗ ἔστι πολὺν τόπον κατασκοπεῖν. Ε. — Προέχοντι εἰς τὴν θάλασσαν. Σ.

Σ. 397. Ὅταν] Ὅτ' ἄν. Β.

Σ. 399. Κάπνισσάν τε] Ἔστι δὲ τὸ μὲν ἐκάπνισαν ἀντὶ τοῦ πῦρ ἀνῆψαν ἐπὶ θυσίᾳ τε καὶ ἐπὶ ἀναγκαίῳ δείπνῳ τῷ πρὸ τῆς μάχης ἐκ τοῦ παρακολουθοῦντος ῥηθέν. — Δύναται δὲ εἶναι τὸ ἐκάπνισαν καὶ ἀντὶ τοῦ ἔθυσαν· ἵνα λέγῃ, ὅτι θύσαντες εἶτα ἐδείπνησαν. Ε. — Κάπνισαν. Β.

Σ. 400. Θεῶν αἰειγενετάων] Δηλοῖ δὲ πολυκλήτους εἶναι καὶ τοὺς Ἕλληνας καθὰ καὶ τοὺς τῶν Τρώων ἐπικούρους· καὶ θύειν ἕκαστον πατρῴοις θεοῖς. Ε.

Σ. 401. Θάνατόν γε φυγεῖν] Οἱ μὲν Ἀργεῖοι ηὔχοντο μόνον τὸ ζῆν, ἤρκει γὰρ αὐτοῖς· ὁ δὲ βασιλεύς, τὸ εὐκλεῶς ζῆν· διὸ ἐκεῖνος πρεπόντως εὔχεται· κατὰ πρηνὲς βαλέειν Πριάμοιο μέλαθρον, κ. τ. λ. (στ. 414.) Σ. — Καὶ ὅρα, ὅτι ἐντελὲς μῶλος ἄρηος ἐστί· τὸ δὲ μῶλος, ὁ πόλεμος, ἐλλειπῶς λέγεται. Ε. — Θάνατόν τε. Β.

Σ. 403. Πενταέτηρον] Ἀριστοτέλης ἱστορεῖ, ἀκμάζειν μάλιστα τὸν βοῦν πενταέτη ὄντα. Ε.

Σ. 404. Κίκλησκε] Κίκλησκεν· ἐκάλει. Δ. Β.

Σ. 408. Αὐτόματος] Τὸν δέ γε ἀδελφὸν οὐδὲ ἐκάλεσεν, ὃς αὐτῷ πάντων πολὺ δήπουθεν φίλτατος ἦν· ἀλλὰ εἰδὼς ἐκεῖνος, ὅτι ἐπονεῖτο ὁ ἀδελφός, τουτέστιν ἀνήργει περὶ θυσίαν, αὐτόματος ἦλθεν. — Αὐτόματος δὲ, ὁ αὐτόκλητος καὶ ἀφ' ἑαυτοῦ μεμαὼς ἤτοι προθυμούμενος ἐλθεῖν· αἱ δὲ νεώτεραι

αὐτόματα τὰ κατὰ τύχην φασίν. — Βοὴν δὲ ἀγαθὸς, ὁ πολεμιστής. — Ἢ ὁ εὐρυβόας· ἀρετὴ γὰρ καὶ τοῦτο στρατηγοῦ, καὶ χρήσιμον ἐν μάχαις τὸ μεγαλόφωνον· μήπω γὰρ φασι σάλπιγγος εὑρεθείσης τῇ βοῇ διώκουν οἱ παλαιοὶ τὰς τῆς μάχης ἐπιθέσεις τε καὶ ἀνακλήσεις.

Σ. 411. Τοῖσι δ' ἐπευχόμενος] Τοῖσιν δ' εὐχόμ. Β.

Σ. 412. Ζεῦ κύδιστε] Ὅτι μεγαλοπρεπὴς ἡ ἐν τῇ κατὰ σύγκλητον θυσίᾳ ἐκβοηθεῖσα τοῦ βασιλέως εὐχὴ, καὶ τῇ τοῦ ὀνείρου ἀγγελίᾳ συντρέχουσα. Ε.

Σ. 413. Πρὶν ἐπ' ἠέλιον δῦναι] Ἐν τῷ μὴ πρὶν τὸν ἥλιον δῦναι, λείπει τὸ δὸς, ἢ ποίησον, ἢ εὔχομαι, ἤ τι τοιοῦτον. — Ἐπὶ κνέφας ἐλθεῖν] Ἤγουν, ἐπελθεῖν σκότος. Ε.

Σ. 414. Μέλαθρον] Λέγεται δὲ μέλαθρον μὲν κατὰ τοὺς παλαιοὺς, ἢ ὁ ὄροφος, ἢ τὸ μέσον τῆς στέγης ξύλον, ὅ, φασι, καλεῖται ὑπέρτονον, καὶ γίνεται ἀπὸ τοῦ μελαίνεσθαι αἰθομένου πυρὸς καπνῷ· ἐκ δὲ τούτου καὶ ὁ ὅλος οἶκος, μέλαθρον· ὥσπερ καὶ ἀπὸ ἑστίας τῆς τοῦ πυρὸς, ὡς ἐκ μέρους, ἑστία τὸ ὅλον οἴκημα. Ε.

Σ. 415. Αἰθαλόεν] Ἢ τὸ αἰθαλωθησόμενον, ὥς φασιν οἱ παλαιοὶ, ἢ τὸ διαφανὲς καὶ λαμπρόν· αἴθω γὰρ, οὐ μόνον τὸ καίω, ἀλλὰ καὶ τὸ λάμπω. Ε.

Σ. 416. Χιτῶνα] Χιτὼν, ὁ πολεμικὸς θώραξ. Ε.

Σ. 418. Ὀδὰξ λαζοίατο γαῖαν] Ὅτι ὀδὰξ λάζεσθαι τὴν γῆν, ἤγουν λαμβάνεσθαι τῆς γῆς, ἀπὸ τοῦ δάκω δάξω δάξ· — καὶ κατὰ πλεονασμὸν, ὀδάξ. Δηλοῖ δὲ τὸ δάκνειν τὴν γῆν τοὺς πεφονευμένους, ἐν τῷ σπαδάζειν· τινὲς δὲ ὀδὰξ, ἀντὶ τοῦ μετὰ τῶν ὀδόντων. Λάζεσθαι δὲ οὐ μόνον αἰτιατικῇ συμβιβάζεται, ἀλλὰ καὶ γενικῇ· οἷον, ἀλλ' ἀντιλάζου καὶ πόνων ἐν τῷ μέρει. (Εὐριπ. Ὀρέστ. στ. 452.) Ε.

Σ. 419. Δέκτο] Δεξάμενος μὲν τὰ βασιλικὰ ἱερὰ, καὶ σημαίνων φασὶν αἴσια· οὐ ταχὺ δὲ καὶ οὐδὲ ἀπονητὶ ἀνύσας τὴν εὐχήν· ἔστι δὲ δέξασθαι θύματα, τὸ ἀποδέξασθαι ἐπὶ ἀποπληρώσει τοῦ ζητουμένου, ὅπερ καὶ καλλιερεῖν λέγεται. — Πόνος δὲ ἀμέγαρτος, ἢ ὁ ἄφθονος, ἐκ τοῦ μεγαίρω, τὸ φθονῶ, ἢ ὁ πάνυ εἰς μέγα αἰρόμενος, ἢ ὁ ἀφθόνητος, διὰ τὴν κάκωσιν· οὐδεὶς γὰρ φθονεῖ ἐπὶ κακοῖς. Ε.

Σ. 423. Κνίσσῃ] Κνίσῃ, τῷ λίπει. Δ. Σημαίνει δὲ καὶ τὴν

НБ ОНУ ім. І.І. Мечникова

ἀναθυμίασιν τῶν κρεῶν, ὡς ὅταν λέγῃ (Ἰλ. Α, 317.) καὶ τὸν ἐπίπλον, ὡς ὧδε. Β.

Σ. 425. Σχίζησιν] Ὅτι ἄφυλλοι σχίζαι, αἱ ξηραί. Ε.

Σ. 426. Ἐμπείραντες] Ἀμπείραντες. Β.

Σ. 435. Λεγώμεθα] Διαλεγώμεθα, ἢ συναθροιζώμεθα· στρατηγικὴ διδασκαλία, χρόνου φείδεσθαι. — Ἐρωτηθεὶς γὰρ Ἀλέξανδρος, πῶς τῆς Ἑλλάδος περιεγένου; μηδὲν ἀναβαλλόμενος, εἶπεν. Σ. — Λεγώμεθα, ἤγουν καθήμεθα καὶ οἱονεὶ κείμεθα, ἐκ τοῦ λέγω· ἐξ οὗ καὶ λέκτρον, ἡ κοίτη. Ε. — Μηδέ τι δηρὸν] Τὸ δὲ δηρὸν, ἐπιῤῥηματικόν ἐστι κἀνταῦθα δι' ἔλλειψιν τοῦ, χρόνον. Ε.

Σ. 436. Ἐγγυαλίξει] Τουτέστιν εἰς χεῖρας δώσει· γύα γὰρ πολλαχοῦ αἱ χεῖρες. Ε.

Σ. 439. Ἀθρόοι] Ἔστι δὲ τὸ ἀθρόοι ἀντὶ τοῦ ὁμοῦ. Ε.

Σ. 446. Θῦνον κρίνοντες] Ὅτι ἀκολούθως τῇ παραινέσει τοῦ Νέστορος κρίνουσιν οἱ βασιλεῖς τὸν λαόν· ἤγουν εἰς φῦλα καὶ φρήτρας διαχωρίζουσι. Ε.

Σ. 448. Θύσανοι] Ἤγουν κροσσοί. — Παγχρύσεοι] Ὁλόχρυσοι. Σ. — Οἱ δὲ ἑκατὸν θύσανοι δύνανται νοεῖσθαι καὶ ἀντὶ τοῦ πολλοί. Ε. — Ἠερέθοντο] Ἠωροῦντο, ἐκρέμαντο. Σ. — Διὰ τὸ ἠερέθεσθαι θύοντες, ὅ ἐστι σειόμενοι. — Ἰστέον δὲ, ὅτι ἔθος ἔχων ὁ ποιητὴς μύθους παραπλέκειν συχνὰ τῇ ποιήσει, ψυχὴ γάρ τις οἷον ὁ μῦθος τῷ τῆς ποιήσεως σώματι, δι' ὅλου παρενεσπαρμένος αὐτοῦ, παράγει καὶ νῦν τὴν μυθικὴν Ἀθηνᾶν σὺν τῇ αἰγίδι παιφάσσουσαν καὶ ὀτρύνουσαν τὸν λαὸν εἰς μάχην. — Ἔστι δὲ καὶ ἄρτι ἀλληγορικῶς Ἀθηνᾶ, ἡ τῶν βασιλέων σύνεσις, λόγῳ ἐρεθίζουσα· ὡς ἐκ θείας ἐπιπνοίας τινὸς τὸν λαὸν καὶ ῥωννύουσα. Ε. — Ἠερέθονται. Β.

Σ. 450. Παιφάσσουσα] Παιφάσσειν δὲ τὸ ἐνθουσιωδῶς καὶ ἐπιφανῶς ὁρμᾷν. Ε. — Ἐνθουσιῶσα, ὁρμῶσα. Σ. — Ἀναδιπλασιασμός ἐστι· φάσσω, παιφάσσω, οἱονεὶ φανερῶ. Σ. Β.

Σ. 453. Ἄφαρ] Ἤγουν, εὐθέως. Ε. (ἴδ. Α, 594.)

Σ. 455. Ἠΰτε πῦρ] Ὅπου μὲν οὐ πολλὰ τὰ πράγματα, οὐ πολλὰς παρεισάγει παραβολάς· ἔνθα δὲ ποικιλία πραγμάτων, ἐκεῖ πλεονάζει καὶ παραβολαῖς· ὡς καὶ ἐνταῦθα πολλῶν ὄντων τῶν Ἀχαιῶν, καὶ ὅπλα δὲ περικειμένων λαμπρὰ, πρὸς δέ γε καὶ ταχὺ ὁρμωμένων ὧδε καὶ ἐκεῖ, καὶ μὴν ἀλλὰ καὶ διακεκριμένων εἰς φῦλα, ἔτι δὲ καὶ θυμικῶς διακειμένων, πρὸς ἕκαστον



НБОНУ імені І. І. Мечникова

τούτων παραβολῇ ἐχρήσατο· πρὸς μὲν τὴν λαμπρότητα τῶν ὅπλων, τῇ ἀπὸ τοῦ πυρὸς, ἥτις ἐν κορυφαῖς ὄρους ὕλην πολλὴν ἐπιφλέγει· πρὸς δὲ τὸ ἐνταῦθα καὶ ἐκεῖ ὁρμᾶσθαι, τῇ ἀπὸ χηνῶν ἢ γεράνων καὶ κύκνων, οἳ ἔνθα καὶ ἔνθα πέτονται ἀγαλλόμενοι πτερύγγεσι· πρὸς δὲ τὸ πλῆθος, τῇ ἐκ τῶν φύλλων καὶ τῶν ἀνθέων, ὅσα ἔαρος γίνονται· πρὸς δὲ τὸ θυμικὸν καὶ θρασὺ, τῇ ἀπὸ τῶν μυιῶν, αἳ κατὰ τὰς ποιμενικὰς ἐπαύλεις ἀθροιζόμεναι διὰ τὸ γλυκὺ γάλα, καταναιδεύονται τὰ συνήθη· πρὸς δὲ τὸ εὐπειθῶς διακεκρίσθαι αὐτοὺς εἰς φῦλα, παραβολῇ χρᾶται τῇ ἀπὸ τῶν αἰπολίων, ἃ κἂν μιγῶσιν ἐν τῷ νομῷ, ἀλλὰ οἱ αἰπόλοι ῥᾷον διακρίνουσιν. Ε.

Σ. 457. Θεσπεσίοιο] Θείου, θαυμαστοῦ. Σ.

Σ. 461. Ἀσίῳ ἐν λειμῶνι] Ἔστιν ἀπὸ Ἀσίου, ὃς ἦρξε Λυδίας. Κατὰ δὲ τὰς προχοὰς πηλώδη τὸν τόπον ὁ Κάϋστρος ἐργάζεται. — Τὸ Ἀσίω ἐνταῦθα γενικῆς πτώσεώς ἐστιν· ἦν γάρ τις Ἀσίας ἥρως, οὗ ὁμώνυμος Ἀσίας λειμών· εἶτα Ἀσίεω, ὡς Ἀτρείδεω, καὶ Ἀσίω κατὰ συγκοπὴν, ὡς Εὐμελίας, Εὐμελίω· καὶ Αἰνείω ἑτάρῳ (ἀνάγν. Αἰνείεω ἕταρον, Ε, στ. 534.) Σ. — Τὸν μὲν Ἀσίαν, Κότυος ἱστοροῦσιν υἱὸν, τὸν δὲ Κάϋστρον, Πενθεσιλείας υἱόν. Ε. (ἴδ. Στράβ. ΙΔ. σελ. 447. 35.) — Καϋστρίου] Ὥσπερ κάπρος κάπριος κατὰ παραγωγὴν, οὕτω καὶ Κάϋστρος Καΰστριος. Ε. — Ἀσίω. Β.

Σ. 462. Ἀγαλλόμεναι] Ἐχρῆν ὀρθῶς εἰπεῖν ἀγαλλόμενα. ἵνα λέγῃ ἔθνεα πολλὰ ἀγαλλόμενα· εἴρηται δὲ ὅμως ἀττικῶς, καὶ οὐκ ἀπεδόθη πρὸς τὴν φωνὴν τοῦ ἔθνεα, ἀλλὰ πρὸς τὸ σημαινόμενον, ὅπερ ἐστὶν αἱ ἀγέλαι, ἢ μάλιστα αἱ ὄρνιθες. Ε. — Ἀγαλλόμενα. Β.

Σ. 463. Προκαθιζόντων] Τὰ συναγελαστικὰ τῶν ὀρνέων, ὅτ' ἂν προλάβῃ τῇ πτήσει, ἀναμένειν εἴωθε τὰ ὑστεροῦντα. Σ.

Σ. 465. Ἐς πεδίον] Πεδίον δὲ Σκαμάνδριον, τὸ μεταξὺ τῶν δύο ποταμῶν, τοῦ τε Σιμόεντος καὶ αὐτοῦ τοῦ Σκαμάνδρου, ἔνθα ἐγίνετο ἡ μάχη. — Σημείωσαι δὲ ὅτι ὁ Σκάμανδρος δυσχερῶς ἐν μέτρῳ ἔχων παρεισρέειν ἡρωϊκῷ, ἐκαινοτομήθη ἐξ ἀνάγκης παρὰ τοῦ ποιητοῦ· ἐπεὶ γὰρ ἡ ἄρχουσα βραχεῖα οὖσα, ἐκ δύο συμφώνων ἄρχεται, καὶ ἐκτείνει τὸ πρὸ αὐτῆς πίπτον βραχὺ, καὶ διὰ τοῦτο οὐ χρησιμεύει ὅλως εἰς μέτρον δακτυλικὸν, λαμβάνει τὴν ἄρχουσαν ὁ ποιητὴς ἀναγκαίως, ἀεὶ ἀδυνατοῦσαν ἐκτείνειν τὰ πρὸ αὐτῆς, καθάπερ

αἱ καὶ ἦν μονογράμματος· οἷον λόγου χάριν, Κάμανδρος· καὶ οὕτω ποιεῖ αὐτὴν ἐπιτηδείαν εἰς δακτύλου ἀπαρτισμόν. Ε. — Καλεῖται καὶ Ξάνθος. Σ.

Σ. 469. Ἀδινάων] Ἀθρόως πετομένων. Β.

Σ. 470. Κατὰ σταθμόν] Σταθμὸς νῦν μὲν ἀγροτικὴ κατοικία, ὅ ἐστιν ἄπαυλις. — Ἠλάσκουσι] Τὸ δὲ ἠλάσκειν δηλοῖ τὸ πλανᾶσθαι, καὶ καλῶς εἴρηται ἐπὶ μυιῶν· πλανῶνται γάρ πως ἀεὶ πετόμεναι. Ε.

Σ. 471. Γλάγος ἄγγεα] Τὸ δὲ, γλάγος ἄγγεα δεύει, ἐκ τοῦ παρακολουθοῦντος εἴρηται περιφραστικῶς, ἀντὶ τοῦ ὅτε γάλα ἀμέλγεται πολύ τε καὶ πῖον καὶ γλυκύτερον καὶ μυιῶν ἐπισπαστικόν. Ε.

Σ. 474. Αἰπόλια] Αἰπόλιον τὸ τῶν αἰγῶν πλῆθος· ποίμνιον δὲ, τὸ τῶν προβάτων· συβόσιον δὲ, τὸ τῶν χοιρῶν· βουκόλιον δὲ, τὸ τῶν βοῶν· ἱπποφόρβιον δὲ, τὸ τῶν ἵππων· πλατέα δὲ, ὅτι διεσκεδασμένα νέμονται. Σ. Β. — Ἔστι δ' ὅτε γενικῶς πάντα τῷ ποιμνίῳ περιέχονται. — Ἐκ περισσοῦ δὲ κεῖται τὸ, αἰγῶν· ἀρκεῖ γὰρ τὸ αἰπόλιον εἰς νόησιν αἰγῶν. Ε.

Σ. 475. Διακρινέωσιν] Διακρίνωσιν. Β.

Σ. 476. Διεκόσμεον] Διακοσμεῖν λέγει τὸ εὐκόσμως τάττειν. Ε.

Σ. 478. Ὄμματα καὶ] Σημειοῦνται οἱ παλαιοὶ, ὡς ἐκ τριῶν δαιμόνων τὸ διαπρεπὲς ἐκλεξάμενος ὁ ποιητὴς, προσήρμοσε τῷ βασιλεῖ. Διὸς μὲν, τὸ ἡγεμονικὸν καὶ ἐποπτικὸν καὶ ὑπερανεστικός· τοιοῦτος γὰρ ὁ Ζεὺς, οὐ μόνον ὁ ἀλληγορούμενος, ἀλλ', ὡς εἰκὸς, καὶ ὁ μυθικός. Ἄρεος δὲ τὸ τῆς παντευχίας κόσμιον· ὡς γὰρ ἂν ὁ Ἄρης ὁπλισθείη ὁ αὐτοπόλεμος, οὕτω καὶ ὁ βασιλεὺς ὥπλιστο. Ποσειδῶνος δὲ, τὸ εὐρύστερνον καὶ εὐσθενές· ταῦτα γὰρ τῷ Ποσειδῶνι ἐμφαίνεται μυθικῶς τε καὶ ἀλληγορικῶς, εἰς τὸ τοῦ ὕδατος ἀναγομένῳ στοιχεῖον· τρία οὖν ὁ ποιητὴς φαίνεται τῷ βασιλεῖ προσμαρτυρῶν· τὸ ἀξιωματικὸν, τὸ πολεμικὸν, καὶ τὸ γεραρόν· ὃ καὶ αὐτὸ πρέπον ἐςὶ μάλιστα βασιλεῖ. Ε. — Ἴκελος] Ὅμοιος. Β.

Σ. 479. Ζώνην] Ζώνην δὲ ἐνταῦθα τὴν πολεμικὴν εἶπεν ὅλην ὅπλισιν ἀπὸ μέρους τῆς ζώνης. Σ.

Σ. 480. Ἠΰτε βοῦς] Ὅτι σεμνὸν ζῶον ὁ ταῦρος καὶ ἡγεμονικὸν, οὐδεὶς ἀγνοεῖ· καὶ εἶχε μὲν εἰκάσαι αὐτὸν λέοντι,



НБ ОНУ імені І.І. Мечникова

ὡς καὶ ἀλλαχοῦ· οὐκ ἦν δὲ νῦν χρήσιμον· οὐ γὰρ πρὸς ἀνδρίαν ἡ εἰκὼν, ἀλλὰ πρὸς ἡγεμονίας σχῆμα· ἡγεμονικώτερον δὲ ταῦρος λέοντος, ὡς καὶ ὁ χρυσοῦς Δίων μελετᾷ, τὴν μὲν τοῦ λέοντος ἀρχὴν τυραννικὴν εἶναι κατασκευάζων, τὴν δὲ τοῦ ταύρου βασιλικήν. — Δῆλον δὲ, ὅτι ἐν τῷ βοῦς ταῦρος, γενικὸν μὲν ὄνομα ὁ βοῦς, ὁ ταῦρος δὲ, εἰδικόν. Ε.

Σ. 484. Ἔσπετε νῦν μοι, Μοῦσαι] Ὅτι ἔστιν, ὅτε ὁ ποιητὴς κατὰ ποσά τινα διαστήματα ἐγκόπτει τὸν λόγον τῇ Μούσῃ, καὶ ὡς ἐξ ὑπαρχῆς αὖθις αὐτὴν ἀξιοῖ εἰπεῖν, ὅπερ αὐτὸς ἐθέλει· ποιεῖ δὲ τοῦτο, ἡνίκα πραγμάτων ἐντύχῃ μεγέθει καὶ πλήθει, αὔξων καὶ οὕτως ἐκεῖνα, καὶ ἐνδεικνύμενος, ὡς οὐκ ἄνευ θεοῦ καὶ μουσικῆς ἐπιπνοίας ἀφηγηθήσονται· ἢ καὶ ἄλλως ποιεῖ τοῦτο, ὅτε ἡ μὲν ἀκολουθία τῶν ἑξῆς ἐθέλει ἔχεσθαι. Ε.

Σ. 485. Πάρεστε] Ἐν τοῖς πράγμασιν ἐστέ. Σ.

Σ. 486. Κλέος οἶον] Ἤτοι μόνην τὴν δόξαν τῶν ἀνδρῶν ἢ μόνον φήμην τινὰ ἀνδρῶν ἀκούομεν. Σ. (Εὐστάθ. ἀνάγνωθι κλέος οἷον ἴδομεν, σελ. 261.)

Σ. 488. Ὀνομήνω] Ἤγουν ἐξ ὀνόματος εἴπω (ἰδ. Α, 361.), οὐδ᾽ εἰ τάδε μοι καὶ τάδε γένοιτο, καὶ πολλαπλασίων φασὶν ἐμαυτοῦ γένωμαι. — Καίτοι, κατὰ τὴν τῶν παλαιῶν ἐπιβουλὴν, εἶπε τρόπον τινὰ καὶ περὶ τοῦ πλήθους· ἐπεὶ γάρ φασι περὶ μὲν τοῦ Φιλοκτήτου ἐν τοῖς ἑξῆς εἶπεν, ἐκ πεντήκοντα ἐρετῶν εἶναι τὰς αὐτοῦ νῆας· περὶ δὲ Βοιωτῶν, ὅτι ἐξ ἑκατὸν εἴκοσιν αὐτοῖς ἑκάστη ναῦς, δῆλός ἐστιν ἐμφῆναι βουλόμενος τὴν πληθὺν, ἐκ τῆς ἀμφοῖν τούτων συνθέσεως· ἔστι γὰρ κατὰ τὸν Θουκυδίδου κανόνα (Ι, στ. 10.), τὸ μέσον τοῦ πλείονος καὶ ἐλάττονος λαβόντα, τεκμήρασθαι πόσοι δύνανται εἶναι τῷ ἀριθμῷ, οἱ τοῦ πλήθους· ὃ καὶ ποιοῦντες οἱ Ὁμηρικοὶ, εὑρίσκουσιν ὑπὲρ δέκα μυριάδας συναγομένην τὴν πληθύν. Ε.

Σ. 492. Μνησαίαθ᾽] Ὅρα δὲ τὸ μνησαίατο ταυτόν πως ὂν τῷ διεξέλθοιεν. Ε.

Σ. 494. Βοιωτῶν μέν] Τὴν Βοιωτίαν, τουτέστι τὸν κατάλογον τῶν νεῶν οἱ πολλοὶ περιφρονοῦσι διὰ τὰ τῶν ἡγεμόνων φασὶν ὀνόματα, καὶ διότι οὐκ ἔχει κίνησίν τινα ἡρωϊκήν· καὶ μὴν ἄλλως πεποίκιλται θαυμασίως καὶ ὁ τοιοῦτος ὅλος τόπος, ἱστορίαις τε καὶ τοπογραφίαις καὶ γενεαλογίαις καὶ ἑτέροις τοιούτοις. — Ὅτι κατάλογος μὲν νεῶν, ἤτοι ἐξαρίθμησις

НБ СНУ імені І. Мечникова

τὸ ἐφεξῆς τῆς παρούσης ῥαψῳδίας ἀπὸ τοῦ ἔργου ὠνόμασται· Βοιωτία μέντοι, ἀπὸ μόνης τῆς προοιμιακῆς εἰσβολῆς ἐχούσης οὕτω, Βοιωτῶν μὲν Πηνέλεως κ. τ. λ. διατί δὲ ἀπὸ τῶν Βοιωτῶν ἤρξατο, δηλοῦσιν οἱ παλαιοί, λέγοντες ποιῆσαι οὕτω τὸν ποιητήν, διὰ τὸ χαρίζεσθαι ταῖς ἀνωτέρω παρακληθείσαις μούσαις, ὧν ἐνδιαίτημα ἦν ὁ Βοιώτιος Ἑλικών. — Οἱ δέ, ὅτι ἐν Αὐλίδι πόλει τῆς Βοιωτίας ὁ ναύσταθμος γέγονε τοῖς Ἀχαιοῖς· ἕτεροι δέ, διότι ἐν μεσαιτάτῳ τῆς Ἑλλάδος κεῖται ἡ Βοιωτία· ἔστι γὰρ αὐτῇ ἐξ ἀνατολῶν μέν, Εὔριπος, ἐκ δὲ δυσμῶν, Φωκίς, ἐκ βορείων, Λοκρίς, καὶ ἐκ μεσημβρίας, Ἀττική. — Οἱ παλαιοὶ λέγουσι καὶ ταῦτα ἐνταῦθα, ὡς θαυμάσιος ὁ ποιητής, μὴ δ' ὁτιοῦν μὲν παραλείπων τῆς ὑποθέσεως· πάντα δ' ἐξ ἀναστροφῆς κατὰ τὸν ἐπιβάλλοντα καιρὸν διηγούμενος, οἷον, θεῶν ἔριν, Ἑλένης ἁρπαγήν, Ἀχιλλέως θάνατον· ἡ γὰρ κατὰ τάξιν φασὶ διήγησις, νεωτερικὸν καὶ συγγραφικόν, καὶ ποιητικῆς ἄπο σεμνότητος. Εὔκαιρον οὖν φασὶν ἐπιθεὶς Ὅμηρος τῷ Νέστορι ῥητορείαν τὸν κατάλογον τοῦτον ἐμνηστεύσατο. — Οὕτω δέ φασιν ἡδὺς καὶ μεγαλοπρεπὴς ὁ κατάλογος, ὥστε καὶ πόλεις ἀμφισβητούσαι, Ὁμηρικοῖς ἔπεσιν ἐχρήσαντο πρὸς λύσιν ἔριδος. Καλυδῶνα μὲν γάρ φασιν, Αἰτωλοῖς ὁ ποιητὴς ἐχαρίσατο ἀμφισβητοῦσι πρὸς Αἰολέας, μνησθεὶς αὐτῆς ἐν Αἰτωλῶν καταλόγῳ· Ἀβυδηνοὶ δὲ Σηστὸν παρ' Ἀθηναίων ἐκομίσαντο, διὰ τοῦτο τὸ ἔπος· καὶ Σηστὸν καὶ Ἄβυδον ἔχον (στ. 836)· Μιλησίοις δὲ πρὸς Πριηνεῖς ὑπὲρ Μυκάλης διαφερομένοις, εἰς νίκην ἐπήρκεσε τὰ ἔπη ταῦτα· οἳ δὲ Μίλητον ἔχον — Μυκάλης τ' αἰπεινὰ κάρηνα (στ. 869.)· καὶ Σόλων δὲ τὴν Σαλαμῖνά φασιν Ἀθηναίοις ἀπένειμε, προσθεὶς ἔπος, ὅπου μνήμη τοῦ μεγάλου Αἴαντος γένηται (στ. 557.). Ε.

Σ. 496. Οἵ θ' Ὑρίην] Ἡ δὲ Ὑρία, χώρα ἐστὶ πλησίον Αὐλίδος κατὰ τοὺς παλαιούς· ἦν δέ ποτε καὶ πολείδιον· ταύτην ὁ κτίσας, Ὑριεὺς ἐκαλεῖτο· πολίτης δὲ αὐτῆς, Ὑριάτης. — Ὁ δὲ Στράβων λέγει, ὅτι Ὑρία τῆς Ταναγραίας πρότερον, ὕστερον δὲ Θηβαΐδος· Ὑρία τῆς Ταναγραίας νῦν ἐστι, πρότερον δὲ τῆς Θηβαΐδος (Στράβ. Θ', σελ. 279. 2.). — Αὐλίδα] Ἡ δὲ Αὐλὶς ἀντιπέραν Εὐβοίας κεῖται. — Ἔχει δέ φασι λιμένας ἡ Αὐλίς, τοὺς μὲν βλέποντας ἐπὶ τὴν Ἴλιον, τοὺς δὲ καταγωγοὺς ἀπὸ πάσης Ἑλλάδος· διὸ καὶ ἀθροισθέντες οἱ Ἀχαιοὶ αὐτόθι ἀνέπλευσαν. Ὁ Στράβων δέ φησιν, ὅτι Αὐλὶς πετρῶδες

НБ ОНУ імені І.І.Мечникова

χωρίον, ἔνθα λιμὴν πεντήκοντα πλοίοις· ὥςε εἰκὸς τὸν ναύςαθμον τῶν Ἑλλήνων ἐν τῷ μεγάλῳ ὑπάρξαι λιμένι (Θ, σελ. 278. 14.).

Σ. 497. Σχοῖνόν τε] Σχοῖνος δὲ ἡ ἀπό τινος ὁμωνύμου ἀνδρὸς, ἢ ἀπὸ σχοίνων φυομένων αὐτόθι, καθὰ καὶ ἐν τῇ Ἀρκαδικῇ σχοινοῦντι διὰ τὸ ἑλῶδες τοῦ τόπου· λέγεται δὲ ἀπὸ Σχοινέως τὴν κλῆσιν σχεῖν τοῦ πατρὸς Ἀταλάντης· — ῥεῖ δὲ ποταμὸς δι' αὐτῆς Σχοινοῦς καλούμενος (Στράβ. Θ, σελ. 281. 30). Ε. — Σκῶλον] Σκῶλος δὲ ἀρσενικῶς, κώμης ὄνομα, καὶ ὁ ἐξ αὐτῆς Σκώλιος καὶ Σκωλιεύς. — Οἱ δὲ παλαιοί φασι, καὶ ὅτι ὁ Σκῶλος κώμη τῆς Παρασωπίας χώρας ὑπὸ τῷ Κιθαιρῶνι, ἢ κατά τινας ἐν τῇ τῶν Πλαταιέων, τόπος τραχὺς καὶ δυσοίκητος, ὅθεν καὶ παροιμία, εἰς Σκῶλον μήτ' αὐτὸς εἶναι, μήτ' ἄλλῳ ἕπεσθαι· καὶ Πενθεὺς δὲ ἐκεῖθεν καταγόμενος διεσπάσθη ὑπὸ τῶν βακχῶν. — Ἐτεωνὸν] Ἐτεωνὸς δὲ ἐκλήθη μὲν ὕστερον καὶ Σκάρφη, καλουμένη ἀπό τινος Ἐτεωνοῦ, ὃς Βοιωτοῦ μὲν ἦν ἀπόγονος, πατὴρ δὲ Ἐλεῶνος· κεῖται δέ φασιν ἐπὶ λόφου περί που Ἀσωπὸν ῥέοντα ἐπὶ τοῦ πρὸ Θηβῶν πεδίου, καθὰ καὶ ὁ Ἰσμηνός. — Τὸ δὲ ἐθνικὸν τῆς Ἐτεωνοῦ, Ἐτεώνιος· πολύκνημον δὲ ταύτην λέγει, ὡς ὀρεινήν· κνημοὶ γὰρ τὰ κάτω τοῦ ὄρους. Ε.

Σ. 498. Θέσπειαν] Ἡ δὲ Θέσπια, ἡ πρὸς τῷ Ἑλικῶνι ἔκειτο νοτιωτέρα αὐτοῦ — ἐκτείνει ἐνταῦθα τὴν παραλήγουσαν διὰ τὸ μέτρον· ἄλλως γὰρ ἐν συστολῇ ἔχει· γράφεται δὲ κοινῶς διὰ τοῦ ι, ἡ παραλήγουσα. — Θέσπια δὲ καὶ Θεσπιαὶ ἡ αὐτὴ πόλις. — Κτίσμα ἐστὶ ἡ Θέσπια Θεσπιάδου, κατὰ δέ τινας, Θεσπίου υἱοῦ Τεύθραντος, τοῦ τοῦ Πανδίονος. — Γραῖάν τε] Γραῖα δέ ἐςι κατά τινας ἡ καὶ Τάναγρα· ὧν οἱ πολῖται, Γραῖος, καὶ Ταναγραῖος, κατὰ δέ τινας οὐκ εἰσιν αἱ αὐταί. — Στράβων δέ φησιν, ὅτι Γραῖα τόπος πλησίον Ὠρωποῦ· ἔνθα ἱερὸν Ἀμφιαράου, καὶ μνῆμα Ναρκίσσου, τοῦ Ἐρετριέως, (Θ. σελ. 278. 33.). Ε. — Μυκαλησσόν] Μυκαλησσὸς δὲ μεσογεία πόλις Βοιωτίας. — Τῆς δὲ Μυκαλησσοῦ ὁ πολίτης Μυκαλήσσιος (ἰδ. Στράβ. Α. 1, 39.). Ε.

Σ. 499. Ἅρμ' ἐνέμοντο] Ἅρμα δὲ, κώμη τις πλησίον Μυκαλησσοῦ· ἀλλὰ καὶ δῆμος, ἔχων φρούριον ὀχυρὸν, ὅμορόν φασι τῇ Ταναγρικῇ· οὗ ὁ πολίτης Ἁρματεύς. Ε. — Ὀνομασθεῖσα ἀπὸ τοῦ αὐτόθι καταποθῆναι σὺν τοῖς ἵπποις τὸ Ἀμφιαράου τοῦ μάντεως ἅρμα σὺν αὐτῷ. Σ. — Ἐρυθράς] Ἀπίων μὲν καὶ

НБ ОНУ імені І.І.Мечникова

Ἡρόδωρος ὀξύνουσι τὴν λέξιν, ἕτεροι δέ φασιν, ὅτι Ἐρύθραι μὲν βαρυτόνως, αἱ τῆς Βοιωτίας ἀπὸ Ἐρυθροῦ, υἱοῦ Ποσειδῶνος καὶ Ἀμφιμεδούσης, θυγατρὸς Δαναοῦ· κεῖνται δὲ ὑπὸ τὸν Κιθαιρῶνα. Ἐρυθραὶ δὲ ὀξυτόνως, αἱ τῆς Ἰωνίας. — Λέγει δὲ ὁ γεωγράφος, ὅτι Ἐρυθρῶν τούτων ἄποικοι αἱ Ἰωνικαί (Θ, σελ. 279. 10.) Ε.

Σ. 500. Ὕλην] Ὕλη δὲ ἀπὸ Ὕλης, θυγατρὸς Θεσπιέως, ἢ ὅτι ὑλώδης ἐστί· φησὶ γὰρ οἱ παλαιοὶ, ὅτι Ὕλη καὶ Εἰλέσιον καὶ Ἐλεὼν ὑλώδεις εἰσὶ τόποι Βοιωτῶν καὶ ἑλώδεις, ὥστε ἀπὸ τοῦ ἕλους καὶ τὸ Εἰλέσιον καὶ ὁ Ἐλεών· καὶ ὁ Γεωγράφος δέ φησιν, ὅτι Ἐλεὼν κώμη Ταναγρικὴ, ἀπὸ τῶν ἑλῶν καλουμένη (Λ. 1, σελ. 279. 11. καὶ 281. 31.) — Κατὰ δέ τινας ὁ Ἐλεὼν ἀπὸ Ἐλεῶνος ὠνόμασται υἱοῦ Ἐτεωνοῦ — Πετεῶνα] Ἡ δὲ Πετεὼν, κώμη δὲ αὕτη Θηβαΐδος κατὰ τὸν Στράβωνα (Λ. 1, σελ. 283. 7.) πρὸς τῇ ἐπ' Ἀνθηδόνα ὁδῷ κειμένη. Ε.

Σ. 501. Ὠκαλέην] Ἡ δὲ Ὠκαλέη εὕρηται μὲν καὶ Ὠκάλεια, καλεῖται δὲ οὕτω ἀπὸ ποταμοῦ παραῤῥέοντος· ἡ δὲ γεωγραφικὴ ἱστορία λέγει καὶ ὅτι Ὠκαλέη μέση Ἁλιάρτου καὶ Ἀλαλκομενίου ἔκειτο. — Παραῤῥεῖ δ' αὐτὴν ποτάμιον ὁμώνυμον (σελ. 283. 9.). Ε. — Μεδεῶνά τ'] Μεδεὼν δὲ ἀπὸ Μεδεῶνος υἱοῦ Πυλάδου καὶ Ἠλέκτρας. Ε. (Στράβ. Θ. σελ. 283. 10.).

Σ. 502. Κώπας] Αἱ δὲ Κῶπαι, ἀπὸ Κωπέως ἢ Κωπεῶνος οὕτω καλοῦνται, υἱοῦ Ὀγχηστοῦ· ταύτης ὁ πολίτης Κωπαΐτης· περὶ αὐτὴν δὲ καὶ λίμνη μεγάλη Κωπαΐς, ἐν ᾗ ἐγχέλεις ἀγαθαί· ἔκρυσις δὲ αὐτῆς οὐδαμοῦ φαίνεται, ὡς ὁ γεωγράφος φησὶ, πλὴν τοῦ χάσματος τοῦ δεχομένου τὸν Κηφισσόν· Ε. (Στράβ. σελ. 280. 32.).--Εὔτρησιν] Ἡ δὲ Εὔτρησις ἐτίμα Εὐτρησίτην Ἀπόλλωνα· οὗ καὶ μαντεῖον ἐκεῖ ἔνδοξον. — Ἔκειτο δέ φασι παρὰ τὴν ὁδὸν τὴν ἐκ Θεσπιῶν εἰς Πλαταιάς· ἐτείχισαν δὲ αὐτὴν Ζῆθος καὶ Ἀμφίων, οἱ ἀδελφοὶ (Στράβ. σελ. 283. 30.). — Θίσβην] Ἡ δὲ Θίσβη πολίτην μὲν ἔσχε τὸν περίπυστον αὐλητὴν Ἰσμηνίαν· Θισβεὺς γὰρ ἦν· ἐκλήθη δὲ ἀπὸ Θίσβης θυγατρὸς Ἀσωποῦ· ὁ δὲ λιμὴν τῶν Θισβέων καὶ τὸ ἐπίνειον ἔχει, φασὶ, πλῆθος περιστερῶν, ὡς καὶ ὁ ποιητὴς ἐπεσημήνατο. Ε. (Στράβ. σελ. 283. 35.).

Σ. 503. Κορώνειαν] Ἡ δὲ Κορώνεια ἐκλήθη ἀπὸ Κορώνου

НБ ОНУ імені І.І. Мечникова

υἱοῦ Θερσάνδρου. — Ἰστέον δὲ, ὅτι εἰ καὶ παράγωγόν ἐστιν ἡ Κορώνεια ἐκ τοῦ Κορώνη, ἀλλ' οὖν ἡ τρισυλλάβως λεγομένη Κορώνη πόλις Μεσσήνης ἐστίν· ἐν δὲ τῷ γεωγράφῳ φέρεται, ὅτι Κορώνεια ἐγγὺς Ἑλικῶνος, ἐφ' ὕψους ἱδρυμένη· παραῤῥέει δ' αὐτὴν ποταμὸς Κουάριος· ἔνθα τὰ Παμβοιώτια συνετέλουν· ταύτης τῆς Κορωνείας φησὶν οἱ πολῖται Κορώνεισι, οἱ δὲ ἐν τῇ Μεσσηνιακῇ Κορωνεῖς (Στράβ. σελ. 283. 37.). — Ἁλίαρτον] Ἁλίαρτος δὲ ἀρσενικῶς λέγεται κατὰ τὸν τὰ ἐθνικὰ γράψαντα, κτισθεὶς ὑπὸ Ἁλιάρτου υἱοῦ Θερσάνδρου. — Ἔχει δὲ ὕλη καὶ λίμνας καὶ ὑδατόῤῥυτός ἐστι· διὸ καὶ ποιήεις λέγεται· ὁ δὲ Ἁλίαρτος ἀδελφὸς ἦν Κορώνου τοῦ ἀνωτέρω ῥηθέντος. Ε.

Σ. 504. Πλάταιαν] Ἑνικῶς μὲν ἡ Πλάταια, πληθυντικῶς δὲ αἱ Πλαταιαί. — Τάφους φασὶ καὶ τρόπαια εἶχεν ἀγαθῶν ἀνδρῶν, τῶν τὴν Ἑλλάδα ἐλευθερωσάντων, καὶ τὸ βασίλειον στράτευμα δουλωσάντων· ὁ δὲ πολίτης αὐτῆς Πλαταιεύς, οὗ αἰτιατικὴ ἑνικὴ τὸν Πλαταιᾶ· ὡς τὸν Πειραιᾶ. Ὁ δὲ γεωγράφος φησὶ, Πλάταια ἀπὸ τῆς πλάτης τῶν κωπῶν, καὶ Πλαταιεῖς ἀπὸ κωπηλασίας ζῶντες, εἰ καὶ ὕστερον ἄποθεν τῆς λίμνης οἰκοῦντες οὐκέτι ἐτύμως προσαγορεύονται· καὶ ὅτι Πλαταιαὶ μεταξὺ Κιθαιρῶνος καὶ Θηβῶν, ἐν ὁδῷ τῇ εἰς Ἀθήνας καὶ Μέγαρα· παραῤῥεῖ δ' αὐτὰς ὁ προῤῥηθεὶς Ἀσωπός. Ε. (Στράβ. σελ. 280. 20.) — Γλίσσαντ'] Γλίσσας δὲ κατοικία τίς φασι Θηβαϊκὴ ἐν τῷ Ὑπάτῳ ὄρει, ἀπὸ Γλίσσωνος ὠνόμασται ἡ Γλίσσαντος, ὥς φησιν ὁ γράψας τὰ ἐθνικά. Τῷ δὲ τόνῳ γλίσσας γλίσσαντος, ὡς γίγας γίγαντος. Ε. (Στράβ. σελ. 284. 12.) — Γλίσαν τ'. Β.

Σ. 505. Ὑποθήβας εἶχον] Ἰστέον, ὅτι Ὁμήρου γράψαντος, οἵ θ' ὑπὸ Θήβας εἶχον ἐϋκτίμενον πτολίεθρον, οἱ πλείους οὐ νοοῦσιν ὑπὸ Θήβας ἐν δυσὶ μέρεσι λόγου, ἀλλὰ ὑφὲν, Ὑποθήβας λέγοντες, ὅτι πολλοὶ τόποι καλοῦνται μετὰ προθέσεων, οἷον Ἐπικνημίδιοι, Ὑπερβόρεοι, Προποντὶς, Ὑποχαλκὶς πόλις Αἰτωλίας, οὕτω γοῦν καὶ Ὑποθῆβαι, πολισμάτιόν τι διὰ τὴν τοῦ τόπου θέσιν οὕτως ὠνομασμένον. Ὡς γὰρ Ὑποχαλκὶς διὰ τὸ ὑπὸ τὸ ὄρος φασὶ τὴν Χαλκίδα κεῖσθαι· οὕτω καὶ Ὑποθῆβαι αἱ ὑπὸ τὰς Βοιωτίας Θήβας· φασὶ δὲ οὕτω καλεῖσθαι τὰς Ποτνίας τῆς Βοιωτίας. — Φασὶ δέ τινες καί ὅτι παρ' ἱστορίας ἐστὶ τὸ μνησθῆναι Θηβῶν ἐνταῦθα τὸν Ποιητήν· ὡς

НБ ОНУ імені І.І. Мечникова

γὰρ δηλοῖ καὶ τὰ εἰς τὸν Λυκόφρονα ὑπομνήματα, οὐκ ἐστράτευσαν εἰς Τροίαν νεωστὶ πορθηθέντες ὑπὸ Ἀργείων, καὶ ἄρτι τὴν πόλιν συνοικίσαντες. Τινὲς δὲ Ὑποθήβας φασὶ τὰς ὑποκειμένας κώμας ταῖς ἑπταπύλοις Θήβαις. — Ἕτερον δὲ Ὑποθήβας τὰς ἐλάττους Θήβας, ἃς δηλαδὴ ἠλάττωσαν οἱ ἐπίγονοι τῶν ἑπτὰ ἐπὶ Θήβας, ὡς μετὰ ταῦτα ἱστορήσει ὁ ποιητής. (Ἴδ. Στράβ. σελ. 284. 16.) — Καὶ ὅρα τὸ ὑπὸ Θήβας, ἤγουν ὑπὸ τῇ Καδμείᾳ· διχῶς γὰρ συνέταξεν ὁ ῥήτωρ τὴν ὑπὸ πρόθεσιν, ἤγουν μετὰ αἰτιατικῆς καὶ δοτικῆς· πολλαχοῦ δὲ οὕτω γίνεται. Ε.—Πολύχνιον ἀνώνυμον· [αἱ Ὑποθῆβαι] οὐ γὰρ εὔλογον στρατεύειν Θηβαίους, νεωστὶ ὑπ' Ἀργείων πορθηθέντας· ἢ ὅτι νεωστὶ ἦν οἰκισθεῖσα, διό φησιν, ἐϋκτίμενον. Σ. Β.

Σ. 506. Ὀγχηστον] Ὀγχηστὸς δὲ, ἄλσος ἐν τῇ Ἁλιαρτίων χώρᾳ, ἱδρυθὲν ὑπὸ Ὀγχηστοῦ, παιδὸς Βοιωτοῦ, ὅς φασιν ἐν τῷ τόπῳ πρῶτος Ποσειδῶνος ἱδρύσατο ἱερόν· ἔστι δὲ καὶ πόλις μεγάλη κατά τινας. — Συνήγετο δέ φασι τὸ Ἀμφικτυονικὸν εἰς Ὀγχηστὸν, ὃ σύνταγμά τι ἦν πλήθους ἐλθόντων τὰ ἱερά. Ε. (Ἴδ. Στράβ. Θ, σελ. 284. 25.) — Ἄλσος] Πᾶς τόπος σύνδενδρος, ὕδωρ ἔχον, καὶ Θεοῖς ἀφιερωμένος ἄλσος καλεῖται. Σ.

Σ. 507. Ἄρνην] Ἡ δὲ Ἄρνη ὁμώνυμός ἐστι τῇ ἡρωΐδι. — Τὰ δὲ σχόλια γράφουσι καὶ ὅτι Ἄρνη νῦν Χαιρώνεια. (Σχολ. Θουκυδ. Α, κεφ. 12. σελ. 312.) Φασὶ δὲ καὶ τὴν Ὁμηρικὴν ταύτην Ἄρνην ὑπὸ τῆς Κωπαΐδος λίμνης καταποθῆναι, καὶ τὴν Μίδειαν. Ε. (Στράβ. σελ. 284.)

Σ. 508. Νίσσαν] Νίσσαν Βοιωτίας οὐ Μεγαρίδος· ἔστι δὲ ἐν αὐτῇ Διονύσου ἐπιφανὲς ἱερόν. Σ. — Ἔστι δὲ παρώνυμος Νίσῳ τινὶ ἥρωϊ. — Οἱ δὲ μεθ' Ὅμηρόν φασιν ὅτι Νίσα οὐδαμοῦ φαίνεται Βοιωτίας· διὸ καὶ γράφουσί τινες, Ἴσον τε ζαθέην· (Στράβ. Θ', σελ. 413.) ὡς τῆς Ἴσου εὑρισκομένης.—Ἀνθηδόνα] Ἡ δὲ Ἀνθηδὼν καλεῖται μὲν οὕτω διὰ τὸ αὐτῆς ἀνθηρὸν, ἢ ἀπὸ Ἀνθηδόνος ἢ Ἀνθίου ἀπογόνου Ποσειδῶνος· συνῴκισαν δὲ αὐτὴν Θρᾷκες· ἐκ ταύτης Γλαῦκος θαλάσσιος δαίμων κατὰ τὸν μῦθον. —Κεῖται δὲ παρὰ τὸν Εὔριπον ἐσχάτη τῆς Βοιωτικῆς παραλίας τῆς πρὸς Εὐβοίᾳ. Ε. — Νίσαν τε. Β.

Σ. 511. Ἀσπληδόνα] Ἡ δὲ Ἀσπληδὼν γράφεται παρ' ἑτέροις καὶ χωρὶς τοῦ α· ἐκλήθη δὲ ἀπ' Ἀσπληδόνος υἱοῦ Ποσειδῶνος ἢ Πρέσβωνος ἢ Ὀρχομενοῦ. — Μετωνομάσθη δὲ Εὐδείελος καὶ

НБ ОНУ імені І.І.Мечникова

αὐτὴ καὶ ἡ χώρα· ἔστι δὲ εὐδείελος· ἡ ἐν καιρῷ χειμῶνος εὖ ἔχουσα τοῦ πρὸς δείλην καταστήματος, διὰ τὸ εὐφυὲς τῆς τοῦ τόπου θέσεως. Ε. (Στράβ. Θ. σελ. 286. 30.). — Ὀρχομενόν] Τὸν ἐν τῇ Βοιωτίᾳ λέγει Ὀρχομενὸν, τὸν ὑπὸ Μινύου βασιλευθέντα, τὸν ὀνομασθέντα ἀπὸ Ὀρχομενοῦ τοῦ Διὸς υἱοῦ, καὶ Ἑρμίππης τῆς Βοιωτοῦ. Παραῤῥέει αὐτὸν ποταμὸς Μίνυας, ἀφ' οὗ Μινύαι ἐκλήθησαν οἱ τὴν χώραν κατοικοῦντες. Ἔστι δὲ καὶ ἕτερος Ὀρχομενὸς, τῆς Ἀρκαδίας, ὃν πολύμηλον καλεῖ ὁ ποιητής· (στίχ. 605.) καὶ ἕτερος τῆς Θεσσαλίας. Σ. (Στράβ. σελ. 285. 42.).

Σ. 513. Ἀζείδαο] Ἤγουν υἱοῦ Ἀζέως· τὸ δὲ Ἄρηϊ κρατερῷ, ἐλλειπῶς εἴρηται· λείπει γὰρ ἡ ὑπὸ πρόθεσις· διὸ προϊὼν ἐντελῶς ἐπὶ τοῦ Ἀγχίσου ἐρεῖ, ὃν ὑπ' Ἀγχίσῃ τέκεν Ἀφροδίτη (στίχ. 820.). Ε.

Σ. 514. Ὑπερώϊον] Εἰς τὸ δίστεγον ἐλθοῦσα τὸ καλούμενον γυναικωνίτης· οἱ γὰρ ἀρχαῖοι ταῖς γυναιξὶν ὑπερῴους τοὺς θαλάμους κατεσκεύαζον ὑπὲρ τοῦ δυσεντεύκτους αὐτὰς εἶναι. Σ.

Σ. 517. Αὐτὰρ Φωκήων] Μέγα ἔθνος οἱ Φωκεῖς· κεῖται δέ φασιν ἡ Φωκὶς μετὰ Βοιωτίαν καὶ Ὀρχομενὸν, πρὸς ἄρκτον παραβεβλημένη τῇ Βοιωτίᾳ. — Καλοῦνται δὲ οὕτως ἀπὸ Φώκου, υἱοῦ Αἰακοῦ καὶ Ψαμάθης μιᾶς τῶν Νηρηΐδων. Ε.

Σ. 518. Ναυβολίδαο] Ναυβόλου παιδὸς, Ἰφίτου. Σ.

Σ. 519. Κυπάρισσον] Τὴν δὲ ῥηθεῖσαν Κυπάρισσον ἀπὸ Κυπαρίσσου φασὶ καλεῖσθαι, υἱοῦ Μινύου ἀδελφοῦ Ὀρχομενοῦ· οἱ δὲ ἀπὸ πλήθους τῶν ἐκεῖ κυπαρίσσων. — Ἔκειτο δὲ ἐν Παρνασσῷ κατὰ τοὺς Δελφούς. Ε. — Ἡ νῦν Ἀπολλωνίας. Σ. Β. — Πυθῶνα] Καὶ αὕτη πόλις Φωκίδος· τὸ πρότερον δὲ ἐκαλεῖτο Παρνασία νάπη, ὡς ἀπὸ τοῦ παρακειμένου ὄρους, ἔπειτα Πυθὼν, ὕστερον δὲ Δελφοί. Σ.

Σ. 520. Κρίσσαν τε ζαθέην] Κρίσσαν ζαθέην λέγει, ἐπεὶ Δημητρεῖόν φασι περὶ αὐτὴν ἐπιφανὲς, ἢ ὡς ἀνακειμένην Ἀπόλλωνι. — Πεδίον καὶ πόλις ἐν Λοκροῖς ἢ ἐν Δελφοῖς, ἀπὸ Κρίσσου τινὸς τυράννου. — Δαυλίδα] Ἡ δὲ Δαυλὶς δασεῖα πόλις καὶ σύμφυτος, ὅθεν καὶ τὴν κλῆσιν ἔλαχε· δαῦλον γὰρ τὸ δασὺ ἔλεγον. — Κατὰ δὲ ἑτέρους ἀπὸ Δαυλιέως τυράννου ἐκλήθη οὕτως· οἱ δὲ ὕστερον Δαύλειαν αὐτήν φασι. — Διὸ πολίτης αὐτῆς Δαυλιεὺς καὶ Δαύλιος καὶ

НБ ОНУ імені І.І. Мечникова

Δαυλίδιος (Στράβ. Θ, σελ. 291. 46.). —Πανοπῆα] Ὁ δὲ Πανοπεὺς ἀπὸ Πανοπέως ὠνόμασται υἱοῦ Φώκου· ἕτεροι δὲ Πανόπην μὲν γράφουσι τὴν πόλιν· Πανοπέα δὲ τὸν αὐτῆς πολίτην. — Ἐν δὲ τῷ Γεωγράφῳ κεῖται, ὅτι Πανοπεὺς ὁ νῦν Φανοπεὺς, ὅμορος τοῖς περὶ Λεβάδειαν τόποις, καὶ ὅτι ἐνταῦθα ἡ τοῦ Ἐπειοῦ πατρίς. Ε. (Στράβ. Θ. σελ. 291. 54.) — Κρίσαν. Β.

Σ. 521. Ἀνεμώρειαν] Ἡ δὲ Ἀνεμώρεια ὠνόμασται μέν φασιν ἀπὸ τοῦ συμβαίνοντος πάθους· ὑπέρκειται γὰρ αὐτῆς τὸ καλούμενον Κατοπτήριον χωρίον· ἐξ οὗ δι᾽ ἡμέρας καὶ νυκτὸς καταιγίζεται πανταχόθεν· ἔστι δὲ μεθόριον Φωκίδος καὶ Δελφῶν, κειμένη ἐπὶ λόφου ὑψηλοῦ· ταῦτα ἐν τοῖς ἐθνικοῖς, ἐν οἷς καὶ ὅτι Ἀνεμώρεια ἡ νῦν Ἀνεμώλεια. Ε. (Στράβ. σελ. 292. 3.) — Ὑάμπολιν] Οἵτινες ᾤκουν τὴν ὑπὸ Ὑαντῶν ἔθνους βαρβάρων οἰκισθεῖσαν πόλιν. Σ. (Στράβ. Δ. σελ. 292. 9.)

Σ. 522. Κηφισσόν] Κηφισσόν. Οὗτοι Ἐπικηφίσσιοι λέγονται, ὑπὸ δέ τινων Παραποτάμιοι· ὁ δὲ Κηφισσὸς ποταμός ἐστι τῆς Φωκίδος, ἔχων τὰς πηγὰς ἐκ Λιλαίας, ὥς φησιν Ἡσίοδος. Β. — Δῖον] Θαυμαστόν. Δ. — Ἔναιον] Ὤικουν. Δ.

Σ. 523. Λίλαιαν] Ἡ δὲ Λίλαια πόλις λέγεται καὶ αὐτὴ Φωκική· ὁμώνυμος Λιλαίᾳ τῇ τοῦ Κηφισσοῦ· ἔκειτο δὲ παρὰ τὸν Παρνασσόν· περιῤῥέει δὲ ταύτην ὁ ἐνταυθοῖ παρειςρυεὶς τῷ Ὁμηρείῳ λόγῳ Κηφισσὸς, μᾶλλον δὲ τὰς πηγὰς αὐτόθεν ποθὲν ἔχει. Λέγει δὲ καὶ ὁ Γεωγράφος, (Θ, σελ. 407.) ὅτι Κηφισσὸς ἐκ Λιλαίας πόλεως Φωκικῆς τὴν ἀρχὴν λαμβάνει, καὶ ὅτι εἰς τὴν Κωπαΐδα ἐκδίδωσιν. — Οἱ δὲ παρὰ τὸν Κηφισσὸν ποταμὸν Ἐπικηφίσσιοι λέγονται, ὑπὸ δέ τινων παραποτάμιοι. Ε. (Στράβ. Θ. σελ. 280. καὶ 281.) — Κηφίσοιο. Β.

Σ. 525. Ἔστασαν] Ἵστασαν, εἱστήκεσαν. Β.

Σ. 526. Ἔμπλην] Ἢ τὸ ἐμπελαδὸν, ἢ τὸ χωρίς. Κ. Πλησίον. Σ. (Ἰδ. Ἀπολλ. σελ. 320. Β. Ἐτυμ. Μ.) — Ἔμπλην] Πλησίον, Ἐγγύς. — Ἐπ᾽ ἀριστερά] Ἐκ τοῦ ἀριστεροῦ μέρους.

Σ. 527. Λοκρῶν] Λοκρῶν νῦν μὲν μέμνηται τῶν Ἐπικνημιδίων καλουμένων· οὗτοι γὰρ ἀντικρὺ τῆς Εὐβοίας τὴν οἴκησιν πεποίηνται· οἱ ὑπὸ τῷ Αἴαντι ὄντες. Εἰσὶ δὲ καὶ ἕτεροι Λοκροὶ, ἐπικαλούμενοι Ὀζόλαι, περὶ τὴν Αἰτωλίαν ἐπὶ τῆς ἑτέρας πλευρᾶς οἰκοῦντες κατὰ τὸ Κρισσαῖον πεδίον, κεκλη-

НБ ОНУ імені І.І. Мечникова

μένοι οὕτως ἀπὸ τοῦ αὐτόθι ῥέοντος Ὄζοντος ποταμοῦ. — Τούτων δὲ ἄποικοί εἰσιν ἕτεροι Λοκροὶ, οἱ Ἐπιζεφύριοι καλούμενοι, διὰ τὸ ἐπὶ Ζεφυρίῳ ὄρει τῆς Ἰταλίας παροικεῖν. Σ. — Στράβων δὲ περὶ Λοκρῶν καὶ ταῦτά φησιν· ἑσπερίων Λοκρῶν Ὅμηρος οὐ μέμνηται· διαιρεῖ δὲ ὁ αὐτὸς τοὺς παρ' Ὁμήρῳ εἰς Ἐπικνημιδίους καὶ Ὀπουντίους· ὥστε καὶ δύο γένη Λοκρῶν καθ' Ὅμηρον· ἤγουν οἱ Ἐπικνημίδιοι ἅπαντες κοινῶς· καὶ αὖ πάλιν κοινῶς οἱ ἕτεροι, τουτέστιν οἱ Ἑσπέριοι, οἱ καὶ Ὀζόλαι· τρία δέ εἰσι γένη τῶν αὐτῶν, ἐάν τις ὑποδιέλῃ κατά τινα ἐξοχὴν ἢ διαφορὰν τοὺς Ὀπουντίους ἀπὸ τῶν Ἐπικνημιδίων. — Λέγει δὲ ὁ Στράβων καὶ ὅτι Ἑσπερίοις μὲν Λοκροῖς συνεχεῖς Αἰτωλοὶ, Ἐπικνημιδίοις δὲ Ἐνιᾶνες. — Καὶ ὅτι Παρνασσοῦ τὸ πρὸς δύσιν πλευρὸν, Ὀζόλαι Λοκροὶ κατέχουσιν, οἱ καὶ Ἑσπέριοι· τὸ δὲ νότιον, οἱ Δελφοί. Ε. (Στράβ. σελ. 286. 87.) — Ἰστέον δὲ ὅτι ἀθετοῦσι τινὲς, ἐν οἷς καὶ Ζηνόδοτος, τὸ, ἀλλὰ πολὺ μείων, καὶ τὰ ἑξῆς, οὐ μόνον διὰ τὸ λινοθώρηξ· οἱ Ἕλληνες γὰρ χαλκοχίτωνες· ἀλλὰ καὶ διὰ τὸ, Πανέλληνας· οὐ γὰρ λέγει φησὶν Ἕλληνας ὁ ποιητὴς, ἀλλ' Ἀργείους, Δαναοὺς, Ἀχαιούς· διότι οὐδὲ Ἑλλάδα φησὶ λέγει τὴν οἰκουμένην ὑπὸ Ἑλλήνων χώραν, ἀλλὰ μίαν τινὰ πόλιν Θετταλικὴν καὶ τοὺς ἐκεῖθεν Ἕλληνας, ὡς κατωτέρω δηλωθήσεται· οἱ δὲ τὸν ῥηθέντα Ζηνόδοτον μεμφόμενοι ἐφ' οἷς ἠθέτηκε, φασὶ πρὸς ἄλλοις καὶ ἀναγκαῖον εἶναι τὸ χωρίον· ποιότητα γὰρ προσώπων δηλοῖ, καὶ προσυνίστησιν, ὅτι ἥττων τοῦ Σαλαμινίου τὸ μέγεθός ἐστιν ὁ Λοκρός· τὸ δὲ, Πανέλληνας δὲ, οὐ κατὰ Ζηνόδοτον ἀλλ' Ὁμηρικῶς ἑρμηνευτέον κατὰ τοὺς παλαιοὺς, λέγοντας τὸ Πανέλληνας καὶ Ἀχαιοὺς, ἀντὶ τοῦ Θεσσαλοὺς καὶ Ἀργείους, ἵνα ἀντιδιαιρῇ τοῖς ὅλοις Ἀργείοις τοὺς ὑπὸ τῷ Ἀχιλλεῖ λεγομένους ἰδίως Ἕλληνας κατά τινα ἐξοχήν. Ε.

Σ. 529. Λινοθώρηξ] Οἱ γὰρ τοξόται λινοὺς θώρακας φοροῦσιν. Σ.

Σ. 530. Ἐγχείῃ] Τῇ διὰ δόρατος μάχῃ. Σ.

Σ. 531. Κῦνον] Ἡ δὲ Κῦνος ἄκρα τις τερματίζουσα τὸν Ὀπούντιον κόλπον· ἐπίνειον Ὀπόεντος πόλεως Λοκρῶν ἐπικνημιδίων τῶν πέραν Εὐβοίας κατὰ τὸν ποιητήν· ἀφ' ἧς ἦν καὶ ὁ τοῦ Ἀχιλλέως συγγενής τε καὶ ἑταῖρος Πάτροκλος· κληθείσης οὕτως ἀπὸ Ὀπόεντος ἄρξαντος ἐν αὐτῇ· ἐθνικὸν τοῦ Ὀπόεις Ὀποείσιος, ὥσπερ δὲ Σιμόεις Σιμοῦς, οὕτω καὶ Ὀπόεις Ὀποῦς, καὶ κλίνεται

НБ ОНУ імені І.І. Мечникова

Ὀπςῦντος, καὶ τὸ ἐθνικὸν ἐξ αὐτοῦ Ὀπούντιος. — Καλλίαρον] Καλλίαρος δὲ ἀπὸ Καλλιάρου φασὶν ὠνόμασται, υἱοῦ Ὀδοιδόκου καὶ Λαονόμης· οἱ δὲ Καλλίαρα οὐδετέρως φασὶ, διὰ τὸ εὐήροτον τῆς ἐκεῖ γῆς· ἐθνικὸν δὲ ταύτης οἱ Καλλιαρεῖς. Ε.

Σ. 532. Βῆσσάν τε] Ἡ δὲ Βῆσσα ὠνομάσθη φασὶν ἀπὸ τῆς τοῦ τόπου φύσεως, ναπώδους οὔσης· ἦν δὲ καὶ ἔθνος Θρακικὸν οἱ Βῆσσοι. Ε. (Στράβ. Θ, σελ. 293. 54.) — Πάντες οἱ σύνδενδροι τόποι, καὶ μάλιστα τῶν ὀρῶν, βῆσσαι λέγονται. Σ. — Σκάρφην] Ἡ δὲ Σκάρφη κεῖταί φασιν ἐγγὺς Θερμοπυλῶν· ὠνόμασται δὲ ἀπὸ Σκαρφείας ἐνδόξου τινὸς γυναικός· κατὰ δὲ τὸν Γεωγράφον (Λ, 1, σελ. 294. 1.), ἐφ᾽ ὕψους ἡ Σκάρφη κεῖται, χώραν εὔκαρπον καὶ εὔδενδρον ἔχουσα· καλεῖται δέ, φησι, νῦν Φαρύγαι. — Αὐγειάς] Αὐγειαὶ δὲ οὐ μόνον Λοκρικαὶ, ὧν ὁ πολίτης Αὐγειάτης, ἀλλὰ καὶ Λακωνικὴ πόλις ἐστὶν ὁμώνυμος. Ε.

Σ. 533. Τάρφην] Τάρφη δὲ, διὰ τὴν τῆς ὕλης πυκνότητα· ταρφέα γὰρ τὰ πυκνά. — Θρόνιον] Τὸ δὲ Θρόνιον, τὸ κατὰ τὴν μεσογαῖαν τῆς Κνημῖδος· τῶν Ἐπικνημιδίων γάρ ἐστι Λοκρῶν. — Βοαγρίου] Ὁ δὲ Βοάγριος ποταμὸς, ὁ παραῤῥέων αὐτό. Ε.

Σ. 536. Εὔβοιαν] Εὔβοια μὲν ἀπὸ Εὐβοίας τῆς Ἀσωποῦ τὴν κλῆσιν ἔσχε· κατὰ δέ τινας, ἀπὸ τῆς Ἰοῦς ὠνομάσθη, ἣν εἰς βοῦν ἐξαλλαγῆναι μυθεύονται· οὕτω γὰρ φασὶ καὶ βοὸς αὐλὴ, ἄντρον παράλιον περί που τὴν τοιαύτην νῆσον, ὅπου τὴν Ἰὼ τεκεῖν φασιν Ἔπαφον· ὥστε βούλονται οἱ οὕτω λέγοντες τῆς ἀποβοιωθείσης Ἰοῦς παρώνυμον εἶναι ταύτην τὴν Εὔβοιαν. — Σημειοῦνται δὲ καὶ ὅτι Εὔβοιαν εἰπὼν, οὐδέποτε παρωνύμως τοὺς ἀπ᾽ αὐτῆς Εὐβοέας εἶπεν, ἀλλὰ Ἄβαντας. Ἰστέον δὲ καὶ ὅτι Εὔβοιαν ὁ ποιητὴς οὐ τὴν ὅλην οἶδε νῆσον, ἀλλά τι μέρος αὐτῆς· ὅθεν οὐδὲ εἶχε κοινῶς Εὐβοεῖς εἰπεῖν τοὺς ὑπὸ τῷ Ἐλεφήνορι τεταγμένους, ὥσπερ οὐδὲ Ἐρετριεῖς κοινῶς ἢ Χαλκιδεῖς· ὅθεν τὸ κοινὸν εἶπε τοὺς Ἄβαντας, εἰς ὃ πάντες οἱ τῆς νήσου ὑπέπιπτον· ἀφ᾽ ὧν καὶ Ἀβαντὶς Εὔβοια, ὡς ἀπὸ Ἄβαντος τοῦ Ἀργείου, ἢ υἱοῦ Ποσειδῶνος, καὶ Ἀρεθούσης. — Οἱ δὲ λέγουσι καὶ ὅτι Θρᾷκες, κατὰ Ἀριστοτέλην ὁρμηθέντες ἐξ Ἄβας τῆς Φωκικῆς, ἐπῴκησαν τὴν νῆσον, καὶ ἐπωνόμασαν Ἄβαντας τοὺς ἐκεῖ. — Ὄπισθεν δὲ κομῶντας τοὺς Ἄβαντας λέγει (στ. 542.) κατά τι ἔθος ἴδιον· φασὶ γὰρ οἱ παλαιοὶ, ὅτι Κουρῆτες ἐν Χαλκίδι ᾤκη-

σαν· συνεχοῦς δὲ πολέμου ὄντος αὐτοῖς περὶ τοῦ Λιλαντίου πεδίου, ἐπεὶ τῆς κόμης οἱ πολέμιοι δραττόμενοι κατέσπων αὐτοὺς, ὀπισθόκομοι γεγόνασι, τὰ ἔμπροσθεν κειρόμενοι· διὸ καὶ Κουρῆτες ἀπὸ τῆς Κουρᾶς ἐκλήθησαν· καὶ ἀγάλματά εἰσι παρ' αὐτοῖς οὕτως ἔχοντα· μετοικήσαντες δὲ εἰς Αἰτωλίαν, φασὶν Ἀκαρνᾶνας κληθῆναι, διὰ τὸ ἀκούρους φυλάσσειν τὰς κεφαλάς. — Οἱ δὲ παλαιοὶ λέγουσι καὶ ὅτι ἴδιον κουρᾶς Εὐβοέων, τὸ βαθείας ἔχειν, τὰς ὄπισθεν κόμας ἀνδρίας χάριν. Ε.

Σ. 537. Χαλκίδα] Ἡ δὲ Χαλκὶς ἐλέγετό φασι πρότερον Εὔβοια· ἐκλήθη δὲ Χαλκὶς ἀπὸ θυγατρὸς Ἀσωποῦ Κόμβης, τῆς καὶ Χαλκίδος· τινὲς δὲ διὰ τὰ χαλκεῖα πρῶτον παρὰ τοῖς ἐκεῖ ὀφθῆναι. — Ὁ πολίτης αὐτῆς Χαλκιδεύς· ταύτης ἄποικοι καὶ ἕτεροι μὲν, καὶ οἱ ἐν τῇ Κύμῃ δὲ τῆς Σικελίας Χαλκιδεῖς. Ε. (Στράβ. Ι. σελ. 307.). — Εἰρέτριαν] Ἐρέτρια ἐκαλεῖτο μὲν καὶ Μελανηΐς, ἀπὸ Μελανέως, πατρὸς Εὐρύτου, ἔσχε δὲ τὴν κλῆσιν ἀπὸ Ἐρετριέως, υἱοῦ Φαέθοντος, ἑνὸς τῶν Τιτάνων· ταύτης ὁ πολίτης Ἐρετριεύς. — Ἐκωμῳδοῦντο δέ φασιν οἱ Ἐρετριεῖς, ὡς πολλῷ τῷ ρ ἐν ταῖς ὁμιλίαις χρώμενοι· διὸ καὶ αὐτοὶ καθὰ καὶ Ἠλεῖοι βαρβαρόφωνοι ἐκαλοῦντο, διὰ τὸν πλεονασμὸν τοῦ ρ. — Καὶ πόλεις δὲ πολλὰς ἡ Ἐρέτρια, ὡς καὶ ἡ Χαλκὶς συνῴκισε· κατεσκάφη δὲ ἡ παλαιὰ Ἐρέτρια, ἀπεκτίσθη δὲ ὕστερον ἑτέρα κατὰ τὸν Ὠρωπόν. Ε. (Στράβ. Ι. σελ. 308. 42.) — Ἱστίαιαν] Ἱστίαια ὕστερόν φασιν ἐκλήθη Ὠρεός· ὁ πολίτης ταύτης Ἱστιαιεὺς, ὁ δὲ τῆς Θεσσαλικῆς Ἱστιαίας πολίτης, Ἱστιαιώτης. Ε.

Σ. 538. Κήρινθον] Ἡ δὲ Κήρινθος ἐκλήθη ποτέ φασι καὶ Ἐλλοπία, ἀπὸ Ἔλλοπος υἱοῦ Τιθωνοῦ· ποταμὸς δὲ περὶ αὐτὴν Βουδόρας καλούμενος ἢ Βούδορός φασιν, ὁμώνυμος ὄρει Σαλαμινίῳ. Ἔφαλον δὲ ταύτην ὁ ποιητὴς λέγει, ὡς μὴ ἁπλῶς ἀγχίαλον, ἀλλ' ἐπ' αὐτῆς, ὡς εἰπεῖν, τῆς ἁλός· κατὰ γὰρ τοὺς παλαιοὺς ταύτης τὰ θεμέλια ὑπὸ θαλάσσης ἁλμίζεται. Ὁ δὲ Στράβων πολείδιον Ἱστιαιέων τὴν Κήρινθον λέγει, ἐπὶ τῇ θαλάσσῃ κείμενον· (Ι. σελ. 306. 55.) — Δίου] Δίου δὲ πτολίεθρον αἰπὺ τὸ Δῖον λέγει, περιφραστικῶς ἐφ' ὑψηλοῦ, ὡς εἰκὸς, ἱδρυμένον· κεῖται δέ φασι τὸ Δῖον τοῦτο περὶ τὸ Κήναιον τῆς Εὐβοίας ἀκρωτήριον· πολίτης αὐτοῦ Διηνός. Ε.

Σ. 539. Κάρυστον] Ἡ δὲ Κάρυστος ὑπὸ τῇ Ὄχῃ φασὶ

НБ ОНУ імені І.І. Мечникова

κεῖται, ἥτις ἐστὶν ὄρος μέγιστον τῶν ἐν Εὐβοίᾳ· ἐξ οὗ καὶ ἡ Εὔβοια Ὄχη ὠνομάσθη ποτέ. — Ἐκαλεῖτο δὲ ἡ Κάρυστος καὶ Αἰγαία ἀπὸ Αἰγαίωνος δυνάστου, ἀφ' οὗ καὶ πέλαγος Αἰγαῖον· ἦν δὲ καὶ λατόμιον τὸ μαρμάριον Καρυστίων κιόνων κατὰ τὸν Γεωγράφον, περὶ αὐτὴν (I. σελ. 307. 33.) — Κεῖται δέ φασι Κάρυστος ἀντικρὺ Χίου, περὶ τὸν περὶ τὸ Μυρτῷον πέλαγος πλοῦν· ἐκλήθη δὲ ἀπὸ Καρύστου, υἱοῦ Χείρωνος· ἐξ οὗ καὶ Χειρωνία ποτὲ ὠνομάσθη. — Στύρα] Στύρα δὲ, κεῖται κατὰ τὸν Γεωγράφον πλησίον Καρύστου καὶ αὐτὰ καὶ τὸ ῥηθὲν μαρμάριον· ἐθνικὸν αὐτῶν Στυρεύς. — Κατεστράφη δὲ τὰ Στύρα ὑπὸ Φαίδρου Ἀθηναίων στρατηγοῦ. Ε.

Σ. 540. Ὄζος Ἄρηος] Πολεμικὸς καὶ Ἀρήϊος. Ε.

Σ. 541. Χαλκωδοντιάδης] Χαλκώδοντος παῖς. Σ.

Σ. 543. Ὀρεκτῇσι μελίῃσι] Εἰσὶ δὲ μελίαι μὲν τὰ δόρατα, διότι ἀπὸ ξύλου μελίας ἐσκευάζετο· ὀρεκταὶ δὲ, αἱ ἐκτεινόμεναι κατὰ τῶν πολεμίων, ἵνα εἶεν Ἄβαντες αἰχμηταὶ, οἱ μὴ ἀφιέντες τὰς αἰχμὰς, ὀρέγοντες δὲ ταῖς χερσὶ καὶ οὕτω πλήσσοντες· ὀρέξαι γὰρ τὸ ἐκ χειρὸς πατάξαι. — Διττὴ γὰρ ἡ τῶν δοράτων φησὶ χρῆσις, ἡ μὲν, ἐκ χειρὸς, ὅτε καὶ ἀγχέμαχα καὶ ὀρεκτὰ λέγονται, ἡ δὲ, ὡς ἐν παλτοῖς καθὰ καὶ ὁ κοντὸς, ἀμφοτέρας τὰς χρείας ἀποδίδωσι, συστάδην τε γὰρ καὶ κοντοβολούντων· ὅπερ καὶ ἡ σάρισσα δύναται καὶ ὁ ὑσσός. — Λέγει δὲ παλαιὰ γραφὴ καὶ ὅτι οἱ ἀγαθοὶ οἱ Εὐβοεῖς πρὸς μάχην σταδίαν, ἣ καὶ συστάδην λέγεται καὶ ἐκ χειρός. Ὁ δὲ εἰπὼν δουρὶ δ' ἀκοντίζω, ὅσον οὐκ ἄλλος τις ὀϊστῷ, τῷ παλτῷ λέγει δόρατι· καὶ οἱ μονομαχοῦντες δὲ, παλτοῖς χρῶνται δόρασι πρότερον, εἶτα ἐπὶ τὰ ξίφη βαδίζουσιν· ἀγχέμαχοι δὲ, οὐ μόνον οἱ χρώμενοι ξίφει, ἀλλὰ καὶ δόρατι ἐκ χειρός. Ε.

Σ. 547. Ἐρεχθῆος] Εὐγενὴς δὲ ἀνὴρ ὁ Ἐρεχθεὺς, καὶ συνετὸς, ὡς οἷα καὶ Ἀθηνᾶς τρόφιμος, καὶ αὐτόχθων, οὐ μὴν ἔπηλυς· διὸ καὶ, ὡς μὲν ἀγχίνους, ὑπ' Ἀθηνᾶς λέγεται τραφῆναι, ὡς δὲ αὐτόχθων, ὑπὸ γῆς γενηθῆναι. Ε.

Σ. 548. Ζείδωρος Ἄρουρα] Ἔνθα φασὶν οἱ παλαιοὶ, ὅτι κύριον ἐπὶ Ἀττικοῖς τὸ ζείδωρος δοκεῖ· ἐκεῖ γὰρ πρῶτον ἀνεδόθη καρπὸς, οὗ μέρος καὶ ἡ ζειά· ὅθεν ἡ ζείδωρος. Ε. — Ζείδωρος] Ἡ τὰ πρὸς ζωὴν δωρουμένη γῆ. Σ.

Σ. 549. Εἷσεν] Ὡς οἷά τινα ζάκορον ἢ νεωκόρον ἢ καὶ ἱερέαν·

НБ ОНУ імені І.І.Мечникова

ὥστε καὶ ἱερᾶτο ἐκεῖνος τῇ Ἀθηνᾷ· τινὲς δὲ τὸν αὐτὸν καὶ Ἐριχθόνιόν φασιν, ὁμώνυμον τῷ παλαιῷ Τρωϊκῷ βασιλεῖ Ἐριχθονίῳ. Ε. — Πίονι] Ἀντὶ τοῦ πλουσίῳ καὶ εὐδαίμονι. Σ. (Ἰδ. Ἀπολλόδ. σελ. 822.)

Σ. 550. Ἐνθάδε μιν ταύροισι] Ἔοικε τὰ Παναθήναια ἱστορεῖν, ὧν ἔκτοτε, ὡς εἰκὸς, ἀρχή τις προκατεβέβλητο, οὐ κατὰ ἐνιαυτὸν ἕκαστον τελουμένων, ἀλλὰ περιτελλομένων ἐνιαυτῶν· κατὰ πενταετηρίδα γὰρ ἤγοντο καὶ αὐτὰ, καθὰ καὶ τὰ Ὀλύμπια. Ε.

Σ. 551. Περιτελλομένων] Εἰς τὸ αὐτὸ κατὰ περίοδον περιερχομένων καὶ τελειουμένων. Σ.

Σ. 552. Πετεῶο] Τὸ δὲ Πετεῶο, ἢ ἀπὸ τοῦ Πετεὼς Πετεῶ γίνεται Ἀττικῶς, ὡς λαγὼς λαγῶ, καὶ πλεονασμῷ τοῦ ο μικροῦ Πετεῶο κατὰ τὸν Ἡρωδιανόν· ἢ (γρ. ἢ ἡ) εὐθεῖά ἐστι κοινὴ κατὰ τὸν Ἀρίσταρχον, Πετεὸς ὡς καλὸς, οὗ γενικὴ Πετεοῖο, ὡς καλοῖο, καὶ ἐκτάσει Πετεῷο. — Θησεὺς τοὺς Παλλαντίδας ἑλὼν, ἐκβάλλει Πετεῶν ἅμα τῷ παιδὶ Μενεσθεῖ, ὡς συναιρόμενον τοῖς Παλλαντίδαις· ἐπεὶ δὲ ὕστερον αἱ Ἀφίδναι ὑπὸ Διοσκούρων ἑάλωσαν διὰ τὴν ἀδελφὴν Ἑλένην, καὶ οἱ Θησεΐδαι εἰς Εὔβοιαν ἔφυγον, ἐπιθέμενος ἦρξεν Ἀθηναίων ὁ Μενεσθεύς. Περὶ δὲ τὸν ἀπόπλουν στασιάσαντες οἱ Ἀθηναῖοι, προΐστῶσιν ἄρχειν σφῶν Δημοφῶντα τὸν Θησείδην. Ε.

Σ. 556. Τῷ δ' ἅμα κ.τ.λ.] Σημείωσαι δὲ ὅτι Ἀθηναίων πόλεις ἢ δήμους, ἢ, ὅλως εἰπεῖν, τόπους οὐκ ἠρίθμησεν ὁ ποιητὴς, διά τε πλῆθος κατὰ τοὺς παλαιοὺς, καὶ ὅτι οὐκ εἶχε πάντα, φασὶν, εἰς μετροποιΐαν κατατάξειν· καί τοι ἑκατὸν ἑβδομήκοντα τεσσάρων φασὶ δήμων ὄντων τῆς Ἀττικῆς, ὧν πολλοὶ λαμπρὰ εἶχον διηγήματα. Ε.

Σ. 557. Σαλαμῖνος] Σαλαμὶν νῆσος πρὸς τῇ Ἀττικῇ μήκος ἑβδομήκοντα ἢ ὀγδοήκοντα σταδίων, ἔχουσα πόλιν ὁμώνυμον· ἐκλήθη δέ ποτε καὶ Πιτυοῦσσα ἀπὸ φυτῶν. Ε. — Ἄγεν] Ἦγεν, ἔφερε Β.

Σ. 558. Ἵν' Ἀθηναίων] Ἦν, φασι, περιμάχητος Ἀθηναίοις καὶ Μεγαρεῦσιν ἡ Σαλαμίν· Σόλων δὲ, ἢ Πεισίστρατος παρενέγραψεν ἐνταῦθα μετὰ τὸν Ὁμήρου στίχον, τὸ, στῆσε δ' ἄγων, ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες· καὶ οὕτω μάρτυρι τῷ Ποιητῇ ἐχρήσατο τοῦ τὴν νῆσον ἐξ ἀρχῆς Ἀθηναίων ὑπάρξαι,

ὡς ὁ Γεωγράφος ἱστορεῖ, (Θ. σελ, 271. 52.) ὃ καὶ λέγων, ὅτι πολλὰ ἔπη ἀντιμαρτυρεῖ τῷ τοιούτῳ λόγῳ, καὶ ὅτι οὐκ ἀρέσκει τοῖς κριτικοῖς ἡ τοιαύτη τοῦ ἔπους παρένθεσις· κριτικοὺς εἰπὼν, τοὺς κατὰ τὴν γραμματικὴν παράδοσιν εἰδότας κρίνειν τὰ ποιήματα, ὁ δ' αὐτὸς λέγει καὶ ὅτι οἱ Μεγαρεῖς αὖθις μεταποιούμενοι τῆς Σαλαμῖνος ἀντιπαρῴδησαν οὕτως· Αἴας δ' ἐκ Σαλαμῖνος δώδεκα ἄγε νῆας, ἐκ τ' Αἰγειρούσσης, Νισαίης τε, Τριπόδων τε· χωρία δέ φησι ταῦτα Μεγαρικά. Ε.

Σ. 559. Τίρυνθα] Τὴν δὲ Τίρυνθα τειχιόεσσαν λέγει, διὰ τὸ εὖ τετειχίσθαι· δοκεῖ δέ φασιν ὑπὸ Κυκλώπων τειχισθῆναι τῶν κατὰ τὸ Ἄργος, οἳ καὶ ἐγχειρογάστορες ἐκαλοῦντο καὶ χειρογάστορες, οἷα χειροτέχναι, καὶ τοῖς ἐκ χειρῶν ἔργοις τὴν γαστέρα πληροῦντες. — Ὑπὸ τούτων γοῦν φασι τῶν Κυκλώπων ἐτειχίσθη τὸ Ἄργος, οὐ μὴν ὑπὸ τῶν Σικελικῶν, οἷς οὐδὲν κοινὸν πρὸς τούτους. — Καλεῖται δέ φασι Τίρυνς, ἀπὸ Τίρυνθος ἀδελφοῦ Ἀμφιτρύωνος· ἐκαλεῖτο δὲ πρότερον Ἁλιεῖς, διὰ τὸ πολλοὺς ἁλιευομένους οἰκεῖν ἐκεῖ. Ε. (Στράβ. Η, σελ. 257. 18.).

Σ. 560. Ἑρμιόνην] Ἐθνικὸν ταύτης οἱ Ἑρμιονεῖς· ἱερὸν δὲ ἐν αὐτῇ παρθένου Ἥρας. Ε. (Στράβ. Η, σελ. 257. 37.) — Ἔστι δὲ Ἑρμιόνη ἱερὰ Περσεφόνης. Σ. — Ἀσίνην] Λέγει ὁ Γεωγράφος, ὅτι Ἀσίνη καὶ Ἑρμιὼν Δρυόπων οἰκητήριον· Δρύοπος τοῦ Ἀρκάδος κατοικίσαντος αὐτοὺς ἐνταῦθα ἐκ τῶν περὶ Σπερχειὸν τόπων· λέγει δὲ καὶ κόλπον Ἑρμιονικὸν, ἀρχόμενον ἀπὸ Ἀσίνης πολίχνης. Ε. — Κόλπον] Τὰς βαθὺν κατεχούσας κόλπον. Κόλπος δέ ἐστι θάλασσα ὑπὸ ἀκρωτηρίων περιεχομένη. Σ.

Σ. 561. Τροιζῆν'] Τροιζὴν δὲ πόλις οὐκ ἄσημος, ὑπερκειμένη θαλάσσης πεντεκαίδεκα σταδίων· ᾗς πρόκειται νησίδιον· καλεῖται δὲ ἀπὸ Τροιζῆνος, υἱοῦ Πέλοπος. — Ἔστι δέ φασι καὶ ἑτέρα ἐν Ἰταλίᾳ Μασσαλιωτική· τῆς δὲ Τροιζῆνος ταύτης λιμὴν ᾄδεται ὁ Πώγων· ὅθεν ἐπὶ τῶν ἀτρίχων τὸ γένειον καὶ ψευδομένων τὸν ἀνδρικὸν πώγωνα λέγεται παροιμιωδῶς τὸ, πλεύσειας εἰς Τροιζῆνα. — Ἠϊόνας] Τὰς δὲ Ἠϊόνας οὐχ εὕρομεν πάνυ περιλαλουμένας. — Τινὲς δὲ οἴονται, αὐτὴν εἶναι τὴν Καλαύριαν· φασὶ γὰρ, ὅτι ἀοίκητός ἐστιν ἡ Ἠϊών. — Ὁ Στράβων δέ φησιν, ὅτι Ἠϊόνες κώμη τις, ἣν ἐρημώσαντες Μυκηναῖοι ἢ Ἀθηναῖοι ναύσταθμον ἐποιήσαντο. Ε. — Ἐπίδαυρον] Ἐπί-



НБ ОНУ імені І.І.Мечникова

καὶ ὑπέταξεν αὐτοὺς, οὐκ οἰωθότας φασὶν ἄρχεσθαι· διὸ πρῶτα ἐμβασιλεύειν ἐῤῥέθη, διὰ τὸ αὐτῷ πρώτῳ ἐκείνους ὑποταγῆναι. Ε.

Σ. 573. Ὑπερησίην] Ὑπερησία δὲ, πόλις φασὶν Ἀχαΐας, ἀπὸ Ὑπέρητος ὀνομασθεῖσα, υἱοῦ Λυκάονος. — Γονόεσσαν] Γονόεσσα δὲ, ἀκρωτήριον Πελλήνης. — Γονοῦσα μέντοι τρισυλλάβως, πόλις Περῥαιβίας. Ε.

Σ. 574. Πελλήνην] Πελλήνη δὲ πόλις καὶ αὐτὴ Ἀχαΐας· ταύτης ἐθνικὸν, Πελληνεὺς καὶ Πελλήνιος· ἡ μέντοι Παλλήνη διὰ τοῦ α, πόλις ἐστὶ Θρᾴκης. Ε. (Στράβ. Η, σελ. 266. 32.) —Αἴγιον] Αἴγιον δὲ, πόλις Ἀχαΐας καὶ αὐτό· οὗ πολίτης Αἰγιεύς. — Ἱστοροῦσι δ' ἐνταῦθα τὸν Δία ὑπ' αἰγὸς τραφῆναι, ἣν Ὠλενίην Ἄρατος λέγει, διότι πλησίον ἡ Ὠλένη, ἢ ὁ Ὤλενος. Ε.

Σ. 575. Αἰγίαλον] Ὁ δὲ Αἰγιαλὸς, κατὰ τὸν Γεωγράφον (H, σελ. 264. 28.) τῶν Ἀχαιῶν ἐστὶ καὶ αὐτὸς καὶ χώρα ἐκεῖ σε Αἰγιάλεια τὸ παλαιὸν, καὶ οἱ ἐνοικοῦντες Αἰγιαλεῖς· ὕστερον δὲ Ἰωνία ἐκλήθη ἀπὸ Ἰώνων, καθάπερ καὶ οἱ Ἀττικοὶ (Στράβ. ἡ Ἀττική), ἀπὸ Ἴωνος τοῦ Ξούθου. Ἀθηναῖοι δέ φησιν, ἔστειλαν εἰς ἀποικίαν ἐκεῖ τοὺς Ἴωνας, οἳ ἀντ' Αἰγιαλοῦ, Ἰωνίαν τὴν χώραν ἐκάλεσαν, καὶ τοὺς ἄνδρας ἀντ' Αἰγιαλέων, Ἴωνας· πλατὺς δέ τις ὁ Αἰγιαλὸς οὕτως (ἴσως οὗτος;) ἔοικεν εἶναι καὶ εὐρύχωρος, καὶ διήκων ἐπὶ πολύ. — Ἐλέγετο δέ φασιν Αἰγιαλὸς καὶ ἡ παραθαλασσία πλευρὰ Πελοποννήσου, ἡ παρατείνουσα ἐκ Σικυῶνος ἕως Ἤλιδος, καὶ τάχα διὰ τοῦτον τὸν αἰγιαλὸν εἶπεν ὁ ποιητὴς τὸ ἀνὰ πάντα, ὡς τοσούτου τόπου ὄντος ὑπὸ Ἀγαμέμνονι. — Ἑλίκην] Ἑλίκη δὲ ἀπὸ Ἑλίκα φασὶ καλεῖται, υἱοῦ Λυκάονος, ἢ ἀπὸ Ἑλίκης τῆς Ἴωνος μὲν γυναικὸς, Σελινοῦντος δὲ θυγατρὸς, υἱοῦ Ποσειδῶνος· ἠφανίσθη δέ φασιν αὕτη ὑπὸ κύματος· ἐξαρθὲν γὰρ ὑπὸ σεισμοῦ τὸ πέλαγος, κατέκλυσε καὶ αὐτὴν καὶ τὸ ἱερὸν τοῦ Ἑλικωνίου Ποσειδῶνος, ὃ ἐτίμων οἱ Ἴωνες, θύοντες ἐκεῖ τὰ Πανιώνια. Ε.

Σ. 578. Νώροπα χαλκόν] Νώροπα δὲ χαλκὸν λέγει τὸν λαμπρὸν, καὶ στερίσκοντα τοῦ ὁρᾶν. — Ἔστι γὰρ στερητικὸν τὸ νώ. Ε. — Ἀμαυροῦντα τοὺς ὦπας. Σ. — Ἐδύσετο. Β.

Σ. 581. Κοίλην Λακεδαίμονα] Τὴν μὲν Λακεδαίμονα Κοί-

НБ ОНУ імені І.І. Мечникова

λην λέγει, δι' ὃν λόγον καὶ Συρία Κοίλη λέγεται· περιέχεται γὰρ ὑπὸ τοῦ Ταϋγέτου καὶ τοῦ Παρθενίου ὄρους ἡ Λακεδαίμων. Ε. — Διὸ καὶ ἀτείχιστον αὐτὴν ᾤκισαν. Λακεδαίμονα δὲ τὴν χώραν λέγουσι, τὴν δὲ πόλιν Σπάρτην· ἕτεροι δὲ καὶ αὐτῆς τῆς πόλεως τὸ μέντοι Λακεδαίμονα, τὸ δὲ Σπάρτην καλοῦσι. Σ. — Ἀπὸ Λακεδαίμονος ὠνόμασται· οὗ υἱὸς Ἀμύκλας. — Ἐκαλεῖτο δὲ καὶ Ἀχαϊκὸν Ἄργος οὐ μόνον ἡ Πελοπόννησος ὅλη, ἀλλὰ καὶ ἰδίως ἡ Λακωνική, ὡς δηλοῖ τό, ἦ Μενέλαος οὐκ Ἄργεος ἦεν Ἀχαϊκοῦ (Ὀδυσ Γ, 251.)· ἤγουν, οὐκ ἦν ἐν τῇ Λακωνικῇ. Ε. (Στράβ. Η. σελ. 252. 9.) — Κητώεσσαν] Τὸ δὲ κητώεσσα δηλοῖ μὲν τὴν μεγάλην, παρὰ τὸ κῆτος, τὸ μεῖζον τῶν ἐνύγρων (ἐνύδρων. Σ.)· γράφεται δὲ καὶ ἄλλως παρὰ τοῖς παλαιοῖς, καιετάεσσα, ἤγουν καλαμινθώδης φασί· πολὺ δὲ ἐν Σπάρτῃ τὸ τοιοῦτον φυτόν. Ε.

Σ. 582. Φᾶριν τε] Τὴν δὲ Φάρην ὁ τὰ ἐθνικὰ γράψας διὰ τοῦ ι εἰδέναι φαίνεται· τὰ δὲ πλείω τῶν ἀντιγράφων διὰ τοῦ η γράφουσι, καὶ ἔχει τοῦτο λόγον ἐκ τοῦ ἐθνικοῦ· ὡς γὰρ Σπάρτη Σπαρτιάτης, οὕτω Φάρη Φαριάτης. — Σπάρτην] Τὴν δὲ Σπάρτην οἱ μὲν βασίλειόν φασι λέγοντες καὶ ὅτι τῶν κατὰ Πελοπόννησον πόλεις ἐνδοξόταται, Ἄργος τε Σπάρτη τε· — οἱ δέ τινες καὶ αὐτῆς τῆς μιᾶς πόλεως τὸ μέν τι, Λακεδαίμονα, τὸ δὲ Σπάρτην καλοῦσι. Ε. — Μέσσην] Μέσση δὲ ἀντὶ τοῦ Μεσσήνη· ἄλλως γάρ φησι (ἴσ φασὶ) Μέσση οὐδαμοῦ δείκνυται· περιᾴδεται δὲ καὶ αὕτη ἐν ταῖς ἱστορίαις' ἐν αἷς φέρεται, καὶ ὅτι ἡ Σικελικὴ Μεσσήνη ταύτης ἄποικος· ἀποκοπὴν οὖν ἡ Ὁμηρικὴ ἔχει Μέσση, ἀπὸ τοῦ Μεσσήνη. — Λέγει δὲ ὁ Γεωγράφος (Η, σελ. 247. 46.) καὶ ὅτι ἐπὶ τῶν Τρωϊκῶν ἡ Μεσσήνη ὑπὸ Μενελάῳ ἦν, μέρος οὖσα τῆς Λακωνικῆς, ὕστερον δὲ καὶ πόλις ἐκτίσθη Μεσσήνη, ἧς ἀκρόπολις ἡ Ἰθώμη. — Καὶ ὅτι ἡ νῦν πόλις Μεσσήνη, ἧς ἐῤῥέθη ἀκρόπολις ἡ Ἰθώμη, οὔπω ἔκτιστο. Ε. (ἴδ. Παυσαν. Γ. κεφ. 25.).

Σ. 583. Αὐγειάς] Βρυσειαὶ καὶ Αὐγειαὶ, πόλεις τῆς Λακωνικῆς. Σ. — Πολίτης δὲ τῶν Αὐγειῶν, Αὐγεάτης· τάχα οὖν καὶ Βρυσεάτης ὁμοίως. Ε.

Σ. 584. Ἀμύκλας] Ἀμύκλαι δὲ, μία φασὶ τῶν ἑκατὸν τῆς Λακωνικῆς πόλεων, Ἀπόλλωνος ἱερά, ἣν Ἀμύκλας ὁ Λακεδαίμονος υἱὸς ἔκτισεν, ὃς καὶ περιττοσυλλάβως κλίνεται Ἀμύκλαντος καὶ ἰσοσυλλάβως δὲ, Ἀμύκλα· πολίτης ταύτης,

Ἀμυκλαΐτης, ἔτι δὲ καὶ Ἀμυκλαῖος, ἐξ οὗ καὶ Ἀμυκλαιεύς. — Ἕλος] Ἕλος δὲ, χωρίον καὶ κώμη ὁμώνυμος ὕστερον· πρότερον δὲ ἦν φασι πόλις καθ' Ὅμηρον, κτίσμα Ἑλιοῦ, υἱοῦ Περσέως. Τινὲς δὲ καὶ ταῦτα εἶπον· Ἕλος πόλις Λακωνική· οἱ πολῖται Εἵλωτες, καὶ Εἱλῶται καὶ Ἕλιοι καὶ Ἑλεάται· ἕτεροι δὲ, ὅτι οὐ μόνον πόλις τὸ Ἕλος, ἀλλὰ καὶ εἰς χώραν τινὰ πλατύνεται· ἀφ' ἧς καὶ μᾶλλον οἱ Εἵλωτες, οἱ συνελθόντες τοῖς Μεσσηνίοις, ἤν ποτε καὶ πράγματα παρασχόντες τοῖς Λακεδαιμονίοις, εἶτα ὑπετάγησαν ὡσεὶ καὶ δοῦλοι καὶ ἐξ αὐτῶν τὸ ὄνομα τῶν Εἱλώτων εἰς δουλικὴν ἁπλῶς μετελήφθη κλῆσιν. Ε.

Σ. 585. Λάαν] Λάαν Ὅμηρος μὲν δισυλλάβως προάγει· οἱ δὲ παλαιοί φασιν ὅτι Λᾶ μονοσυλλάβως ἐλέγετο ἀρσενικῶς τε καὶ θηλυκῶς, ἤγουν καὶ ἡ Λᾶ καὶ ὁ Λᾶς. — Κεῖται δὲ ἐπὶ πέτρας ὑψηλῆς· διὸ Λᾶ καλεῖται, ὡς ἀπὸ τοῦ Λᾶς, ὁ λίθος. Ταύτην φασὶ τὴν Λᾶν οἱ Διόσκουροι ἐκ πολιορκίας εἷλον· διὸ ἐκλήθησαν Λαπέρσαι. Ε.—Οἴτυλον] Οἴτυλος δὲ ἀπὸ Οἰτύλου ἥρωος. Ε.

Σ. 591. Πύλον] Πύλοι δὲ τρεῖς κατὰ τὸν τὰ ἐθνικὰ γράψαντα Μεσσηνίας, Τριφυλίας, Ἀρκαδίας· ὁ δὲ Γεωγράφος, παρ' ᾧ καὶ ἀρσενικῶς ὁ Πύλος λέγεται, φησὶν, ὅτι ὑπόκειται ὁ Νέστωρ, τὸν Τριφυλιακὸν Πυλον οἰκῶν· (Η, σελ. 232.)— Πύλος ὁ ὑπὸ Νέστορι, τῆς Μεσσηνίας, τὸ καὶ Κορυφάσιον· ὁ δὲ τῆς Ἀρκαδίας, ἡ τοῦ Νέστορος πατρίς· ὁ δὲ τῆς Ἠλείας παρὰ τὴν Ὠλενίαν πέτραν. Σ. — Ἀρήνην] Ἀρήνη δὲ τὸν μὲν πολίτην αὐτῆς Ἀρηναῖον παράγει, Ἐρατεινὴ δὲ παρ' Ὁμήρῳ λέγεται, διότι ποταμὸς ἀρδεύει αὐτήν. Ε. (Στράβ. Η, σελ. 239.).

Σ. 592. Θρύον] Θρύον δὲ πόλις Ἤλιδος, ἢ καὶ Θρυόεσσα· τοῦ Θρύου τὸ ἐθνικὸν, Θρυΐτης· τῆς δὲ Θρυοέσσης Θρυοέντιος Θρυούντιος. Ὁ τὰ ἐθνικὰ γράψας φησί· Θρύον πόλις Μεσσηνίας ἐκ τῶν ἐν αὐτῇ φυομένων θρύων, ὁμωνύμως τῷ φυτῷ λεγομένη. — Κεῖται δὲ περὶ τὸν Ἀλφειὸν, ὃς κατὰ τὸν Γεωγράφον καλεῖται μὲν οὕτως ἀπὸ τῆς τῶν ἀλφῶν θεραπείας, ῥέει δὲ ἐξ Ἀρκαδίας εἰς τὴν Τριφυλιακὴν θάλασσαν. — Ἀλφειοῖο πόρον] Ἀλφειοῦ δὲ πόρος τὸ Θρύον, διότι ὡς ὁ Γεωγράφος καὶ τοῦτό φησιν, ἐνταῦθα πεζῇ περατὸς εἶναι δοκεῖ ὁ Ἀλφειός. — Αἶπυ] Οὗ ὁ πολίτης Αἰπύτης. — Βαρυτόνως μὲν γράφουσιν,

НБ ОНУ імені І.І. Мечникова

τουτέστι προπερισπωμένως πρὸς διαστολὴν τοῦ ἐπιθέτου, ἀπὸ τῆς ἐρυμνότητος δὲ κληθῆναί φασι. Ε.

Σ. 593. Κυπαρισσήεντα] Κυπαρισσήεις δὲ πόλις Μεσσηνίας· ἐθνικὸν αὐτῆς Κυπαρησσιέντιος· Κυπάρισσος μέντοι πόλις ἐν Παρνασσῷ, ἧς Ὅμηρος ἐμνήσθη ἐν τῷ Φωκικῷ καταλόγῳ· ἐκείνης δὲ ὁ πολίτης Κυπαρισσεύς. — Ἀμφιγένειαν] Ἡ δὲ Ἀμφιγένεια παρά τισι καὶ οὐδετέρως λέγεται τὸ Ἀμφιγένειον· πολίτης αὐτῆς Ἀμφιγενειάτης καὶ Ἀμφιγενεύς· εἶχε δὲ Λητοῦς ἱερόν· ἐπεί φασιν ἐκεῖ Λητὼ παραγενομένη ἔτεκεν Ἀπόλλωνα. Ε.

Σ. 594. Πτελεόν] Πτελεὸς δὲ ἡ Πτελεὸν οὐδετέρως, ἔστι καὶ Ἰωνίας πόλις καὶ Τρῳάδος· ἔτι δὲ καὶ τῶν περὶ Θετταλίαν Ἀχαιῶν· καλεῖται δέ φασιν οὕτως, ὅτι πολλὰς ἔχει πτελέας· ὁ πολίτης Πτελεάτης καὶ Πτελεούσιος καὶ Πτελεεύς (Στράβ. βιβλ. Λ, σελ. 241.) — Ἕλος] Ὁ Γεωγράφος φησὶν, ὅτι Ἕλος οἱ μὲν χώραν τινὰ περὶ Ἀλφειὸν, οἱ δὲ καὶ πόλιν, ὡς τὴν Λακωνικὴν, τὴν πρὸ ὀλίγου ῥηθεῖσαν. — Ἐν γοῦν τοῖς Ἡρωδιανοῦ εὕρηται, ὅτι Εἵλωτες οἱ ἐπὶ Ταινάρῳ σάτυροι. — Δώριον] Δώριον δὲ οὗ ἐθνικὸν Δώριος καὶ Δωριεὺς, κληθῆναι οὕτω δοκεῖ τοῖς παλαιοῖς, διὰ τὸ αὐτόθι εὑρεθῆναι τὴν Θώριον ἁρμονίαν ὑπὸ Θαμύριδος. — Ὁ δὲ Γεωγράφος λέγει, ὅτι τὸ Δώριον οἱ μὲν ὄρος φασὶν οἱ δὲ πεδίον· οὐδὲν δέ φησι νῦν δείκνυται. Ε.

Σ. 595. Ἀντόμεναι] Ἀπαντήσασαι. Σ. — Θάμυριν] Οὗτος παῖς ἦν Φιλάμμωνος, καὶ Ἀρσίου τῆς Νύμφης, τὸ γένος Θρᾷξ, ὃς ἔσχεν αἰσχρὸν ἔρωτα, πρῶτος ἀρξάμενος ἐρᾷν ἀῤῥένων. Οὗτος κάλλει πολλῷ διενεγκὼν, καὶ κιθαρῳδίᾳ περὶ Μουσικῆς ἐρίσας ταῖς Μούσαις συνέθετο, ἂν μὲν κρείττων εὑρεθῇ, πλησιάσαι πάσαις· ἂν δὲν ἡττηθῇ, στερηθῆναι, οὗ ἂν ἐκεῖναι θέλωσι· θυπέρτεραι δὲ αἱ Μοῦσαι γενόμεναι τῶν ὀμμάτων αὐτὸν, καὶ τῆς κιθαρῳδίας καὶ τοῦ νοῦ ἐστέρησαν. Σ. (Ἴδ. Ἀπολλόδ. σελ. 35.) — Τὸν Θρήϊκα] Μετὰ τοῦ ἄρθρου δέ φασι λέγει τὸν Θρᾷκα, οὐ πρὸς διαστολὴν ἑτέρου Θαμύριδος, ἀλλ' ἀναφέρων, ὡς ἐν ὑποδείξει, πρὸς τὸν ἐπίσημον τοῦ ἀνδρός. — Καὶ ὅτι ἐν τῇ ἀκτῇ τῇ περὶ τὸν Ἄθων, Θάμυρις ὁ Θρᾷξ ἐβασίλευσε· τῶν αὐτῶν ἐπιτηδευμάτων γενόμενος, ὧν καὶ ὁ Κίκων Ὀρφεύς. Ε.

Σ. 596. Οἰχαλίηθεν] Ἀπὸ τῆς Οἰχαλίας, πόλεως τῆς Θεσσαλίας, ἧς ἐβασίλευσεν Εὔρυτος. Σ. — Πολίτης δὲ Οἰχαλίας, Οἰχαλεὺς καὶ Οἰχαλιώτης, καὶ Οἰχάλιος. Ε. (Ἴδ. Στράβ. Ι. 308.)

НБ ОНУ імені І.І. Мечникова

—Παρ' Εὐρύτου] Τὸ δὲ παρ' Εὐρύτου ἀντὶ τοῦ ἀπὸ τοῦ Εὐρύτου· πρόθεσις γὰρ εἴληπται ἀντὶ προθέσεως. Ε.

Σ. 597. Στεῦτο] Διεβεβαιοῦτο, ἔλεγεν. Σ. — Τὸ δὲ στεῦτο, ἐν μὲν τοῖς ἑξῆς ἐπὶ ὑποσχέσεως κεῖται· ἐν τῷ, στεῦται γάρ τοι ἔπος ἐρέειν Ἕκτωρ (Γ, 83.) ἀντὶ γὰρ τοῦ ὑπισχνεῖσθαι δοκεῖ κεῖσθαι· ἐνταῦθα δὲ ἁπλῶς δηλοῖ τὸ ὑφίστατο, ἢ ἐνίστατο καὶ ἐνστατικῶς ἔλεγε. Ε.

Σ. 599. Πηρόν] Πηρὸς καλεῖται ὁ κατά τι μέρος τοῦ σώματος βεβλαμμένος. Σ.

Σ. 600. Θεσπεσίην] Ἔστι δὲ νῦν θεσπεσία, οὐχὶ ἡ θεόθεν πεσοῦσα, ἀλλ' ἣν θεὸς εἴποι ἄν. Ε. — Θεσπεσίην, θείαν, θαυμαστήν. Σ. — Ἐκλέλαθον] Καὶ ἐπιλαθέσθαι ἐποίησαν τὴν κιθαρῳδίαν. Σ. — Καὶ ὅρα τὸ ἐκλέλαθον αἰτιατικῇ συνταχθέν· τὸ μέντοι παθητικὸν τούτου γενικῇ συντάσσει ἐν τῷ, καὶ ἐκλελάθοιντο γάμοιο (Ὀδυσσ. Χ, 444.).

Σ. 601. Γερήνιος] Ὁ ἐν Γερήνῃ κώμῃ τῆς Πύλου τραφείς. Σ.

Σ. 603. Ἀρκαδίην] Ἀρκάδες ἀπὸ Ἀρκάδος, υἱοῦ Διὸς, καὶ ἡ χώρα αὐτῶν, Ἀρκαδία, κληθεῖσά ποτε καὶ Πελασγία, καὶ Παῤῥασία, καὶ Λυκαονία, καὶ Γιγαντὶς καὶ Ἀζανία. — Δοκεῖ δέ φασι παλαιότατα ἔθνη Ἑλλήνων εἶναι τὰ Ἀρκαδικά, διὸ καὶ Προσέληνοι ἐλέγοντο οἱ Ἀρκάδες, ὅπερ, φασὶν, Ἵππυς ὁ Ῥηγῖνος πρῶτον αὐτοὺς ἐκάλεσε. — Ἐν μέσῳ δὲ Πελοποννήσου κατὰ τὸν Γεωγράφον ἡ Ἀρκαδία, πλείστην ὀρεινὴν ἀποτεμνομένη· μέγιστον δέ, φησιν, ὄρος ἐν αὐτῇ Κυλλήνη. Ε. (Στράβ. Η, σελ. 267.)

Σ. 604. Αἰπύτιον] Ὁ δὲ Αἰπύτιος τύμβος, δηλοῖ μὲν τὸν τοῦ Αἰπύτου τάφον· ἀρχαῖος δὲ Ἀρκὰς ἥρως ὁ Αἴπυτος· οὗ ὁ τύμβος παρώνυμος. — Ἰστέον δὲ, ὅτι ὤφειλε μὲν τὸ Αἰπύτιος διὰ διφθόγγου ἔχειν τὴν παραλήγουσαν, ὡς κτητικόν· ἀπέβαλε δὲ τὸ ε διὰ δακτύλου ἀπαρτισμόν, ὅπερ ἐν πολλοῖς γίνεται. Ε.

Σ. 605. Φένεον] Φενεὸς δὲ κατὰ τὸν ἀναγραψάμενον τὰ ἐθνικὰ πόλις Ἀζανίας, μερὶς δὲ Ἀρκαδίας οἱ Ἀζᾶνες. — Κεῖται δὲ ὑπὸ τὸ ὄρος τὴν Κυλλήνην. — Ὁ δὲ ῥηθεὶς Ὀρχομενὸς πολύμηλος λέγεται, πρὸς διαστολὴν τῶν προῤῥηθέντων μετὰ τὸν Βοιώτιον κατάλογον· καὶ τοῦτό ἐστιν τὸ ἐπίσημον τοῦ Ἀρκαδικοῦ Ὀρχομενοῦ, τὸ πολύμηλον. Ε.

НБ ОНУ імені І.І. Мечникова

Σ. 606. Ῥίπην] Τὴν χώραν Ῥιπίδα καλοῦσι. — Ἐθνικὸν ταύτης, Ῥιπαῖος. — Στρατίην] Τῆς δὲ Στρατίης, ἥτις ἀπὸ ἡρωΐδος οὕτω καλεῖται, Στρατιεὺς ὁ πολίτης, καὶ Στρατιάτης. — Ἐνίσπην] Τῆς δὲ Ἐνίσπης, ἣν ἠνεμόεσσαν λέγει, ὡς ἐπὶ ὀρῶν κειμένην, Ἐνισπαῖος τὸ ἐθνικόν. — Τῆς δὲ Τεγέας γνώρισμα ὁ Στράβων τοιοῦτόν φησι· Κεγχρεαὶ κεῖνται ἐπὶ τῇ ὁδῷ τῇ ἐκ Τεγέας εἰς Ἄργος διὰ τοῦ Παρθενίου ὄρους (Η, σελ. 259.)· λέγει δὲ καὶ ὅτι εὐδαίμων ὁ Τεγεατικὸς τόπος· διὸ καὶ παροιμία ἐντεῦθεν, εὐδαίμων ὁ Κορίνθιος ἐγὼ δ' εἴην Τεγεάτης. (αὐτόθ. σελ. 267.).

Σ. 607. Μαντινέην] Μαντίνεια, Μαντινέη μὲν παρ' Ὁμήρῳ Ἰωνικῶς, ὠνόμασται δὲ ἀπὸ Μαντίνου, υἱοῦ Λυκάονος· Ἐρατεινὴν δὲ αὐτὴν ὁ ποιητὴς λέγει, διότι πεδιάς ἐστι καὶ πολυάμπελος. Ε.

Σ. 608. Στύμφηλον] Στύμφηλος δὲ καὶ διὰ τοῦ ᾱ τὰ πλεῖω λέγεται Στύμφαλος· ἔστι δὲ οὐ μόνον πόλις Ἀρκαδική, ἀλλὰ καὶ πεδίον ὁμώνυμον, καὶ πηγή· ὧν ἐθνικὸν Στυμφάλιος. — Παῤῥασίην] Παῤῥασία δὲ ἡ πόλις ἀπὸ Παῤῥασοῦ ἑνὸς τῶν Λυκάονος παίδων. Ε.

Σ. 611. Ἐπιστάμενοι πολέμοιο] Ἐπιστάμενοι πολεμίζειν. Β.

Σ. 613. Νῆας;] Κενὰς δηλονότι. Ε.

Σ. 614. Μεμήλει] Τουτέστιν οὐ φροντὶς ἦν αὐτοῖς τῶν κατὰ θάλασσαν, οὐδὲ ναυτικοὶ ἦσαν, οἷα μεσήπειροι· ὡς μέσην οἰκοῦντες τὴν Πελοπόννησον καὶ πανταχόθεν τῆς θαλάσσης καὶ πολὺ ἀφεστῶτες· λύει δέ φασιν οὕτω ζήτημα ὁ ποιητὴς τὸ πῶς, μεσόγειοι ὄντες, εἰς Ἴλιον ἦλθον, καὶ πόθεν ἔσχον τὰς ναῦς. Ε.

Σ. 615. Βουπράσιον] Τὸ Βουπράσιον ὁ Γεωγράφος χωρίον τῆς Ἠλείας φησί, καὶ τοὺς Βουπρασιεῖς, Ἐπειούς· (Η, σελ. 234. Α, σελ. 39. κ.τ.λ.) καὶ ἀλλαχοῦ πάλιν λέγει, ὅτι κατοικία τῆς Ἠλείας τὸ Βουπράσιον ἀξιόλογος, ἣ νῦν οὐκ ἔτ' ἔστι· καὶ ὅτι ὑπεροχὴν δοκεῖ ἔχειν τότε τὸ Βουπράσιον παρὰ τὴν Ἦλιν· καὶ οἱ Ἐπειοὶ παρὰ τοὺς Ἠλείους, καὶ ὅτι ὕστερον ἀντὶ Ἐπειῶν, Ἠλεῖοι ἐκλήθησαν· καὶ ὅτι εἰ καὶ μέρος Ἤλιδος τὸ Βουπράσιον, ἀλλὰ ποιητικῷ σχήματι συγκαταλέγεται τὸ μέρος τῷ ὅλῳ. — Ἐθνικὸν αὐτοῦ, Βουπρασιεὺς καὶ Βουπράσιος καὶ Βουπρασίων. — Ἤλιδα] Ἡ δὲ Ἦλις πόλις ἦν πρὸς τῇ Ὀλυμπίᾳ κατὰ τὸν τὰ ἐθνικὰ γράψαντα· κληθεῖσά φασιν ἀπὸ

НБ ОНУ імені І.І. Мечникова

Ηλίου παιδὸς Ταντάλου. Κατὰ δὲ Ἡρόδοτον, Αἰτωλῶν ἡ Ἦλις' ἔστι δὲ Ἀρκαδική· ὁ πολίτης Ἠλίδειος τύπῳ κτητικῷ, καὶ ὑφέσει τοῦ -δ, Ἠλίειος, καὶ συναιρέσει Ἠλεῖος· πάνυ δὲ περιᾳδομένη γέγονεν ὕστερον ἡ Ἦλις, διὰ τὰ ἐν αὐτῇ τελούμενα Ὀλύμπια. Ε.

Σ. 616. Ὑρμίνη] Ἡ δὲ Ὑρμίνη πολίχνιον ἦν· οὐκ ἔστι δέ φασι νῦν· ἀλλὰ ἀκρωτήριον περὶ Κυλλήνην ὀρεινὸν, καλούμενον Ὅρμινα ἢ Ὕρμινα. — Μύρσινος] Ἡ δὲ Μύρσινος ἐκλήθη φασὶν ὕστερον Μυρτούντιον· ἐθνικὸν δὲ αὐτῆς εὕρηται Μυρτούσιος. Ε. — Ὅσσον ἔφ'] Ἐφ' ὅσον ἥτε Ὑρμίνη καὶ ἡ Μύρσινος, καὶ τὸ Ἀλείσιον καὶ ἡ Ὠλενία πέτρα ἐντὸς συνεῖχον, τοῦ παντὸς οἱ Ἠλεῖοι ἐβασίλευον. Ε.

Σ. 617. Πέτρη τ' Ὠλενίη] Ἡ δὲ Ὠλενία πέτρα, ὄρος φασὶ τῆς Ἠλείας ἐστί· (Στράβ. Η, σελ. 235.) — Ἀλείσιον] Τὸ δὲ Ἀλείσιον ὁ τῶν ἐθνικῶν ἐκθέτης διὰ τοῦ η γράφει, λέγων οὕτω καλεῖσθαι ἀπὸ Ἀλησίου υἱοῦ Σκιλλοῦντος, ἑνὸς τῶν τῆς Ἱπποδαμείας μνηστήρων. Ε.

Σ. 621. Εὐρύτου Ἀκτορίωνος] Εὐρύτου Ἀκτορίωνε. Β.

Σ. 625. Δουλιχίοιο, Ἐχινάων] Σημείωσαι δὲ, ὅτι εἰ καὶ Ὅμηρος ἰδιάζειν δοκεῖ τὸ Δουλίχιον ἐκ τῶν Ἐχινῶν, ἀλλ' ἕτεροι τῶν Ἐχινάδων εἶναί φασι καὶ αὐτό· καὶ ἔστιν εἰπεῖν, ὅτι ἐν πολλοῖς ὁ ποιητὴς οὕτω ποιεῖ, ἰδίᾳ μὲν ἐκφωνῶν τὸ ὅλον, ἰδίᾳ δὲ τὸ μέρος· οἷον ἐστὶ καὶ τὸ, εἰς Κύπρον, εἰς Πάφον (Ὀδυσ. θ, 362.)· ὅλον μὲν γὰρ ἡ Κύπρος, μέρος δὲ αὐτῆς ἡ Πάφος· οὕτω γοῦν καὶ ἐνταῦθα ἐν ὁλότητι μὲν αἱ Ἐχινάδες, μέρος δὲ αὐτῶν τὸ Δουλίχιον. — Ὁ δὲ Γεωγράφος λέγει, ὅτι οἱ τὰς Ἐχινάδας οἰκοῦντες Ἐπειοὶ ἐλέγοντο· — κεῖται δέ φησιν, ἡ ῥηθεῖσα Δολίχα κατὰ τὴν ἐκβολὴν τοῦ Ἀχελώου, οὗπερ ἡ χοῦς τὰς μὲν αὐτῶν ἐξηπείρωκε, τὰς δὲ μέλλει, πολλὴ καταφερομένη. (Ι. σελ. 315.) Καλεῖται δὲ Δουλίχιον ἀπὸ Δολιχίου φασὶν υἱοῦ Τριπτολέμου. — Ἰστέον δὲ ὅτι τοῦ Ἐχινάων εὐθεῖα ἡ Ἐχίνη· τοῖς δὲ μεθ' Ὅμηρον, εὐθεῖα Ἐχινὰς, καὶ ἀπ' αὐτῆς αἱ νῆσοι Ἐχινάδες. — Ὅτι δὲ τόποι πολλάκις καὶ ἀπὸ τῶν παρ' αὐτοῖς πλεοναζόντων ἐκαλοῦντο, αἱ ἱστορίαι δηλοῦσιν. — Εἰκὸς οὖν καὶ Ἐχίνας, εἴτ' οὖν Ἐχινάδας νήσους ἀπὸ τῶν ἐχίνων εἶναι παρωνομασμένας. Ε.

Σ. 626. Αἳ ναίουσι πέρην ἁλός] Τὸ δὲ εἰπεῖν, αἳ ναίουσι,

НБ ОНУ імені І.І. Мечникова

σχηματισμόν τινα ἔχει οὐ πάνυ συνήθη· κεῖται γὰρ τὸ, ναίουσιν αἱ νῆσοι, ἀντὶ τοῦ ναίονται· οὕτω καὶ Σοφοκλῆς· σὺ μέν που ναίεις ἁλίπλαγκτος, ἀντὶ τοῦ ναιομένη τυγχάνεις (Αἴ. 601.). Ε. — Πέρην ἁλός· δηλοῖ τὸ ἀπὸ τῶν ἐνταῦθα εἰς τὴν ἐκεῖθεν ἀντικρὺ γῆν. Ε. (Ἴδ. Ὑμ. εἰς Ἀπόλλ. σελ 387.).

Σ. 628. Ἱππότα] Ἱππότης νῦν εἰρεῖσθαι δοκεῖ ἀντὶ τοῦ φυγάς· κεῖται γάρ ποτε τὸ ἱππότης ὄνομα κατὰ τοὺς γλωσσογράφους καὶ ἐπὶ τούτου σημαινομένου. Ε. (Ἐτυμ. Μ. ἱππότα.)

Σ. 629. Δουλίχιόν δ'] Ὅς εἰς τὸν Δουλίχιον ποτὲ ἀπῳκίσθη, διὰ τὸ καταμαρτυρῆσαι τοῦ πατρὸς Αὐγείου πρὸς Ἡρακλέα περὶ τοῦ μισθοῦ, ὃν ὑπέσχετο παρέξειν τῷ Ἡρακλεῖ ὁ Αὐγείας, εἰ καθάρει αὐτοῦ τὰς ἐπαύλεις, μεστὰς οὔσας τῆς κόπρου τῶν βοῶν. Σ. — Χολωθείς] Μισηθεὶς ὑπὸ τοῦ πατρός. Σ.

Σ. 631. Κεφαλλῆνας] Μέμνησο δὲ ὅτι Κεφαλλῆνας λέγει, οὐ μόνον τοὺς ἐκ τῆς Κεφαλληνίας νήσου, ἀλλὰ πάντας τοὺς ἐν τοῖς ῥηθεῖσι τόποις, τοῖς ὑπὸ τὸν Ὀδυσσέα, τούς τε περὶ τὴν Ἰθάκην, καὶ τοὺς λοιπούς· ἐν οἷς καὶ Ἀκαρνᾶνες κατὰ τὸν Γεωγράφον (Ι. σελ. 311.), οὕτω ἐπὶ Ὁμήρου ὠνομασμένοι οὕτω· τὰ γοῦν ῥηθέντα Κροκύλεια (στ. 633.) ἐν τοῖς Ἀκαρνᾶσί φησίν εἰσι· καὶ ἡ Λευκὰς δὲ ἦν φησι τὸ παλαιὸν Χερρόνησος τῆς τῶν Ἀκαρνάνων γῆς· καλεῖ δ' ὁ ποιητὴς αὐτὴν ἀκτὴν Ἠπείρου (Ὀδυσ. ω, 377.) Ἤπειρον καλῶν τὴν περαίαν, Ἰθάκης καὶ Κεφαλληνίας, ὡς εἶναί, φασι, ταὐτὸν, ἀκτὴν Ἠπείρου εἰπεῖν, καὶ Ἀκαρνανίαν· ὅτι ἀντίκειται ταῖς Ἐχινάσιν ἡ Κεφαλληνία, καὶ ὅτι Κέφαλος, οὗ οἱ Κεφαλλῆνες παρώνυμοι, πρόγονος ἦν Ὀδυσσέως· Κεφάλου γὰρ Κηλεὺς, οὗ Ἀρκέσιος, οὗ Λαέρτης, οὗ Ὀδυσσεύς. Ε.

Σ. 632. Ἰθάκην εἶχον καί] Ἰθάκη δὲ ἐκλήθη ἀπὸ Ἰθάκου ἥρωος· τὸ ἐθνικὸν οὐ μόνον Ἰθακήσιος, ἀλλὰ καὶ Ἴθακος, ὥς φασιν, ὁμοφώνως τῷ οἰκιστῇ τῆς νήσου. — Νήριτον] Τὸ δὲ Νήριτον, ὄρος ἐστὶν ἐπιφανὲς ἐν Ἰθάκῃ. Ε. — Εἰνοσίφυλλον] Κινησίφυλλον καὶ πολύδενδρον, ἐξ οὗ κατήνεμον καὶ ὑψηλόν. Σ.

Σ. 633. Κροκύλει'] Τὰ Κροκύλεια δὲ καὶ ἑνικῶς εὕρηται τὸ Κροκύλειον· ἐθνικὸν αὐτῆς Κροκυλεύς. — Κατὰ τὸν τὰ ἐθνικὰ ἐπελθόντα οὐ νῆσος μόνον, ἀλλὰ καὶ μέρος Ἰθάκης τὸ

Κροκύλειον· ἐν δὲ τῷ Αἰγίλιπα Τρηχεῖαν, ὄνομα μὲν τόπου ἡ Τραχεῖα, ἐπίθετον δὲ τὸ αἰγίλιπα, ἤγουν τὴν τὰς αἶγας λιπαίνουσαν κατά τινας· διὸ καὶ ἡ Ἰθάκη αἰγίβοτος λέγεται εἶναι· ἢ μάλιστα τὴν καὶ ὑπ' αὐτῆς αἰγὸς λειπομένην, διὰ τὸ ἄγαν τραχὺ καὶ ἀβόσκητον· ἐν δὲ ῥητορικῷ λεξικῷ φέρεται οὕτως· αἰγίλιψ, ἀπρόσβατος, ψιλὴ ἀβόσκητος· χρὴ δὲ εἰδέναι, ὅτι καὶ ἄλλοι τόποι κατὰ τὰς ἱστορίας, τὴν τῆς Τραχείας κλῆσιν ἔλαχον· καὶ μέρος γοῦν τῆς Κιλικίας τὴν ἔξω τοῦ Ταύρου Τραχεῖα λέγεται· οἴονται δέ τινες τὴν Ἰσαυρίαν εἶναι ταύτην. Ε. — Αἰγίλιπα τρηχεῖαν. Β.

Σ. 634. Ζάκυνθον] Ὠνομάσθη δέ φασι Ζάκυνθος ἀπὸ Ζακύνθου υἱοῦ Δαρδάνου. — Τὴν δὲ ἐνταῦθα Σάμον, ἣν ὁ Γεωγράφος εἶναί φησι τὴν νῦν Κεφαλληνίαν (I, σελ. 312. 22.). — Λέγεται δὲ καὶ Σάμη· ἧς ὁ πολίτης Σαμαῖος. Ε.

Σ. 635. Ἤπειρον] Ἡ δὲ ὑπὸ τῷ Ὀδυσσεῖ αὕτη Ἤπειρος τόπος ἐστὶν ὁμωνυμῶν τῇ ὅλῃ γῇ τῇ ἀπείρονι, αὐτὸς εὐπερίγραπτος ὤν, καὶ ὁ αὐτῆς ἐντόπιος Ἠπειρώτης· ἡ δὲ μεθ' Ὅμηρον Ἤπειρος πάνυ πεπλάτυνται, μέχρι καὶ Ἰλλυρίδος. — Τὰ δὲ ἀντιπέραια παρώνυμόν ἐστι τῆς περαίας. — Ὁ δὲ Γεωγράφος (I, σελ. 311. 21.) λέγει, ὅτι τὰ ἀντιπέραν τῶν νήσων βούλεται λέγειν ὁ ποιητής, Λευκάδα καὶ Ἀκαρνανίαν· ἕτεροι δέ φασιν ἀντιπέραια τὰ ἐξεναντίας τῆς Ἤλιδος κείμενα χωρία. Ε.

Σ. 637. Μιλτοπάρῃοι] Ἰστέον δὲ ὅτι μίλτος χρῶμά ἐστιν ἐρυθρὸν, δι' οὗ τὰ τῶν νηῶν ἔμπροσθεν βάπτονται εἰς ὡραϊσμὸν, ἅπερ πρῶραι λέγονται· ὡς ἐκ τοῦ προορᾷν· ἐντεῦθεν δὲ οἱ ποιηταὶ ὁρμώμενοι τολμῶσι καὶ παρειὰς λέγειν τὰ τοιαῦτα μέρη τῶν νηῶν, καὶ πρόσωπα. Ε.

Σ. 638. Αἰτωλῶν] Αἰτωλοὶ ἀπὸ Αἰτωλοῦ καλοῦνται, υἱοῦ Ἐνδυμίωνος, ὃς ἐκπεσὼν Πίσσης τῆς ἐν Πελοποννήσῳ ὑπὸ Σαλμωνέως, συνῴκισε τὴν ὑπ' αὐτοῦ κληθεῖσαν Αἰτωλίαν· πρότερον δέ φασιν Ὕαντες ἐκαλοῦντο· ἱστορεῖται δὲ, ὅτι εὐδοκίμουν οἱ Αἰτωλοὶ περὶ σφενδόνην. Ε.

639. Πλευρῶν] Ἡ δὲ Πλευρὼν οἰκητήριον γέγονέ φασι Κουρήτων. — Ὁ πολίτης αὐτῆς οὐ μόνον Πλευρώνιος, ἀλλὰ καὶ Πλευρωνεύς. — Ὤλενον] Ὤλενος δὲ ἦν μὲν καὶ Ἀχαϊκὴ, ὡς προεῤῥέθη· νῦν δὲ περὶ Αἰτωλικῆς ὁ λόγος. — Πυλήνην] Τῆς δὲ Πυλήνης τὸ ἐθνικὸν Πυλήνιος. Ε.

Σ. 640. Χαλκίδα] Χαλκὶς δὲ ἦν μὲν καὶ ἐν Εὐβοίᾳ, ὡς προεδηλώθη· ἡ δὲ παροῦσα Αἰτωλική ἐστι, ῥέει δὲ ὁ Ἀχελῶος ἐκεῖσε. — Καλυδῶνα] Ἡ δὲ Καλυδὼν ἀπὸ Καλυδῶνος κληθῆναι λέγεται, ὃς καὶ αὐτὸς Ἐνδυμίωνος υἱὸς, ἢ Αἰτωλοῦ· δοκεῖ δὲ ἐν Καλυδῶνι κατοικεῖν Οἰνεύς. Ε.

Σ. 642. Μελέαγρος] Ἰδίᾳ δὲ τὸν Μελέαγρον ἐξεφώνησεν ὁ ποιητὴς κατ᾽ ἐξοχὴν τῶν ἑτέρων παίδων τοῦ Οἰνέως. Ε.

Σ. 643. Ἐτέταλτο] Τούτῳ δὲ προσετέτακτο, ἐκεχείριστο, ἐπὶ τούτῳ δὲ ἦν τὸ πᾶν τῆς ἐξουσίας. Σ.

Σ. 646. Κνωσσόν] Ὅτι ἡ Κνωσσὸς βασίλειον ἦν ἐν τῇ Κρήτῃ. — Κατὰ τὸν Γεωγράφον (I. σελ. 329. 54.) ἐν πεδίῳ ἡ τῶν Γορτυνίων, ἣν παραῤῥέει Ληθαῖος ποταμός. Ε. (Στράβ. διαιρεῖ αὐτὴν ὅλην ὁ Ληθαῖος ποταμός). — Κνῶσον—Γόρτυνα. Β.

Σ. 647. Λύκτον] Λύκτος δὲ ἧς ἐπίνειον ἡ λεγομένη Χεῤῥόνησος ὠνόμασται ἀπὸ Λύκτου υἱοῦ Λυκάονος. — Μίλητον] Μίλητος δὲ ἡ Κρητικὴ αὕτη προϋπῆρχε τῆς Ἀσιανῆς Μιλήτου, ἣν ἔκτισεν ὁ παλαιὸς Σαρπηδὼν, ἀγαγὼν οἰκήτορας, καὶ καλέσας αὐτὴν κατὰ τὸν Γεωγράφον (ΙΔ. σελ. 436.) ἐκ τῆς Κρητικῆς Μιλήτου. — Λύκαστον] Λύκαστος δὲ ἀπὸ Λυκάστου φασὶν αὐτόχθονος, ἢ παιδὸς τοῦ Μίνωος. — Ἀργινόεντα] Τουτέστι λευκόγειον· ἀργιλώδης γάρ που ἡ ἐκεῖσε γῆ· ταὐτὸν δὲ ἀργινόεντα εἰπεῖν καὶ ἀργιλώδη. Ε.

Σ. 648. Φαιστόν] Ἡ δὲ Φαιστὸς ὀξύνεται πρὸς διαστολὴν τοῦ βαρυτόνου Φαίστου τοῦ κυρίου ὀνόματος, ὃς καὶ ἔκτισεν αὐτὴν, υἱὸς ὢν Ῥοπάλου υἱοῦ Ἡρακλέος. — Ῥύτιον] Τοῦ δὲ Ῥυτίου ἐθνικὸν Ῥυτιεύς. Ε. — Πόλις. Β.

Σ. 649. Ἑκατόμπολιν] Διατὶ ἐνταῦθα μὲν ἑκατόμπολιν εἴρηκε τὴν Κρήτην, ἐν δὲ τῇ Ὀδυσσείᾳ ἐνενηκοντάπολιν; ῥητέον οὖν· ἤτοι ἑκατόν φησιν, οὐ τῷ ἀριθμῷ, ἀλλ᾽ ἀντὶ τοῦ πολλὰς, ἢ καὶ ἀληθέστερον ὡς ἔχει, ὅ, τι ἐξ ἱστορίας λέγεται· Λεῦκος γὰρ ὁ Κρητῶν ἐπικρατήσας τὰς δέκα πόλεις ἐπόρθησε, εἰς φόβον τῶν ἄλλων, καὶ εὐλόγως ἐν τῇ Ὀδυσσείᾳ (Τ, 174.) ἐνενήκοντα εἶπεν αὐτὴν ἔχειν. Σ.

Σ. 654. Ἀγερώχων] Νῦν αὐθαδῶν, ὑβριστῶν καὶ θρασέων· δηλοῖ δὲ καὶ τῶν λίαν ἐνδόξων. Σ. — Ἀγεν. Β.

Σ. 655. Διάτριχα] Τὸ δὲ διάτριχα κοσμηθέντες οὐ βούλονται οἱ παλαιοὶ προπαροξύνεσθαι διάτριχα· ὑπερβαίνουσα

γὰρ ἡ πρόθεσις εἰς τὴν μετοχὴν καθιστᾷ τὴν ἀνάγνωσιν οὕτω, διακοσμηθέντες τρίχα, ἤγουν τριχῶς, τουτέστι εἰς μέρη τρία. Ε. (ἰδ. στ. 668.). — Διὰ τρίχα. Β.

Σ. 656. Λίνδον — Ἰήλυσον καὶ Κάμειρον] Κατά τινάς φησιν ὁ Γεωγράφος (ΙΔ, σελ. 450. 17.) κτίσας ὁ Τληπόλεμος τὰς πόλεις ταύτας ἔθετο αὐταῖς ὀνόματα ὁμωνύμως θυγατράσι τοῦ Δαναοῦ. Ε.

Σ. 658. Ἀστυόχεια] Ἀστυόχη, κατὰ δὲ Ὅμηρον, Ἀστυόχεια, Φύλαντος ἦν θυγάτηρ. Ταύτην Ἡρακλῆς ἄγεται, ἀνελὼν τὸν Φύλαντα, ὅτε κατὰ Ἐφυραίων Αἰτωλοῖς ἐστρατήγει· γεννᾷ δὲ ἐξ αὐτῆς, Τληπόλεμον· ὃς ἐκτραφεὶς περιπέπτωκεν ἀκουσίῳ κακῷ. Ἰδὼν γὰρ τὸν αὐτῷ μὲν πάππον, τῷ δὲ πατρὶ Μήτρωα, ἤτοι τὸν πρὸς μητρὸς θεῖον τοῦ Ἡρακλέους, τουτέστι τὸν Λικύμνιον· ἀδελφὸς γὰρ ἦν Ἀλκμήνης, ὥς φασιν, ὁ Λικύμνιος· τοῦτον οὖν ἰδὼν ἀμελῶς φασιν ἐν γήρᾳ χειραγωγούμενον, καὶ ἀφεὶς βακτηρίαν ἐπὶ τὸν οἰκέτην, τοῦ μὲν οἰκέτου ἥμαρτεν οὐ κατευστοχήσας, τὸν δὲ γέροντα πλήξας, ἔκτεινεν οὐχ ἑκών· διὸ καὶ ἔφυγεν εἰς Ῥόδον, συναγαγὼν λαόν· καὶ στασιαζομένους τοὺς Ῥοδίους εὑρηκώς, καὶ ἑνὶ προσκεχωρηκὼς μέρει, ἐκράτησε, καὶ δυνατὸς γενόμενος ἐστράτευσε κατὰ τῆς Τροίας καὶ αὐτός. Ε.

Σ. 659. Ἐφύρης] Ἔφυραν δὲ ὑποπτεύουσί τινες ἐνταῦθα τὴν Θεσπρωτικὴν λέγεσθαι, τὴν μετονομασθεῖσαν Κέρκυραν (ἀνάγνωθ. Κίχυρον, σχόλ. Εὐσταθ. εἰς Ὀδυσ. Β. 328.)· λέγοντες καὶ Σελλήεντα ποταμὸν Θεσπρωτίας. Ε. — Οὕτως ἐκαλεῖτο καὶ ἡ νῦν καλουμένη Κόρινθος. Σ.

Σ. 660. Πέρσας] Τοῦτο δὲ σχῆμά ἐστι καινόν, ἤγουν τὸ βίη Ἡρακλέος πέρσας ἄστεα πολλά, καὶ ὡς εἰπεῖν, σολοικοφανές· ἀλλ' οὐ πρὸς τὸ λεγόμενον ἀποδέδοται τὸ πέρσας, ἀλλὰ πρὸς τὸ νοούμενον· βίη γὰρ Ἡρακλέος ὁ Ἡρακλῆς ἐστι. — Τὸ δὲ διοτρεφέων αἰζηῶν ταυτόν ἐστι τῷ βασιλικῶν ἀνδρῶν, οἷς δηλαδὴ πόλεις ἀνάκεινται. Ε.

Σ. 661. Τράφη ἐν] Τράφ' ἐνί. — Ἀνετράφη. Β.

Σ. 665. Ἀπείλησαν] Τὸ δὲ ἠπείλησαν δηλοῖ, ὡς οἱ παλαιοί φασι, πολιτικὴν ἡμερότητα· ἑλληνικὸν γάρ φασι τὸ μὴ φόνῳ φόνον λύειν· φυγαδεύειν δὲ τὸν ἅπαντα χρόνον, ὥςε Σόλων, φασίν, ἐντεῦθεν λαβών, ὥρισε τοῦτα. Ε. — Ὅθεν Σόλων ὥρισεν ἔτη πέντε. Σ. Β.

Σ. 668. Ἐφίληθεν] Τὸ δὲ ἐφιλήθησαν ἐκ Διὸς πρὸς τὴν

НБ ОНУ імені І.І. Мечникова

ποινήν, φασι, δόξαν εἴρηται· οἱ γὰρ πολλοὶ θεοφιλεῖς τοὺς πλουσίους οἴονται. Ε.

Σ. 670. Καί σφιν θεσπέσιον] Ὁ μῦθος, ὅτι χρυσῆν νεφέλην ὑπὲρ τῆς Ῥόδου μετεωρίσας ὁ Ζεύς, χρυσὸν τοῖς ἐκεῖ ἔβρεξεν· ἐπεί φασι πρῶτοι γεννωμένῃ τῇ Ἀθηνᾷ ἔθυσαν· οὗ τάχα ὑπόμνησιν ἔχει καὶ ἐνταῦθα τὸ πλοῦτον κατέχευε Κρονίων. Ε.

Σ. 671. Σύμηθεν] Σύμη δὲ, νῆσός φασι Καρικὴ καὶ πόλις ὁμώνυμος, ἀπὸ Σύμης τῆς Ἰαλυσοῦ· ἱστορεῖται δὲ καὶ ὅτι Μεταποντίς τε καὶ Αἴγλη ὠνομάσθη ποτέ· λέγεται δὲ καὶ πέρδικας μαχίμους φέρειν· ἐθνικὸν αὐτῆς ὁ Συμαῖος. Ε. — Ἐνταῦθα δὲ τρὶς ὀνομάσας τὸν Νιρέα οὐκ ἔτι αὐτοῦ ἐμνήσθη, καὶ τούτου αὐτὸς τὴν αἰτίαν παραδίδωσι λέγων· ἀλλ' ἀλαπαδνὸς ἔην. Σ.

Σ. 672. Χαρόποιο] Καρόποιο. Β. Τοῦ Χαρόπου. Λ.

Σ. 675. Ἀλαπαδνὸς] Ὁ ἀσθενὴς καὶ εὐπόρθητος, ἐκ τοῦ ἀλαπάζω. Ε.

Σ. 676. Νίσυρον] Ὅτι ἐν Νισύρῳ οἶνος ἀγαθὸς, ὁ ἐξ αὐτῆς Νισύριος καλούμενος. — Κράπαθον] Ὅτι ἀπὸ τῆς Καρπάθου, Καρπάθιον τὸ ἐκεῖ πέλαγος, συνάπτον τῷ Ἰκαρίῳ, κατὰ τὸν Γεωγράφον· ἦν δέ φησι τετράπολις ἡ Κάρπαθος, καὶ ὄνομα ἔχειν ἀξιόλογον· μία δὲ τῶν αὐτῆς πόλεων ἐκαλεῖτο Νίσυρος ὁμωνύμως τῇ νήσῳ Νισύρῳ· ἣ μία μὲν τῶν Κυκλάδων λέγεται (Στράβ. Ι. σελ. 337. 1.). — Κάρπαθος καὶ Κάσος, νῆσοι περὶ τὴν Κῶν· Κράπαθον δὲ κατὰ μετάθεσιν τοῦ, ρ. Σ.

Σ. 677. Κῶν] Τῆς δὲ Κῶ νήσου Κῷος τὸ ἐθνικὸν, ὥσπερ δὴ καὶ τῆς ἐν αὐτῇ πόλεως, ἣν πόλιν Εὐρυπύλου λέγει ὁ ποιητής, υἱοῦ Ἡρακλέος καὶ Χαλκιόπης, εὐκλεῶς ἐκεῖ βασιλεύσαντος. — Νήσους τε Καλύδνας] Τὸ δὲ νήσους Καλύδνας οὐ πρὸς διαστολὴν εἴρηται χερσαίων Καλυδνῶν, ἀλλὰ διὰ σαφήνειαν· ἵνα εἴη δῆλον, ὅτι νῆσοι αἱ Καλύδναι εἰσὶν, ἃς ἕτεροι διὰ τοῦ μ γράφουσι Καλύμνας· ὅτι Καλύδναι νῆσοι κατά τινας αἱ Σποράδες, ὧν μία Κάλυμνα, ἐξ ἧς αἱ παρακείμεναι καλοῦνται· οἱ δὲ, μίαν νῆσον Καλύδνας φασὶ κληθῆναι πληθυντικῶς, ὡς Ἀθήνας καὶ Θήβας. Ε.

Σ. 681. Νῦν δ' αὖ] Ἔστι δὲ τὸ σχῆμα ἐλλειπτικὸν ἀπὸ μακροῦ κοινοῦ· λέγει γὰρ ὅτι νῦν δ' αὖ τούτους ἔσπετέ μοι, ὦ Μοῦσαι, ὅσοι κ. τὰ ἑξῆς — καὶ ὑπὸ τῷ Ἀχιλλεῖ ἦσαν. — Πελασγικὸν δὲ Ἄργος τὸ Θετταλικὸν λέγει, ἀπὸ Πελασγῶν,

НБ ОНУ імені І.І.Мечникова

οἱ πολυπλάνητοι ὄντες, ὡς πολλαχοῦ δηλοῦται, ᾤκησαν καὶ ἐκεῖ· ὅτι δὲ Ἄργος οὐχ ἕν ἀλλὰ πολλά, ἐν τοῖς τοῦ Περιηγητοῦ δεδήλωται αὐτό τε τοῦτο, καὶ ἄλλα χρήσιμα· ὅτι δὲ Πελασγικὸν ἦν καὶ τὸ κατὰ Πελοπόννησον Ἄργος, καὶ Εὐριπίδης δηλοῖ· παρ᾽ ᾧ ἱστορεῖται, καὶ ὡς ἔφθασαν οἱ ἐκεῖ πάλαι μὲν Πελασγοί, Δαναοὶ δὲ κληθῆναι ὕστερον.(Ὀρέσ. στ. 1601.).

Σ. 682. Ἄλον] Ἄλος δὲ οὐ μόνον ἡ Φθιῶτις αὕτη, ἀλλὰ καὶ τῆς Ἀχαΐας πόλις κτισθεῖσα δέ φασιν ὑπὸ τοῦ Ἀθάμαντος, ὠνομάσθη ἀπὸ τῆς αὐτῷ συμβεβηκυίας ἄλης ἤτοι πλάνης, ἣν ἔπαθεν εἰς μανίαν ἐμπεσών. — Ἐν μέσῳ δέ ἐστι Φαρσαλίας καὶ Φθιωτῶν, Φίλιππος δὲ Φαρσαλίοις προσένειμεν, ἀφελόμενος τῶν Φθιωτῶν. — Ἐθνικὸν τῆς Ἄλου Ἀλεὺς καὶ Ἄλιος, κατὰ δέ τινας καὶ Ἀλούσιος. Ε. — Ἀλόπην] Ἡ δὲ Ἀλόπη πόλις καὶ αὕτη Θεσσαλική, ὁμωνυμεῖ Ἀλόπῃ θυγατρὶ Κερκυόνος ἢ Ἄκτορος· ἔκειτο δέ φασι μεταξὺ Λαρίσσης τῆς Κρεμαστῆς καὶ Ἐχίνου· ὁ πολίτης, Ἀλοπίτης καὶ Ἀλοπεύς. — Τρηχῖν᾽] Τρηχὶν δὲ, ἤτοι Τραχίν, πόλις Θετταλική, ὑπὲρ τὴν Οἴτην, κτισθεῖσα μὲν ὑπὸ Ἡρακλέους, ὀνομασθεῖσα δὲ διὰ τὴν τραχύτατα· ὄνομα δὲ ὄρους ἡ Οἴτη. — Περίπυστος δὲ ἡ Τραχίν, μάλιστα διὰ τὸν Ἡρακλέα· ὃς ἐκεῖ που ᾤχετο πυρὶ ἀενάῳ ἐπιρρίψας ἑαυτόν. Ε.

Σ. 683. Φθίην] Φθία δὲ πόλις καὶ μοῖρα Θετταλική, ἀπὸ Φθίας γυναικός, ἢ ἀπὸ Φθίου υἱοῦ Ποσειδῶνος καὶ Λαρίσσης· ὁ πολίτης αὐτῆς Φθιώτης καὶ Φθῖος. — Ἑλλάδα] Ἑλλὰς δὲ ὑπὸ Ἕλληνος ἐκτίσθη, οὐ τοῦ Δευκαλίωνός φασιν υἱοῦ, ἀλλὰ τοῦ παιδὸς Φθίου, ὃν ἔτεκεν Ἀχαιός· ἐθνικὸν αὐτῆς ὁ Ἕλλην ὁμωνύμως τῷ κυρίῳ· ἔστι δὲ καὶ ἑτέρα Ἑλλὰς τῆς Κοίλης Συρίας. Ἑλλάδα δὲ οὐ τὴν συνήθως παρ᾽ ἡμῖν καλουμένην φησὶ χώραν, ἥτις ἐπισυνάπτει τῇ ἀρχῇ τῆς Πελοποννήσου· — ἀλλὰ πόλις ἐστὶν αὕτη Θετταλική, οὕτω κληθεῖσα διὰ τὸν ἐκεῖ βασιλεύσαντα Ἕλληνα, ἐξ οὗ καὶ τοῖς ὅλοις Ἕλλησιν ὕστερον τὸ ὄνομα ἐνεκάθισεν. Ε.

Σ. 684. Μυρμιδόνες] Μυρμιδόνες δὲ ἢ ἀπὸ μυρμήκων κατὰ μῦθον ἐκλήθησαν, ἢ ἀπὸ Μυρμιδόνος ἥρωος, υἱοῦ Διός· λέγεται δὲ κατὰ Αἴγιναν ἡ περὶ αὐτῶν μυθολογία, ὅθεν καὶ Μυρμιδονία ἡ Αἴγινα παρὰ τοῖς παλαιοῖς. Ὁ δὲ Γεωγράφος λέγει, (Θ, σελ. 298. 49.) ὅτι Μυρμιδόνες συνηκολούθησαν ἐξ Αἰγίνης φεύγοντι τῷ Πηλεῖ· φυγεῖν δὲ τὸν Πηλέα ἐκεῖ-

НБ ОНУ імені І.І. Мечникова

θεν λέγουσιν οἱ παλαιοὶ μετὰ τὸν τοῦ ἀδελφοῦ Φώκου φόνον. — Ἕλληνες] Ἕλληνας δὲ ὁ ποιητὴς, ὥς φασιν οἱ παλαιοὶ, τοὺς ὑπὸ τῷ Ἀχιλλεῖ καλεῖ μόνους, ἐπειδὴ καὶ Ἕλλην, ὁ τοῦ Διὸς, περὶ τὴν ἐκεῖσε ἦρχεν Ἑλλάδα· οὕτω δὲ καὶ Ἀχαιοὶ ἐλέγοντο διά τινα τοιαύτην ὁμοιότητα, οἵ γε καὶ αὐτοὶ ὁμοφώνως τῷ κυρίῳ καλοῦνται καθὰ καὶ οἱ Ἕλληνες. — Ἡ Θεσσαλία πεδίον μέγα ἐστὶ καὶ κοῖλον, πάντοθεν ὄρεσι καλυπτόμενον· πρὸς ἀνατολὰς μὲν, τῇ Ὄσσῃ καὶ τῷ Πηλίῳ· πρὸς δυσμὰς δὲ τῷ Πίνδῳ, ἐξ οὗ ὁ Πηνειὸς ὁρμώμενος, ἔξεισι πρὸς ἕω, ἤτοι πρὸς ἀνατολήν· πρὸς ἄρκτους δὲ τῷ Ὀλύμπῳ καὶ πρὸς μεσημβρίαν, τῇ Ὄθρυϊ. τούτου ἦρξε τοῦ τόπου Θεσσαλός· ἀφ' οὗ ἡ χώρα Θεσσαλία· οὗ Αἴγων, οὗ Αἵμων, ὅθεν Αἵμονες μοῖρα Θετταλική· οὗ καὶ Λαρίσσης γυναικὸς Ἀργείας Πελασγὸς καὶ Φθίος καὶ Ἀχαιός· ἄρχων δὲ ὁ Πελασγὸς μοίρας τῆς χώρας, πελασγικὸν Ἄργος ὠνόμασε, καὶ πόλιν Λάρισσαν· θανόντος δὲ αὐτοῦ, ἄρξαντες οἱ ῥηθέντες ἀδελφοὶ, μοῖραν τῆς γῆς Φθίαν καὶ Ἀχαΐαν ἐκάλεσαν· οἰκεῖ δὲ αὐτόθι καὶ Δευκαλίων, οὗ υἱὸς Ἕλλην, ὃς Ἕλληνας τοὺς ἐκεῖ ἐκάλεσεν· οὗ Ξοῦθος· οὗ Ἀχαιὸς καὶ Ἕλλην, ἀφ' οὗ πάλιν Ἀχαιοὶ ὠνομάσθησαν. Ε.

Σ. 686. Ὅς τις σφιν] Ὅστις αὐτοῖς. Β.

Σ. 687. Ἡγήσαιτο] Τὸ δὲ ἡγήσαιτο αὐτοὺς, διφορεῖται καὶ αὐτὸ καθὰ καὶ τὸ ἄρχειν· ἄμφω γὰρ καὶ δοτικῇ καὶ γενικῇ συντάσσονται. Στίχες δὲ, αἱ στρατιωτικαὶ τάξεις. Ε.

Σ. 688. Κεῖτο] Τὸ δὲ ἔκειτο ἐν ναυσὶ τὴν παντελῆ τοῦ ἥρωος ἀργίαν δηλοῖ. Ε.

Σ. 690. Ἐξείλετο] Ὡς ἐξαίρετον ἔλαβε. Σ.

Σ. 691. Θήβης] Ὅτι οὐ μόνον Ἀτραμυττηνὴ Θήβη, ἀλλὰ καὶ ἐν Παμφυλίᾳ. — Λυρνησόν] Μία δέ φασι καὶ αὕτη τῶν ἕνδεκα πόλεων, ἃς πεζὸς εἷλεν ὁ Ἀχιλλεύς. Ε.

Σ. 692. Ἔβαλε] Ὅ ἐστιν ἀπέκτεινεν. Ὁ δὲ Μύνης τῆς Βρισηΐδος ἦν ἀνήρ. — Ἐγχεσιμώρους] Τοὺς περὶ τὰ ἔγχεα μεμορηκότας καὶ ἠσχολημένους, πολεμικούς. Σ.

Σ. 693. Σεληπιάδαο] Σεληπίου παιδός. Σ.

Σ. 694. Ἀνστήσεσθαι ἔμελλεν] Ψυχαγωγεῖ ταῖς ἐλπίσι τοὺς ἀκροατάς. Σ. Β.

Σ. 695. Φυλάκη] Πόλις Θεσσαλίας. Σ. — Πύρασον] Πύρασος δὲ πόλις Φθίας, κληθεῖσα οὕτω διὰ τὸ τὴν χώραν εἶναι



НБ ОНУ імені І.І. Мечникова

πυροφόρον ἤτοι σιτοποιόν· διὸ καὶ Δήμητρος αὐτὴν τέμενος ἐκάλεσεν ὁ ποιητής, ὡς πολύκαρπον δηλαδὴ καὶ εὔκαρπον. Ε. — Τέμενος] Ἱερὸν χωρίον ἀφωρισμένον Θεῷ κατὰ τιμήν, ἢ ἥρωϊ. Σ. (Στράβ. Θ, 300. 6.).

Σ. 696. Ἴτωνα] Λέγεται δέ φασι καὶ Ἰτώνη τρισυλλάβως· ἔτι δὲ καὶ Ἴτωνος ἀπὸ Ἰτώνου ἥρωος, καὶ Ἀθηνᾶ δὲ ἐξ αὐτῆς Ἰτωνία. Ε.

Σ. 697. Ἀντρῶνα] Ὠνόμασται δὲ οὕτω διὰ τὸ τοὺς ἐκεῖ τόπους ἀντρώδεις, τουτέστι σπηλαιώδεις καὶ ὑπονόμους εἶναι· ὁ δὲ τὰ ἐθνικὰ συλλέξας καὶ τὸν ἐν παροιμίαις Ἀντρώνιον ὄνον ἐντεῦθεν εἰρῆσθαι λέγει· εὐφυεῖς γάρ φησι πρὸς μύλωνας ἔχει λίθους· ὥστε κατὰ τοῦτον τὸν λόγον Ἀντρώνιος ὄνος, ὁ πρὸς ἀλετὸν δεξιός. Ε. — Πτελεὸν λεχεποίην] Τουτέστι πολυβότανον· οὗ ἡ πόα χρήσιμος λέξασθαι ἤτοι ἐγκαθευδῆσαι αὐτῇ. — Πόλις Ἀχαιῶν τῶν ἐν Θετταλίᾳ. Β. (ἰδ. στ. 594.) — Ἀντρῶνα, ἰδέ. Β.

Σ. 699. Ἔχε κατά] Κατεῖχεν. Β.

Σ. 700. Τοῦ δὲ κ. τ. λ.] Παθαίνεται δὲ Ὅμηρος ἐν τούτοις ἐπὶ τῷ Πρωτεσιλάῳ, οἷα φιλέλλην, οἰκτιζόμενος, ἔστι δὲ καὶ θαυμάζων τοῦ θάρσους· ἤπερ χρησμοῦ δοθέντος, πρῶτον ἐν Τροίᾳ πεσεῖν τὸν προπηδήσαντα τῆς νηὸς, Ἀχιλλεὺς μὲν ὑπέτρεσε, κατά τινας καὶ τελευταῖος εἰς γῆν ὁ τῶν Ἑλλήνων πρώτιστος κατεπήδησε. Πρωτεσίλαος δὲ φερωνύμως πρῶτός τε τοῦ λαοῦ καθήλατο τῆς νεὼς, καὶ πρῶτος τοῦ λαοῦ πέπτωκε, ἑλόμενος οὕτω παθεῖν, ἤπερ καταπτηχότας βλέπειν τοὺς Ἀχαιούς. — Ἀμφιδρυφής] Ἀμφιδρυφὴς δὲ ἡ ἅπαν δρυπτομένη, ὅ ἐστι ξεομένη τὸ πρόσωπον, ὃ λύπης ὑπερβολὴν δηλοῖ· ἐκ τοῦ δρύπτω δὲ γίνεται, τὸ ἀμφιδρυφές· δρύπτειν δὲ κυρίως τὸ ἀποδέρειν, ὅ ἐστιν ἐκδέρειν δόρυ, ἤγουν ξύλον, δένδρον, ἵνα ᾖ δορύπτω, ὡς κορύπτω, καὶ ἐν συγκοπῇ, δρύπτω. Ε. — Ἀμφοτέρας τὰς παρειὰς κατεξεσμένη. Σ.

Σ. 701. Ἡμιτελής] Ἤτοι ἄτεκνος, ἢ ἀφῃρημένος τοῦ ἑτέρου τῶν δεσποτῶν, ἢ ἀτελείωτος. — Βέλτιον δὲ εἰρῆσθαι ἡμιτελῆ, διὰ τὸ μὴ γεγεννηκότα παῖδας πλεῦσαι. Σ. — Γυνὴ δὲ Πρωτεσιλάῳ Λαοδάμεια, ἡ Ἀκάστου, φίλανδρος πάνυ, καὶ μὴ ἀνασχομένη ζῆν μετὰ τὸν τοῦ ἀνδρὸς θάνατον. Ε. — Δάρδανος ἀνήρ] Οἱ μὲν τὸν Αἰνείαν ἀπέδοσαν, ὅτι βασιλεὺς ἦν τῶν Δαρδανίων· οἱ δὲ τὸν Εὔφορβον· ἕτεροι τὸν

НБ ОНУ імені І.І. Мечникова

Ἕκτορα· τινὲς δὲ Ἀχάτην λέγουσι τὸν ἑταῖρον τοῦ Αἰνείου φονέα Πρωτεσιλάου. Δύναται δὲ καὶ ἀνωνύμως ἕνα τινὰ τῶν Δαρδανίων λέγειν. Σ.

Σ. 704. Ποδάρκης] Νῦν ὄνομα κύριον τοῦ ἀδελφοῦ τοῦ Πρωτεσιλάου. Σ.

Σ. 706. Αὐτοκασίγνητος] Ὁ ἀπ' ἀμφοτέρων τῶν γονέων ἀδελφός· κασίγνητος δὲ λέγεται ὁ καθ' ἕτερον τῶν γονέων ἀδελφός. Σ.

Σ. 707. Ὁ δ' ἄρα] Τὸ δὲ ὁδ' ἄρα πρότερος, ἐφερμηνευτικόν ἐστι τοῦ ὁπλότερος γενεῇ, ἵνα μή τις ὁπλότερον νοήσῃ τὸν θρασύτερον. Ε.

Σ. 709. Μὴν] Μὲν ἀντὶ μὴν. Β.

Σ. 711. Φεράς] Φεραὶ δὲ ἀπὸ Φέρητος παρονομάζονται, υἱοῦ Κριθέως, ἢ ἀπὸ Φερᾶς θυγατρὸς Αἰόλου. Δύο δὲ ἦσαν Φεραί, ἡ μὲν ἀρχαία, ἡ δὲ νέα, διέχουσαι ἀλλήλων σταδίους ὀκτώ. — Βοιβηΐδα] Βοιβηΐς, λίμνη Θετταλική, κατὰ τὸν Γεωγράφον (Θ. σελ. 304, 10.) ἐλάττων τῆς Νεσωνίδος, καὶ πλησιεστέρα τῇ παραλίᾳ· λέγει δὲ ὁ αὐτὸς καὶ ὅτι Βοιβηῒς λίμνη πλησιάζουσα Φεραῖς, καὶ Βοίβη χωρίον ἐπὶ τῆς λίμνης κείμενον. — Εἴρηται δέ φασι Βοίβη ἀπὸ Βοίβου υἱοῦ Γλαφύρου, τοῦ τὰς Γλαφύρας κτίσαντος.

Σ. 712. Ἰαωλκόν] Ἰαωλκὸς δὲ ἀπὸ Ἰαωλκοῦ φασιν υἱοῦ Ἀμύρου. — Εὑρίσκεται δέ ποτε καὶ τρισυλλάβως, Ἰωλκός. Ε.

Σ. 715. Πελίαο] Πελίας, Ποσειδῶνος καὶ Τυροῦς υἱός, τῆς Σαλμονέως, Νηλέως ἀδελφός, βασιλεὺς Ἰωλκοῦ. Σ. — Ὅτι δὲ Φίλανδρος καὶ αὕτη ἡ Ἄλκηστις, ἡ τοῦ Πελίου, καὶ ὡς θανάτῳ παρέβαλεν ἑαυτὴν ἀντὶ τοῦ ἀνδρὸς Ἀδμήτου ἐκ ζώντων γενομένου, εἴ πως εἰς φῶς ἐκεῖνος παλινδρομήσει, δηλοῦσιν οἱ παλαιοὶ καὶ μάλιστα οἱ ποιηταί· ὁ γοῦν Εὐριπίδης καὶ δραματουργίας διασκευὴν ἐκ τῆς γυναικὸς ταύτης πορίζεται· καὶ τὸ δρᾶμα ἐπιγράφει Ἄλκηστιν. Ε.

Σ. 716. Μηθώνην] Ἰστέον δὲ ὅτι ἡ Μηθώνη ἔκτασιν ἔπαθε κατὰ τοὺς παλαιοὺς τῆς ἀρχούσης, ἤγουν τῆς με συλλαβῆς· Μεθώνη γὰρ ὤφειλε ῥηθῆναι. Τρεῖς δέ φασι Μεθῶναι, ἡ ἐν Μακεδονίᾳ, ἄποικος Ἐρετριέων, καὶ ἡ ὑπὸ τῷ Φιλοκτήτῃ, καὶ ἡ περὶ Τροιζῆνα. — Ἔστι δὲ καὶ ἑτέρα φασὶ Πελοποννησία. — Καὶ Λακωνικὴ δέ φησι Μεθώνη ἐστίν, αὕτη δὲ μέχρι καὶ εἰσέτι φυλάσσει τὴν κλῆσιν ταύτην. — Πορφύριος



НБ ОНУ імені І.І. Мечникова

δὲ Φθίους, τοὺς ἐκ τῆς ὑπὸ τῷ Φιλοκτήτῃ Μεθώνης καλεῖσθαι, ἱστορεῖ, λέγων, ὅτι τῶν περὶ Μεθώνην, οὓς Φθίους λέγει ὁ ποιητής, ἡγεῖτο Φιλοκτήτης· ὁ Γεωγράφος δὲ, οὐ τοὺς περὶ Μεθώνην μόνους Φθίους φησὶ λέγεσθαι, ἀλλὰ, ὡς καὶ προείρηται, κοινῶς τοὺς ὑπὸ τῷ Ἀχιλλεῖ, καὶ τῷ Πρωτεσιλάῳ, καὶ τῷ Φιλοκτήτῃ. (Θ. σελ. 297. 48.). — Θαυμακίην] Τὴν δὲ Θαυμακίαν πόλιν Μαγνησίας ὁ τῶν ἐθνικῶν συλλέκτης φησὶ, λέγων καὶ ἑτέραν εἶναι Θαυμασίαν, κατὰ τὸν Μηλιᾶ κόλπον· καὶ νῆσον δὲ ὁμώνυμον· οἱ δὲ πολῖται τῆς Θαυμακίας Θαυμακοί. Ε.

Σ. 717. Μελίβοιαν] Τῆς δὲ Μελιβοίας τὸ ἐθνικὸν, Μελιβοεύς· ἐκλήθη δὲ ἡ ῥηθεῖσα πόλις Μελίβοια ὁμωνύμως ἡρωΐδι γυναικί. — Ὀλιζῶνα] Ὁ πολίτης ταύτης Ὀλιζώνιος· Αἰολικοὶ δὲ οἱ Ὀλιζώνιοι. Ε.

Σ. 720. Ἐμβέβασαν] Ἤγουν εἰσβεβήκεισαν. — Τόξα ἐνταῦθα τὴν τοξείαν δηλοῖ· τὸ δὲ Ἶφι μάχεσθαι κατ᾽ ἔλλειψιν τοῦ ὥστε. Ε.

Σ. 721. Ἀλλ᾽ ὁ μὲν κ. τ. λ.] Ἱστόρηται, ὅτι Φιλοκτήτης ἐν Λήμνῳ καθαίρων τὸν βωμὸν τῆς Χρυσῆς καλουμένης Ἀθηνᾶς ἐδήχθη ὑπὸ ὕδρου, καὶ ἀνιάτῳ τραύματι περιπεσὼν κατελείφθη αὐτόθι ὑπὸ τῶν Ἑλλήνων· ᾔδεισαν γὰρ, τοὺς Ἡφαίστου ἱερεῖς θεραπεύειν τοὺς ὀφιοδήκτους. Σ. — Εἰ καὶ ὕστερον κατὰ χρησμὸν ἀναληφθεὶς αἴτιος τοῦ ἁλῶναι τὴν Τροίαν γέγονε, καταβαλὼν τὸν ἀρχέκακον Πάριν· εἵμαρτο γὰρ, μὴ ἁλῶναι τὴν Ἴλιον δίχα τῶν Ἡρακλέους τόξων, ἅπερ εἶχεν ὁ Φιλοκτήτης. Ε.

Σ. 722. Ἠγαθέῃ] Ἠγαθέη δὲ Λῆμνος τουτέστιν ἀγαστὴ, ὡς τῷ Ἡφαίστῳ ἀνακειμένη. Ε.

Σ. 723. Ὕδρου] Τὸν δὲ ὕδρον χέρσυδρόν φασί τινες, ὃς παρέχει σηπεδόνας καὶ ἄλγος, οὗ κατέχεσθαι τὴν σῆψιν θαλάσσης προσρανθείσης. Ε.

Σ. 729. Τρίκκην] Τρίκκη δὲ πόλις Θεσσαλίας ἀπὸ Τρίκκης θυγατρὸς μὲν Πηνειοῦ ποταμοῦ, γυναικὸς δὲ Ὑψέως· ταύτην Τρίκκαλά τινές φασιν ἄρτι καλεῖσθαι. — Ἰθώμην] Ἡ δὲ Ἰθώμη Θετταλικὴ δὲ καὶ αὐτη. — Ἐθνικὸν Ἰθωμαῖος καὶ Ἰθωμέτης· καὶ ὅρα, ὅτι τὸ κλωμακόεν ἐπ᾽ ὀχυροῦ τέθειται τόπου, ἐν ᾧ εἰσι κλώμακες, ὅ ἐστι τόποι ἢ λόφοι, κατὰ τοὺς παλαιοὺς ὑψηλοί. Τραχεῖαι δὲ αὗται καὶ πετρώδεις ἀναβάσεις εἰσὶ,

НБ ОНУ імені І.І. Мечникова

καταχλῶσαι τοὺς δι' αὐτῶν βαίνοντας. Ε. — Κλωμακόεσσαν] Κλιμακόεσσαν. Β.

Σ. 730. Οἰχαλίην] Περὶ δὲ Οἰχαλίας ἐν τῷ τῶν Πυλίων καταλόγῳ ἐῤῥέθη (στ. 596.) τῆς Θεσσαλικῆς δὲ νῦν Ὅμηρος μέμνηται. Ε.

Σ. 732. Ἰητῆρ' ἀγαθώ] Ἐν δὲ τῷ ἰητῆρ' ἀγαθώ, φασὶν οἱ παλαιοὶ, ὅτι ἔθος ἦν τοῖς πάλαι βασιλεῦσι μανθάνειν τι τῶν χρησίμων, ὡς ἐν πολλοῖς φαίνεται. Ε.

Σ. 734. Ὀρμένιον] Ὀρμένιον δὲ πόλις Θετταλικὴ μεταξύ φασι Φερῶν καὶ Λαρίσσης. — Ὠνομάσθη δὲ ἀπὸ Ὀρμένου πατρὸς Ἀμύντορος, οὗ παῖς Φοῖνιξ, ὁ τοῦ Ἀχιλλέως τροφεύς. — Ὁ δὲ Γεωγράφος φησὶν, ὅτι Ὀρμένιον τὸ νῦν Ὀρμίνιον· ἔστι δὲ κώμη ὑπὸ τῷ Πηλίῳ, κατὰ τὸν Παγασιτικὸν κόλπον, μία τῶν συνῳκισμένων πόλεων εἰς τὴν Δημητριάδα. Ε. (Στράβ. Θ. σελ. 302. 9.). — Ὑπέρειαν ] Ὑπέρεια δὲ κρήνη ἐν μέσῃ τῇ τῶν Φεραίων πόλει· ὠνόμασται δὲ ἀπὸ Ὑπέρητος, υἱοῦ Λυκάονος. Ε.

Σ. 735. Ἀστέριον] Ἀστέριον δὲ πόλις καὶ αὕτη Θετταλική, ἢ ἀπὸ Ἀστερίου τινὸς ἥρωος, ἢ διὰ τὸ λαμπρόν. — Ἐφ' ὑψηλοῦ γάρ φασι κειμένη τοῖς πόῤῥωθεν ὡς ἀστὴρ φαίνεται. — Τιτάνοιό τε] Τίτανος δὲ ἀπὸ τοῦ συμβεβηκότος κατὰ τὸν Γεωγράφον (Θ, σελ. 302, 46.)· λευκόγεων γάρ φησι τὸ χωρίον· ἔστι δὲ καὶ ὄρος τὸ Τίτανον ὀνομασθὲν οὕτω καὶ αὐτὸ, διὰ τὸ τιτανῶδες χρῶμα τῆς γῆς· τίτανον δὲ κυρίως τὴν κονίαν φαμὲν, τὸ ἰδιωτικῶς λεγόμενον ἄσβεστον, τὸ ἐν λίθοις κεκαυμένοις χνοῶδες λευκόν· — Οἱ δὲ παλαιοί φασι τίτανος, κόνις, γύψος. Ε. — Κάρηνα] Ἀκρωτήρια. Σ.

Σ. 738. Ἄργισαν] Ἰστέον δὲ, ὅτι τὴν ῥηθεῖσαν Ἄργισσαν, εὕρηνται σπάνιά τινα τῶν ἀντιγράφων Ἄργειαν (ἴσως Ἄργεισαν, Β.) ἔχοντα προπαροξυτόνως διὰ διφθόγγου. Πλεονάζει μέντοι ἡ διὰ τοῦ ι καὶ τῶν δύο σ γραφή· κεῖται δέ φασιν ἐπὶ τῷ Πηνειῷ κτισθεῖσα ὑπὸ τῶν παίδων Λαρίσσης· κατὰ δὲ τὸν ἀναλεξάμενον τὰ ἐθνικὰ καὶ Ἄργουρα ὕστερον ἐκλήθη. Ἄργισσα δὲ ὠνομάσθη ἢ ἀπὸ Ἀργείων, ἢ διὰ τὸ προσκυροῦν τοῖς πεδίοις τῆς θαλασσίας· ἣν Πελασγικὸν Ἄργος Ὅμηρος εἶπεν· ἐκαλοῦντο δέ φασιν οἱ ἐκεῖ καὶ Λεοντῖνοι, ἀπὸ Λεοντέως. Ε. — Γυρτώνην] Γυρτώνη δὲ παρὰ μὲν τῷ ποιητῇ τρισυλλάβως· παρὰ δὲ τῷ Γεωγράφῳ εὕρηται δισυλλάβως· ἔνθα φησὶ τοὺς Πεῤῥαι-

НБОНУ імені І. Мечникова

δοὺς κεῖσθαι μέχρι ἐκβολῆς Πηνειοῦ καὶ Γυρτῶνος πόλεως Περῥαιβίδος (Θ, σελ. 302, 53.)· καὶ ὁ τῶν ἐθνικῶν δὲ συναγωγεὺς φησι· Γυρτὼν πόλις Θεσσαλίας καὶ Περῥαιβίας, ἀπὸ τοῦ κτίσαντος αὐτὴν Γύρτωνος, ὃς ἦν ἀδελφὸς Φλεγύου· Ὄρθη πόλις καὶ αὕτη Περῥαιβίας ἢ Θεσσαλίας, καλουμένη φασὶ καὶ Κορσέα. Ε.—Ἄργεισαν. Β.

Σ. 739. Ἠλώνην] Ἠλώνη δὲ ἐκτίσθη ὑπὸ Ἡρακλέους ἐπὶ τῷ θανάτῳ τῶν Κενταύρων· μετέβαλε δέ φασι τοὔνομα εἰς Λειμώνην, διὰ τὸν ἐν αὐτῇ λειμῶνα· κατεσκάφη δὲ κειμένη ποτὲ ὑπὸ τῷ Ὀλύμπῳ, οὐ πολὺ ἄποθεν τοῦ Εὐρώτου, κατὰ τὸν Γεωγράφον (Θ, σελ. 303, 39.), ὃν ὁ ποιητὴς Τιταρήσιον λέγει. —Ὀλοοσσόνα] Ἡ δὲ Ὀλοοσσὼν, ἡ καὶ λευκὴ προσαγορευθεῖσα διὰ τὸ λευκάργιλος κατὰ τὸν Γεωγράφον εἶναι. (Θ, σελ. 303. 39.) Περῥαιβική φησι καὶ αὐτή· ὁ δὲ τοῖς ἐθνικοῖς ἐνδιατρίψας Μαγνησίας πόλιν λέγει αὐτήν. Ε.

Σ. 743. Φῆρας] Τοὺς κενταύρους Φῆρας λέγει λαχνήεντας· Φῆρας μὲν διὰ τὰ ἐν τῇ ᾱ ῥαψῳδίᾳ λεχθέντα (στ. 268.)· λαχνήεντας δὲ, ὡς τὴν τρίχα δασεῖς, ὅ ἐστι βαθύτριχας· λάχνη γὰρ ἡ τρίχωσις, ὡς ἐπὶ ἄρκτων καὶ ἀλωπέκων, καὶ τῶν τοιούτων, ἐν οἷς καὶ ἵπποι καὶ λέοντες. Ε.

Σ. 744. Πηλίου] Τὸ δὲ Πήλιον ἀντίκειται τῇ Ὄσσῃ· ὄρη δὲ ἄμφω δυτικότερα Ὀλύμπου, δι' ὧν ἐκρέει ὁ Πηνειός. —Αἴθικες δὲ, Θετταλικὸν ἔθνος, ὑπερκείμενον τῆς Ἠπείρου, κατὰ δέ τινας Μακεδονικὸν, κατὰ δὲ ἑτέρους, Περῥαιβικόν· περὶ τούτων δὲ καὶ ὁ Γεωγράφος φησὶν, ὅτι ἐξηλάθησαν ὑπὸ Πειρίθου (Θ. σελ. 299. 36.). — Ἐν Θετταλίᾳ δὲ ᾤκουν ἐν τῷ Πίνδῳ ὄρει· ἔθνος ἐπιεικῶς παράβολόν τε καὶ βάρβαρον καὶ λῃστείαις προσκείμενον. Ε. — Αἰθίκεσσι πέλασσεν] Ἀντὶ τοῦ, εἰς Αἴθικας αὐτοὺς ἐδίωξε. Σ. — Εἰς δὲ τὸ Αἰθ. πελ. ἀντὶ τοῦ πέλας τῶν Αἰθίκων τοὺς Κενταύρους ἀφώρισε, φασὶν οἱ παλαιοὶ, ὅτι τοῦτο μὲν ἀληθές, ἐκεῖνο δὲ μεγαλοποιῶν ὁ Νέστωρ εἶπεν ἐν τῇ ᾱ δηλαδὴ ῥαψῳδίᾳ τὸ, καὶ ἐκπάγλως ἀπώλεσαν, ἀληθῶς γὰρ οὐκ ἀπώλοντο οἱ ῥηθέντες θῆρες, ἀλλ' ἀπελήλαντο. Ε.

Σ. 745. Ὄζος Ἄρηος] Ἰστέον δὲ, ὅτι σπέρμα μὲν εἰπεῖν Ἄρεος ἢ Διὸς ἐκ τῆς κατὰ γένεσίν ἐστιν ἀρχῆς, ὄζον δὲ ἐκ τῶν ὕστερον. Ε.

НБ ОНУ імені І.І.Мечникова

Σ. 746. Καινείδαο] Καινέως παιδὸς, Κορώνου. Σ.

Σ. 748. Κύφου] Ἡ Κύφος, πόλις φασὶ Περραιβίας, ἀπὸ Κύφου κληθεῖσα υἱοῦ Περραιβοῦ τοῦ Παλληνέως· βασίλειον Γουνέως. Ε.

Σ. 749. Ἐνιῆνες] Τῶν δὲ Ἐνιάνων τὴν ἄρχουσαν, οὓς Ἐνιῆνας διὰ τοῦ η Ἰωνικῶς φησιν Ὅμηρος, τὸ μὲν Ὁμηρικὸν μέτρον διὰ ψιλοῦ τοῦ ε παραδίδωσι. — Οἱ δὲ πλείους διὰ διφθόγγου τῆς αι γράφουσι, λέγοντες καὶ ὅτι Αἰνία πόλις Περραιβῶν, καὶ Αἰνιᾶνες οἱ κατοικοῦντες· οἱ δ' αὐτοὶ καὶ Αἰνιεῖς, ἔτι δὲ καὶ Αἴνιοι. — Ἐνταῦθα δὲ γράφουσιν οἱ παλαιοὶ, καὶ ὅτι ὁ ποιητὴς ἤδη εἰς βαρβάρους ἥκων, ἐθνικῶς καὶ οὐ κατὰ πόλεις αὐτοὺς ὀνομάζει, καὶ ὅτι Αἰνιᾶνες ὕστερον μὲν ὅμοροι τοῖς Αἰτωλοῖς, πρώην δὲ περὶ τὴν Ὄσσαν ᾤκουν μετὰ Περραιβῶν. Περραιβοὶ δὲ ἐκλήθησαν μὲν ἀπό τινος Περραιβοῦ ἐνδόξου, ὡς εἰκὸς, ἀνδρὸς, Θετταλικὸν δέ τι γένος εἰσί. Φησὶν οὖν ὁ Γεωγράφος, ὅτι Περραιβοὶ κατεῖχόν ποτε τὰ πρὸς τῷ Ὀλύμπῳ (Θ. σελ. 303. 2.) μᾶλλον δ' ἐντελέστερον εἰπεῖν, Λαπίθαι τὰ πεδία κατεῖχον, Περραιβοὶ δὲ τὰ ὀρεινότερα πρὸς τῷ Ὀλύμπῳ καὶ τοῖς Τέμπεσι, καὶ ὅτι ἐνέμοντο τὰ πρὸς τῇ θαλάσσῃ, καὶ τῷ Πηνειῷ, μέχρι τῆς ἐκβολῆς αὐτοῦ· καὶ ὅτι Ἄργισσα ἐπὶ τῷ Πηνειῷ κεῖται, ὑπέρκειται δ' αὐτῆς Ἄτραξ, τὴν δ' ἀνὰ μέσον ποταμίαν εἶχον Περραιβοί· οἳ καταδυναστευθέντες ὑπὸ Λαπιθῶν ἀπανέστησαν εἰς τὴν ὀρεινὴν, τὴν περὶ Πίνδον καὶ Ἀθαμᾶνας καὶ Δόλοπας· τὴν δὲ χώραν καὶ τοὺς ὑπολοίπους Περραιβοὺς κατέσχον Λαρισσαῖοι, πλησίον μὲν οἰκοῦντες τοῦ Πηνειοῦ, γειτνιῶντες δ' ἐκείνοις· δῆλον οὖν, ὅτι Θετταλοί τινες Περραιβοί, καὶ ὅτι καὶ περί που τὴν Λάρισσαν. Ε.

Σ. 750. Δωδώνην] Δωδώνη δὲ, πόλις Μολοσσίδος ἐν Ἠπείρῳ. Ε. — Χωρίον ἐν ὑπερβορέῳ τῆς Θεσπρωτίας ἱερὸν Διὸς, ἔνθα τὸ ἐκ τῆς δρυὸς μαντεῖον τοῦ Δωδωναίου Διός. Σ.

Σ. 751. Ἱμερτὸν] Ἐπιθυμητὸν, καλόν.— Τιταρήσιον] Τιταρήσιος, ποταμὸς Θεσσαλίας, ὃς ἀπὸ τῆς Στυγὸς ῥεῖν λέγεται, ἢ Ἠπείρου. Σ. — Ἔργ' ἐνέμοντο] Ἔργα κοινῶς λέγει πάντα τὰ συστατικὰ πολιτειῶν, ἔσω τε καὶ ἔξω. Ε. — Νῦν τὰ γεώργια, ἵν' ᾖ, ἐγεώργουν. Σ.

Σ. 752. Πηνειόν] Πηνειὸς ποταμὸς Θεσσαλίας, πλησίον Φθίας, πάντας τοὺς ἐν αὐτῇ δεχόμενος ποταμοὺς εἰς θά-

λασσαν ἐμβάλλει. Σ. (ἴδ. Στράβ. Θ. σελ. 301. 55.). Τὸ δὲ προΐει, χρόνος ἐστὶν, ἀντὶ χρόνου· κεῖται γὰρ ἀντὶ τοῦ προΐησιν, ὡς δηλοῖ εὐσυντάκτως ἐπαγόμενον τὸ ἐπιμίσγεται. — Καλλίρροον. Β.

Σ. 754. 755. Ἐπιῤῥέει] Ἐπιῤῥέει ἀντὶ τοῦ ἐπιτρέχει ἐπιπολαστικῶς· οἱ δὲ μεθ' Ὅμηρον τὸ ἐπιῤῥέειν δοτικῇ συντάσσουσι· τὸ δὲ ἐπιπολαστικὸν τοῦ Τιταρησίου γίνεται μὲν ἢ διὰ κουφότητα ὕδατος, ὅπερ συμβαίνει καὶ τοῖς εἰς θάλασσαν ἐκβάλλουσι ποταμοῖς, ἢ καὶ διὰ γλισχρότητα μεταλλικήν. — Ὅρκου . . . Στυγός] Ὁ δὲ ποιητὴς ἐκπλήττειν θέλων, ἤδη δέ που καὶ ῥυθμίζειν εἰς ἦθος, ἵνα τὸν ὅρκον ὑποβλεπώμεθα, φησὶν ὅρκου γὰρ δεινοῦ Στυγὸς ὕδατός ἐστιν, ἀποῤῥοια. Τὸ δὲ, ἢ καθά τινες εἶπον, ἁπλοϊκῶς ἐῤῥέθη, διότι ὀμνύουσιν εἰς αὐτὸν οἱ ἐγχώριοι, ὥσπερ κατὰ τὴν ἱστορίαν τοῦ Ἀῤῥιανοῦ καὶ Βιθυνίας ποταμὸς, Ὅρκος ὄνομα· ὃς φρικωδέστατος ὅρκων, τοῖς ἐκεῖ ἐνομίζετο, πρὸς βίαν εἰς τὰς δίνας ἕλκων τὸν ἐπίορκον, εἰ μὴ δρόμῳ ἐξεπήδησε· ἢ γοῦν οὕτω νοητέον ἁπλοϊκῶς τὸ ῥηθὲν, Ὁμηρικὸν ῥητὸν, ἢ μᾶλλον ὅτι ἀποῤῥέει τοῦ ἐν ᾅδου τῆς Στυγὸς ὕδατος· ἡ δὲ Στὺξ δεινὸς ὅρκος ἐστὶ, κατ' αὐτῆς γὰρ ὁ μῦθος ὀμνύειν φησὶ τοὺς θεούς. — Οἱονεὶ γοῦν λέγει, ὅτι διὰ τὸ δεινὸν τῆς Στυγὸς, ἀνεπίμικτον τὸ ἐξ αὐτῆς ὕδωρ μένει τῷ Πηνειῷ· δέδιε γάρ πως ὁ Πηνειὸς τὴν ἀνάκρασιν, ὡς εἴπερ ἔμψυχος ἦν· ποιητικῆς δὲ καὶ τοῦτο γλυκύτητος. Ε. — Ἀποῤῥώξ] Τουτέστιν ἀπόῤῥοια· λαμβάνεται δέ ποτε ἡ λέξις καὶ ἐπὶ πετρῶν ἀπεσχισμένων ἀλλήλων. Ε.

Σ. 756. Μαγνήτων] Δῆλον δὲ, ὅτι οὐ μόνον Εὐρωπαῖοι οὗτοι, ἀλλὰ καὶ ἕτεροι Ἀσιανοὶ Μάγνητές εἰσιν· ὁ Γεωγράφος οὖν Μαγνήτων μέμνηται τῶν πρὸς τῷ Μαιάνδρῳ (ΙΒ. σελ. 367, 17.), καὶ ἄλλοι συχνοί. — Ὑποδηλῶν δὲ καὶ (Θ. σελ. 304, 24.), εἰς ὅσον ὁ ποιητὴς τοὺς παρ' αὐτῷ τούτους Μάγνητας ἐστενοχώρησε, λέγει ὅτι Μάγνητας τούτους νομιστέον, τοὺς ἐντὸς τῶν Τεμπῶν ἀπὸ Πηνειοῦ καὶ Ὄσσης ἕως Πηλίου. — Καὶ ὅτι Μάγνητες ἐκλήθησαν ἀπὸ ἀνδρὸς ἐπιφανοῦς. Μάγνης γάρ φασιν εἷς τῶν Αἰολιδῶν υἱὸς ὁ τὸ Πήλιον ὄρος, κτίσας πόλιν, ἀπὸ τῆς γυναικὸς Μελίβοιαν ἐκάλεσεν, ὕστερον δὲ τὴν πᾶσαν χώραν, Μαγνησίαν· τούτου Ἀλέκτωρ, οὗ Αἵμων, οὗ Ὑπέροχος, οὗ ἔγγονος Τενθρηδὼν,

НБ ОНУ імені І.І. Мечникова

ὁ τοῦ ῥηθέντος Προθόου πατήρ· Ἰστέον δὲ καὶ, ὅτι ἐκ τῶν Ἀσιανῶν Μαγνήτων ἡ Ἡράκλεια λίθος ἦν. Φησὶ γοῦν Αἴλιος Διονύσιος οὕτω, Ἡράκλεια, ἡ καὶ Μαγνησία· δεκαοκτὼ δὲ πόλεις Ἡράκλεια· ἐξ ὧν μία, Λυδίας· ὅθεν ὁ Ἡρακλεώτης λίθος, ὁ ὑφ' ἡμῶν λεγόμενος Μάγνης, ὁ ἐπισπώμενος τὸν σίδηρον. Ε.

Σ. 759. Τεσσαράκοντα] Τεσσαράκοντα. Β.

Σ. 760. Οὗτοι ἄρ'] Ἠρίθμησε ἀρχοὺς μὲν, κατὰ τοὺς παλαιοὺς εἰπεῖν, εἰκοσιέξ· νῆας δὲ, χιλίας ἑκατὸν ὀγδοηκονταέξ. Ε.

Σ. 763. Ἵπποι κ. τ. λ.] Καθάπερ τὰ ἐν ὅπλοις διαφέροντα πολλαχοῦ ἐν λόγῳ τίθεται, οἷον Ἀγαμέμνονος θώρακα· σάκος Αἴαντος, ἢ ἄλλο τι, οὕτω καὶ τοὺς κρείττους τῶν ἵππων, οἷά τι καὶ αὐτοὺς, ὅπλου φιλοκρινεῖ (οἷά τι καὶ αὐτοὺς ὅπλον φιλοκρινεῖ)· εἰ γὰρ λόγου ἄξιος πέλεκυς τομὸς δοῦλων ἀνδρὸς ἐρωὴν (γ', 62.), πῶς οὐκ ἂν λόγοις μέλοιτο ἵππος στρατιωτικὸς, οὐ μόνον ὀχῶν τὸν ἐπιβάτην, ἀλλὰ μονονουχὶ καὶ συνεργαζόμενος τὰς ἀριστείας αὐτῷ. Ε. — Ἄρισται] Ὡς Θεσσαλονικαί. Καὶ ὁ χρησμός φησιν· Ἵππον Θεσσαλονικὸν, Λακεδαιμονίαν τε γυναῖκα, Ἄνδρας θ' οἳ πίνουσ' ἱερὰν πηγὴν Ἀρεθούσης. — Φηρητιάδαο] Τοῦ Φέρητος παιδὸς Ἀδμήτου. Σ.

Σ. 765. Ὄτριχας] Τὸ δὲ ὄτριχας συγκέκοπται μὲν ἐκ τοῦ ὁμοιότριχας, ψιλοῦται δὲ διὰ τὸ ἐπαγόμενον τ, ὡς καὶ τὸ ὀτρύνω. — Οἰέτεας] Τὸ δὲ οἰέτεας δηλοῖ μὲν τὸ ὁμοέτεας ἤτοι ὁμοχρόνους· συνεκόπη δὲ ὁμοίως καὶ αὐτό· καὶ ὀφεῖλον εἶναι οἔτεας, ἐμηκύνθη πλεονασμῷ τοῦ ι, διὰ μέτρου εὐχρηστίαν, καὶ εὐθὺς ἐψιλώθη κανονικῶς καὶ αὐτό. — Σταφύλη] Τὸ δὲ σταφύλη ἐπὶ νῶτον ἐΐσας, δηλοῖ μὲν τὰς ἰσήλικας· ἔχει δὲ ἔλλειψιν τοῦ ὡς παραβολικοῦ ἐπιῤῥήματος· ὤφειλε γὰρ εἶναι, ὡς σταφύλῃ· ἵνα λέγῃ αὐτὰς οὕτως ἴσας ἀλλήλαις τὸ μῆκος ἐν τῇ κατ' ἐπίπεδον στάσει, ὡς ἐὰν σταφύλῃ ἐξισώθησαν· ἔστι δὲ ἡ σταφύλη βαρυτόνως πρὸς διαστολὴν τῆς ὀξυτόνου ὀπώρας, τεκτονικὸν ἐργαλεῖον, ἐξισάζον τὰ ὑποκείμενα· καί φασιν οἱ ἀκριβέστεροι, λαξοϊκὸν, ἤτοι λιθοξοϊκὸν καὶ λαξευτικὸν διαβήτην εἶναι, μὴ σταφύλην, ὃς ἅμα πλάτος καὶ ὕψος μετρεῖ· ὁ δὲ ἕτερός φασι διαβήτης, μόνον πλάτος. — Ἰστέον δὲ καὶ ὅτι Πτολεμαῖος ὁ Ἀσκαλωνίτης ἐν τῷ περὶ τῶν ἐν Ὀδυσσείᾳ προσῳδιῶν, εἶπεν κεῖσθαι τὴν λέξιν ταύτην ἐπὶ τῆς

НБОНУ імені І.І.Мечникова

καθιεμένης μολύβδου παρὰ τῶν τεχνιτῶν. — Τινὲς σταφύλην οὐ διαβήτην ἐνόησαν, ἀλλὰ στάθμην· ἥτις φασίν ἐστι σχοινίον λεπτὸν χριόμενον μίλτῳ ἢ μέλανι, ᾧ συνηγούμενοι ἀπορθοῦσι τὰ ξύλα. Σ.

Σ. 766. Ἐν Πιερίῃ] Τὸ δὲ ἐν Πηρείῃ (Εὐστάθ.) ἀμφιβέβληται· τινὰ μὲν γὰρ ἀντίγραφα διὰ διφθόγγου τὴν ἄρχουσαν ἔχουσι, τὴν δὲ παραλήγουσαν διὰ μόνου διχρόνου· αἰτία δέ τις οὐ παραδέδοται τῆς τοιαύτης γραφῆς· ἐν δὲ ἑτέροις, ἡ μὲν ἀρχὴ τὸ Η ἔχει, ἐν διφθόγγῳ δὲ ἡ παράληξις γίνεται· καὶ εὕρηται οὕτω καὶ ἐν τῇ κατὰ στοιχεῖον συλλογῇ τῶν ἐθνικῶν· ἔνθα κεῖται, ὅτι Πήρεια χωρίον Θετταλικὸν, ὅπερ τυχὸν ἐλώδες ἦν καὶ ἀγαθὸν τρέφειν ἵππους. Ε. (ἴσως Φηρείῃ) — Ἀπόλλων] Ἀπόλλων δὲ τὰς Εὐμήλου ἔθρεψεν ἵππους, ὡς Νομεὺς, καὶ ὡς θητεύσας φασὶ τῷ Ἀδμήτῳ, ἢ κατὰ ἔρωτα, ἢ ἐξ ἀνάγκης τοῦ Διὸς, διὰ πεφονευκὼς τοὺς Κύκλωπας. Ε. (Ἴδ. Φ, 448.) — Πηρείῃ. Β.

Σ. 767. Θηλείας] Οἱ δὲ παλαιοὶ ἐνταῦθά φασιν, ὅτι καὶ θηλείας ἤγαγον εἰς Τροίαν οἱ Ἀχαιοὶ, οὐ μόνον ἀφθονίας τοῦ γένους χάριν, ἀλλὰ καὶ ὅπως οἱ ἄρρενες ῥυθμίζοιντο μὴ ἐξοιστρᾶσθαι· ἔστι γὰρ μάλιστα αἰσθανόμενον ὁ ἵππος διά τε τὸ μὴ χρεμετίζειν ἐν τοῖς λόγοις. Ε. — Ὅτι συντόμως πᾶσαν ἵππων διαφορὰν περιέλαβε· διαφέρουσι γὰρ ἀλλήλων ἵπποι ἡλικίᾳ, χροιᾷ, μεγέθει, γένει, δυνάμει. Ε.

Σ. 769. Ὄφρα] Ἀντὶ τοῦ μέχρις οὗ. Σ.

Σ. 772. Ἀπομηνίσας] Ἐν μὲν τοῖς ἑξῆς ἀπομηνίσαι τὸν Ἀχιλλέα ὁ ποιητὴς ἐρεῖ, τουτέστιν ἀποθέσθαι τὴν μῆνιν· ἐνταῦθα δὲ τὴν ἐπιμονὴν δηλοῖ τῆς μήνιδος· κεῖται γὰρ ἡ ἀπὸ πρόθεσις ἀργὴ, ὡς καὶ ὅτε τις λέγει ἀπομνημονεύειν χάριτος, ἐξ οὗ καὶ τὸ ἀπομνημόνευμα, καὶ τὸν ἄνδρα ἀπαμύνασθαι ἀντὶ τοῦ ἀμύνασθαι. Ε.

Σ. 773. Παρὰ ῥηγμῖνι] Παρὰ τῷ Αἰγιαλῷ. Δ.

Σ. 774. Δίσκοισι τέρποντο] Διὰ τὴν ἐκ πολέμου ἀργίαν δίσκοις τέρποντο, κ. τ. λ. Δίσκοι δὲ, λίθοι στρογγύλοι, οὓς χειριζόμενοι ἐῤῥίπτουν εἰς μῆκος οἱ γυμναζόμενοι· εἰ δὲ ἦν ἐκ σιδήρου, σόλος τὸ τοιοῦτον ἐλέγετο. Ε. (Ἴδ. Ψ, 826. διαφέρει σόλος καὶ δίσκος· ὅτι ὁ μὲν δίσκος πλατύς ἐστι καὶ κοιλότερος· ὁ δὲ σόλος στρογγύλος καὶ σφαιροειδής.). — Αἰγανέῃσιν] Αἰγανέα δὲ εἶδος ἀκοντίου ἐλαφροῦ, παρὰ τὸ ἄγαν

НБ ОНУ імені І.І. Мечникова

[εσθαι, ἤτοι πέμπεσθαι, ἢ διὰ τὸ δεξιὸν εἶναι εἰς θήραν αἰγῶν.
— Λέγουσι δὲ ἀγκύλην τὴν τῆς αἰγανέας λαβήν. Ε.
Σ. 776. Λωτὸν] Λωτὸς δὲ νῦν οὐχ οἷος ἐν Ὀδυσσείᾳ (Δ,
603. Ι, 97.) ὁ γλυκὺς καὶ ἀνθρώπων ἐπαγωγός· βοτάνη δὲ
λειμωνειὰς ἵπποις εὐπρόσιτος.— Ὁ δέ γε διὰ τοῦ ο μικροῦ, ὁποῖος
ὁ δηλούμενος ἐν τῷ, λωτοῦ κατὰ πνεύματα μέλπει (Εὐριπ. φασίν,
794.) συστέλλει τὴν ἄρχουσαν παρά τισι, καὶ δηλοῖ καλαμί-
σκον τινά. Ε. — Ἐρεπτόμενον] Τὸ δὲ ἐρεπτόμενον ἐπὶ ἀλόγων
κυρίως, ἀπὸ τῆς ἔρας, ἤτοι τῆς γῆς· ἵνα ᾖ ἐρέπτεσθαι τὸ
ἀπὸ τῆς ἔρας πάσασθαι καὶ φαγεῖν (Ἰδ. Φ, 271.). — Ἐλεόθρε-
πτόν τε σέλινον] Τὸ δὲ ἐλεόθρεπτον σέλινον, ἐν ἕλει φυόμενον·
ἄλλο δὲ τοῦτο τὸ ἕλειον σέλινον παρὰ τὸ πετροσέλινον· στραγ-
γουριῶσι δὲ συμβάλλεται· στραγγουρία γὰρ ἀεὶ πολεμεῖ τοὺς
ἀργοῦντας τῶν ἵππων. Σ. Β.
Σ. 777. Ἕστασαν] Τὸ δὲ ἕστασαν (Εὐστάθ.) δασύνεται ὡς
συγκοπὲν ἀπὸ τοῦ ἑστήκεσαν. Ε. — Πεπυκασμένα δὲ ἅρματα
τὰ ἐσκεπασμένα, ἵνα μὴ καπνῷ ἀεικίζωνται, ἢ ἀναπιμπλῶνται
κόνεως. — Τὸ δὲ ἀνάκτων ἀντὶ τοῦ δεσποτῶν, ὡς καὶ ἐν τῷ,
αὐτὰρ ἐγὼ οἴκοιο ἄναξ ἔσομαι ἡμετέροιο (Ὀδυσσ. Α, 397.). Ε.
— Ἕστασαν. Β.
Σ. 780. Οἱ δ' ἄρ' ἴσαν] Τὸν κατάλογον πληρώσας ὁ ποιη-
τής, εἶτα ἱστορήσας ἀνδρῶν καὶ ἵππων τοὺς ἀρίστους, ἐπὶ τὴν
Ἑλληνικὴν ἔρχεται σύνταξιν. — Νέμοιτο] Ἤγουν κατεσθίοιτο·
(περιεβόσκετο Σ.) — δηλοῖ δὲ ἡ παραβολὴ τὴν ἀπὸ τῶν ὅπλων
πυριλαμπῆ στιλβηδόνα. Ε. — Ὡς εἴ τε. Β.
Σ. 781. Ὑπεστενάχιζε] Ὑπέστενεν, ἤχει. Δ. Τὸν κτύπον
παραδηλῶν, ὃν οἱ κινούμενοι ἀπετέλουν, ὅπερ κατωτέρω πα-
θητικῶς λέγει, Στεναχίζετο. Β.
Σ. 782. Ἀμφὶ Τυφωεῖ] Ἡ δὲ κατὰ τὸν Τυφωέα παραβο-
λὴ μυθικῶς μὲν ἐναντιουμένους ἔχει τὸν Δία καὶ τὸν Τυφωέα,
ὃν ὁ μῦθος ἑκατογκέφαλον ἀναπλάττει· νικῶντα δὲ τὸν Δία
λέγει, κεραυνοῖς ἱμάσσοντα καὶ τοιαύταις πληγαῖς, ὧν συμμε-
τέχει καὶ ἡ γῆ, κατασκηπτούντων εἰς αὐτήν. — Ζεὺς κεραυ-
νώσας τὸν Τυφῶνα τὴν Σικελικὴν Αἴτνην, ὄρος δὲ αὕτη πυ-
ρικαὲς, αὐτῷ ἐπέθηκεν· — ὅθεν ἡνίκα κεραυνοὶ ἐξ ἀέρος πίπτου-
σι, καὶ μάλιστα, ἔνθα τυφωνικὰ ἐπιχωριάζει πνεύματα, πόλε-
μος κινεῖσθαι πιθανεύεται, μεταξὺ Τυφωέος καὶ Διός· (ἡ γὰρ
ἀλληγορία Δία μὲν τὸν ἀέρα νοεῖ, Τυφωέα δὲ πνεῦμα ὑπό-

НБ ОНУ імені І.І. Мечникова

γεων πυρόεν καὶ καυστικόν·) τοιούτοις δὲ τόποις ἐναρίθμιος καὶ τὰ Ἄριμα, ἔνθα ὁ Τυφωεὺς εὐνάζεσθαι λέγεται, τουτέστι διατρίβειν, ὡς καὶ αὐτόθι αἰκίζεσθαι. — Τὸν δὲ Τυφωέα τοῦτον οἱ μεθ' Ὅμηρον Τυφῶνα καλοῦσι· — λέγει ὁ Γεωγράφος, ὅτι οἱ περί που τὸν Τμῶλον τόποι κεραυνοβόλοι καὶ δρυμώδεις, καὶ ὅτι ἐνταῦθα οἱ Ἄριμοι (ΙΓ, σελ. 430.)· οἱ δὲ ταῦτά φησι λέγοντες ἐπεισφέρουσιν εἰς τὸ Τυφωέως εἶναι εὐνὰς, καὶ τοῦτο τὸ ἔπος· χώρῳ ἐνὶ δρυόεντι, Ὕδης ἐν πίονι δήμῳ· (Υ, 385.) — ἄλλοι δέ φησιν ἐν Κιλικίᾳ τὸν περὶ Τυφωέως πλάττουσι μῦθον· οἱ δὲ ἐν Συρίᾳ, οἱ δὲ ἐν Πιθηκούσσαις νήσοις· πιθανότεροι δὲ οἱ ἐν τῇ κατακεκαυμένῃ τῆς Μυσίας τοὺς Ἀρίμους τιθέντες· — ἄλλοι τοὺς Ἀρίμους παρ' αὐτό φασι τὸ Κωρύκιον ἄντρον, ἀφ' ὧν τὰ ἐγγὺς ὄρη Ἄριμα ἐκαλοῦντο. — Συνακτέον δὲ ἐκ τῶν ῥηθέντων, καὶ ὅτι οἱ Ἄριμοι ἀρσενικῶς, καὶ τὰ Ἄριμα οὐδετέρως λέγεται· τοπικὸν δὲ τῶν Ἀρίμων Ἀριμαῖος. — Ἱμάσσῃ] Τὸ δὲ ἱμάσσῃ, ὅ ἐστιν ἱμάντι πλήττῃ, μικροπρεπὲς μέν ἐστι ῥηθὲν ἐπὶ τοῦ μεγίστου κακοῦ· προσφυῶς δ' ἔχει τῷ γαῖα δ' ὑπεστενάχιζε· καὶ μετῆκται ταῦτα ἐκ τῶν ἐν τῷ ἱμάσσεσθαι ὑποστεναζόντων· ἄλλως δὲ στεναχίζει γαῖα, ὡς καὶ πόντος. Ε. — Ἱμάσσῃ] Μαστίζῃ, ὅ ἐστι κεραυνοῖς πλήττῃ. Σ.

Σ. 783. Εἰν Ἀρίμοις] Εἰναρίμοις (ἴδ. στ. 782.).

Σ. 784. Στεναχίζετο] (ἴδ. στ. 781.). Β.

Σ. 787. Ἀλεγεινῇ] Ἀλεγεινὴν, ἤγουν ἀλγεινὴν, ἐπίπονον, φροντίδος ἀξίαν λέγει. Ε.

Σ. 788. Ἀγορὰς] Νῦν ἀντὶ τοῦ· λόγους ἄκρους. Σ. (ἀνάγν. ἀκρίτους) — Θύρῃσι] Πρὸ τῶν βασιλείων ἦν φασὶν, ὡς εἰκὸς, τὸ ἐκκλησιαστήριον. Ε.

Σ. 792. Σκοπὸς ἷζε] Ὅρα δὲ καὶ τὸ ἷζε σκοπὸς (κατάσκοπος, Σ.) ἀντὶ τοῦ ἐκάθητο, ἐνεργητικῶς ἐκφωνηθέν. Ε.

Σ. 796. Μῦθοι . . . ἄκριτοι] Τὸ δὲ μῦθοι ἄκριτοι, ἤγουν ἀναρίθμητοι, δριμέως εἰς τὸν γέροντα βασιλέα ἔσκωπται· καὶ ἴσως διὰ τοῦτο οὐ τὸν Πολίτην αὐτὸν ἐκεῖνον ὁ ποιητὴς ἱστορεῖ ταῦτα λέγοντα, ἵνα μὴ εἰς πατέρα παροινῇ· τὴν δὲ Ἶριν ταῦτα λέγειν φησὶν, ἥτις, ὡς θεῖον πρόσωπον, οὐκ ἔχει μέμψιν. Ε. — Προσέφη. Β.

Σ. 797. Ἀλίαστος] Τουτέστιν ἄφυκτος· λιάζω γὰρ τὸ ἐκφεύγω· μέμφεται δ' ἐν τούτοις τὸν γέροντα, ὡς ἐν καιρῷ μάχης καὶ ἔργων λογολεσχοῦντα. Εἰρήνῃ μὲν γὰρ πρέπουσι βουλαὶ καὶ δημηγορίαι, πολέμου δ' ἀκμὴ οὐ τούτοις χαίρει. Ε.

НБ ОНУ імені І.І. Мечникова

Σ. 798. Πολλά] Τὸ πολλὰ πρωτότυπόν ἐστι τοῦ πολλάκις. Ε.

Σ. 801. Ἔρχονται πεδίοιο] Τὸ δὲ ἔρχονται πεδίοιο, ἀντὶ τοῦ διὰ τῆς πεδιάδος, καὶ ἔστιν ὅμοιον τῷ, διέπρησσον πεδίοιο. Ε.

Σ. 802. Ἕκτορ] Οὕτω τὴν Τρωϊκὴν ἀγορὰν ἡ Ἶρις ἐγκόψασα, προκαλεῖται εἰς ἔργον τὸν ἐντρεχέστατον Ἕκτορα. Ε.

Σ. 803. Πολλοὶ γὰρ] Ὁ Γὰρ σύνδεσμος λαμβάνεται ἀντὶ τοῦ ἐπειδή· τὸ οὖν κοινὸν οὕτως· ἐπεὶ πολλοὶ κατὰ ἄστυ ἐπίκουροι, ἕκαστος σημαινέτω, οἷς ἄρχει. Ε.

Σ. 805. Σημαινέτω] Ὅτι οὐδὲ δύνανται οἱ μὴ ὁμόγλωσσοι ἀλλήλοις συντετάχθαι, ἵνα μὴ φύρωσι καὶ συγχέωσι τὸ πᾶν. Ε.

Σ. 806. Πολιήτας] Ἤτοι τοὺς ἑαυτοῦ πολίτας, πλεονασμῷ τοῦ η. Ε.

Σ. 807. Ὣς ἔφαθ'] Ὅρα δὲ, ὅτι τοσοῦτον ἀλεγεινὴ ἡ τῆς Ἴριδος ἀγγελία, ὥστε οὔτε ὁ Πρίαμος ἐλάλησέ τι πρὸς ἅπερ ἤκουσεν, οὔτε ὁ Ἕκτωρ, παρὼν καὶ αὐτὸς τῇ ἀγορᾷ· ἐκπλαγέντες δὲ ἐπὶ τῇ αἴφνης ἐφόδῳ τῶν Ἀχαιῶν, σιωπῶσι τέλεον· οὕτω δὲ καὶ οἱ λοιποί. Ε. — Τὰ κατὰ τοὺς Τρῶας ἐπιτροχάδην διέξεισι ὁ ποιητὴς, συνεπισπεύδων οἷον αὐτοῖς· καὶ οὔτε Μούσας ἀξιοῖ ἐπικαλέσασθαι. Ε.

Σ. 809. Πᾶσαι] Ἀντὶ τοῦ ὅλαι· μία γὰρ ἦν ἱππήλατος. — Ὤϊγνυντο] Ἀνεῴγνυντο. Σ.

Σ. 812. Περίδρομος] Τουτέστι κυκλοτερὴς καὶ πάντοθεν περιτρεχομένη. Ε.

Σ. 813. Βατίειαν] Ἐκαλεῖτο ἡ ῥηθεῖσα κολώνη ὁμωνύμως φασὶν Ἀμαζόνι τινὶ ἐκεῖ τεθαμμένη, δύο ποτὲ, οἷα εἰκὸς, ἐχούσῃ ὀνόματα· ὧν τὸ μὲν εὐτελέστερον, καὶ, ὡς οἱ παλαιοί φασι, δημωδέστερον ἀνθρώποις ἔγνωστο· τὸ δὲ ὀγκηρότερον καὶ σεμνότερον ἢ καὶ, κατὰ τοὺς παλαιοὺς, ἀληθέστερον Θεοῖς δέδοται, ὡς ἡ Ὁμηρικὴ Μοῦσά φησιν. —Μυρίνης] Ἡ δὲ Ὁμηρικὴ αὕτη Μύριννα (στ. 814.) κεῖται καὶ παρὰ Λυκόφρονι (στ. 243.), λεγομένη παρά τινων Τεύκρου θυγάτηρ, γυνὴ Δαρδάνου. —Κατὰ δὲ τὸν Γεωγράφον (ΙΒ, σελ. 394, 50.)· οὐχ αὐτὴ ἐκείνη ἡ Ἀμαζὼν Μύριννα διώνυμος, ἀλλ' ὁ τύμβος αὐτῆς, οὗ δύο ὀνόματα· ἡ Βατίεια τοπικὸν, καὶ ἡ Μύριννα, ἐκ τῆς κειμένης Μυρίννης ἐν τῇ Βατιείᾳ· εἰσὶ δὲ τόποι πολλοὶ Ἀμαζόνων ἐπώνυμοι. Ε. —Πρωτότυπον Βάτεια. Ε.

НБ ОНУ імені І. І. Мечникова

Σ. 814. Πολυσκάρθμοιο] Εὔσκαρθμοι ἵπποι φασί, διὰ τὸ τάχος· κακείνη οὖν εὔσκαρθμος διὰ τὸ ἀπὸ τῆς ἡνιοχείας τάχος. — Πολύσκαρθμος· ἡνιοχικὴ καὶ πολυκίνητος· γίνεται γὰρ ἐκ τοῦ σκαίρω, τὸ πηδῶ, ὁ σκαρθμός. Ε.

Σ. 818. Μεμαότες ἐγχείῃσιν] Ἤγουν προθυμούμενοι τοῖς ἔγχεσι· τί δὲ προθυμούμενοι; πολεμίους ἀναιρεῖν, ἢ φάλαγγας ῥήσσειν, ἢ καὶ θώρακας ῥήξειν πολεμίων ἀμφὶ στήθεσιν· ὅπερ ἐπὶ μὲν τῶν Ἀβάντων ἐντελῶς εἶπεν. Ε.

Σ. 820. Αἰνείας] Ἀφροδίτης δὲ υἱὸς ὁ Αἰνείας μυθολογεῖται, ὡς ἡδὺς καὶ ἐπέραστος, καί, ὡς εἰπεῖν, ἐπαφρόδιτος καὶ πολὺ τὸ ἐπαγωγὸν ἔχων· διὸ καὶ ἐφιλεῖτο ὑπὸ τῶν Τρώων· ὅθεν καὶ τῷ βασιλεῖ ὢν ὕποπτος, οὐδὲν ὅμως ἐβλάβη. Ε.

Σ. 821. Ἴδης ἐν κνημοῖσι] Ἡ δὲ Ἴδη ὄρος Τροίας ὑψηλὸν πολλοὺς ἔχουσα πρόποδας· σκολοπενδρώδης τὸ σχῆμα· ἔστι δὲ Ἴδη καὶ Κρήτης· καὶ πᾶν δέ φασιν ὄρος ὑψηλόν, ὡς ἀπὸ τούτων (ὀρέων τῆς Τροίας καὶ τῆς Κρήτης) Ἴδη ἐλέγετο· ὥσπερ καὶ πᾶν ὕδωρ Ἀχελῶος· ὁ δὲ Γεωγράφος λέγει, καὶ ὅτι Ἴδη τὸ ὄρος μέχρι Λεκτοῦ καθήκει (ΙΓ. σελ. 401. 39.) ἔστι δὲ ἀκρωτήριον γνώριμον τὸ Λεκτόν. Σ. (ἴδ. Φ. 449.).

Σ. 822. Οὐχ οἶος] Ἴσως γάρ φασιν ὁ βασιλεύς, ὑποπτεύων τὸν Αἰνείαν, ὡς καὶ ἐν τοῖς μετὰ ταῦτα δηλώσει που ὁ ποιητής, φύλακας αὐτῷ συνέταξε· καὶ ὅρα, ὅτι διαφορὰν οἶδε Δαρδάνων καὶ Τρώων, ὡς καὶ ἐν τοῖς ἑξῆς πολλαχοῦ φανήσεται· ἢ φυλαδὸν διῃρημένων, ἢ κατὰ σειρὰν τὴν ἀπὸ Τρωὸς καὶ Δαρδάνου· ἀφ' οὗ καὶ Δαρδανία τόπος τις. — Φησὶ γοῦν ὁ Γεωγράφος (ΙΓ. σελ. 407. 28.), ὅτι μετ' Ἄβυδον Δαρδανὶς ἄκρα, καὶ πόλις Δάρδανος ἀπέχουσα ἑβδομήκοντα σταδίους τῆς Ἀβύδου· μεταξὺ δὲ ὁ Ῥόδιος ἐκπίπτει ποταμός. — Ὁ δ' αὐτὸς λέγει καὶ ὅτι παρώρεια Τροίας ὑπὸ τὸν Αἰνείαν, ἣν Δαρδανίαν ἐκάλουν. Ε.

Σ. 823. Ἀρχίλοχος] Ἀρχέλοχος. Β.

Σ. 824. Ὑπαὶ πόδα νείατον] Ὅ ἐστιν ἐν τῇ ἐσχάτῃ ὑπωρείᾳ τῆς Ἴδης· — ὅτι δὲ τοιοῦτος [ἴσως οὗτος] Λύκιος ὁ Πάνδαρος καὶ ὅτι Λυκία ὑπ' αὐτῷ ἦν, ἐν ᾗ Ζέλεια, δηλοῖ τό, οὐδέ τις ἐν Λυκίῃ σοῦ εὔχεται κρείττων εἶναι (Ε, 173.)· — ῥητέον οὖν ἐν ὀλίγῳ, ὅτι οὐ μόνον Ζελειῶται οἱ τοῦ

НБ ОНУ імені І.І. Мечникова

Πανδάρου, ἀλλὰ καὶ Τρῶες, ἤδη δὲ καὶ Λύκιοι. — Κεῖται δέ φασιν ἡ Ζέλεια ἐν παρωρείᾳ τῇ ὑστάτῃ τῆς Ἴδης κατὰ τὸ Ὁμηρικὸν, τὸ, ὑπὸ πόδα νείατον Ἴδης, — περιῤῥέει δ' αὐτὴν Τάρσιος ποταμός· — ἐκλήθη δὲ ἡ τῆς Τρῳάδος αὕτη Ζέλεια, κατὰ τὸν ἐθνικολόγον, ἀπὸ Ζελίου ἥρωος· ἐθνικὸν δέ φησιν αὐτῆς Ζελείτης καὶ Ζελειάτης· — καὶ ὁ Γεωγράφος (ΙΓ, σελ. 403, 13.) δέ φησιν, ὅτι Λύκιοι οἱ Τρωϊκοί, καὶ ἕτεροι πρὸς τῇ Καρίᾳ, περὶ ὧν ὑπόνοιά φησίν ἐστιν, ὡς τοὺς ἑτέρους ἀποικισάντων. Ε.

Σ. 825. Μέλαν] Μέλαν δὲ ὕδωρ τὸ τοῦ Αἰσήπου φησὶν, ἢ κατὰ κοινὸν ἐπίθετον, ἢ διὰ τὸ βαθύ· Καλλίμαχος δὲ παραφράσας ἑλικώτατον ὕδωρ Αἰσήπου φησίν. Ε.

Σ. 827. Τόξον] Τὸ τόξον, ἤγουν τὴν τοξείαν, ὅ ἐστι τὴν τοξικὴν ἐπιστήμην· προοικονομεῖ δὲ ἐν τούτῳ τὰ μετὰ ταῦτα ὁ ποιητὴς, ἵνα θαῤῥῶν ὁ Πάνδαρος τῷ θείῳ δώρῳ τολμήσῃ διοϊστεῦσαι κατὰ Μενελάου, καὶ οὕτω συγχεθῶσιν οἱ ὅρκοι ἐπὶ κακῷ τῶν Τρώων. Ἔθος δὲ ποιηταῖς ἱστορεῖν, τοὺς περί τινα τέχνην δεξιοὺς θεόθεν ἔχειν τὰ ὄργανα, — τὰς γὰρ εἰς ἄκρον φασὶν εὐεξίας θεοῖς ἀνατιθέασιν οἱ ποιηταί. Ε.

Σ. 828. Ἀδρήστειαν] Ἀδράστεια ὠνόμασται ἀπὸ Ἀδράστου ἀνδρὸς ἡρωϊκοῦ παλαιοῦ. — Περὶ ταύτης ὁ τῶν ἐθνικῶν γραφεὺς λέγει, ὅτι μεταξὺ Πριάπου καὶ Παρίου τοῦ κατὰ Προποντίδα, ἐν ᾧ βωμὸς θέας ἄξιος κατὰ τὸν Γεωγράφον (ΙΓ, σελ. 404, 51.), σταδιαίαις ἔχων πλευρὰς, Ἀδράστεια πόλις ἀπὸ Ἀδράστου βασιλέως, ὃς πρῶτος ἱδρύσατο Νεμέσεως ἱερόν· ἐκαλεῖτο δὲ καὶ ἡ χώρα Ἀδράστεια. — Ἀπαισοῦ] Ὄνομα βασιλέως, ἀφ' οὗ ἡ πόλις ὠνομάσθη Ἀπαισός. Σ.

Σ. 829. Πιτύειαν] Πιτύα ἡ Πιτύεια, ἐκ Πιτύων παρονομασθεῖσα· καὶ καθόλου φησὶν ὁ Γεωγράφος, ἡ νῦν Κυζικηνὴ, ἡ πρὸς Πριάπῳ (ΙΒ, σελ. 389, 16.). — Ἰστέον δὲ, ὅτι ἐκ τῶν Πιτύων οὐχ ἡ Πιτύα παρωνόμασται μόνον, ἀλλὰ καὶ νῆσοι διάφοροι Πιτυοῦσαι λεγόμεναι. Ε. — Τήρεια] Ὄρος Τροίας. Σ. — Ὁ δὲ Γεωγράφος τὴν Τήρειαν εἰς ὄρη Κυζικηνὰ τάσσει τῇ Ζηλείᾳ προσεχῆ, ἐν οἷς θήρα κατεσκευάσθη βασιλική. Ε.

Σ. 831. Περκωσίου] Ἤτοι ἀπὸ Περκώτης, πόλεως Τρῳάδος — περὶ πάντων, ἤτοι ἐπέκεινα πάντων τῶν ἐκεῖ ὁμοτέχνων. Ε.

Σ. 832. Οὐδὲ σῦς] Οὐδ' ἐῶς. Β.

НБ ОНУ імені І.І.Мечникова

Σ. 834. Κῆρες γάρ] Οἱ παλαιοὶ λέγουσιν ἐνταῦθα καὶ ὅτι οὐδὲν ἄρα ἡ μαντικὴ, μοίρας ἀντιταττομένης. Ε.

Σ. 835. Πράκτιον] Τὸν δὲ Πράκτιον ποταμὸν δέχεσθαι ὁ Γεωγράφος βούλεται, ῥέοντα μεταξὺ Ἀβύδου καὶ Λαμψάκου· πόλις γὰρ, φησιν, οὐχ εὑρίσκεται. Ε. (ΙΓ. σελ. 406. 24.)

Σ. 836. Σηστὸν καὶ Ἄβυδον] Κατὰ τὸν Γεωγράφον (ΙΓ. σελ. 406, 55.) διέχουσιν ἀλλήλων Σηστὸς καὶ Ἄβυδος τριάκοντά που σταδίους, ἀπὸ λιμένος εἰς λιμένα. — Ἀρίσβη δὲ εἰ καὶ ἀφανὲς ἀνωτέρω ἐῤῥέθη χωρίον, ἀλλ' ἦν ὅτε οὐ τοιοῦτον ἂν ἦν· ἔοικε γὰρ κατὰ τὸν Γεωγράφον (ΙΓ. σελ. 406. 17.) βασίλειον εἶναι αὕτη Ἀσίου, διὸ καὶ δῖαν Ἀρίσβην ὁ ποιητὴς ἔφη αὐτήν. Ε.

Σ. 839. Αἴθωνες] Αἴθωνες δὲ ἵπποι οἱ θερμοὶ ἢ μέλανες ἢ πυῤῥοὶ, ἀπὸ τοῦ αἴθω, τὸ καίω καὶ λάμπω. Ε.

Σ. 840. Φῦλα Πελασγῶν] Μέγα δὲ ἔθνος οἱ Πελασγοὶ κατὰ τὸν Γεωγράφον (Β. σελ. 152.). — Πλανῆται δὲ ἦσαν καὶ σποράδες πανταχοῦ τῆς γῆς. — Καὶ Πελασγικὸν δὲ πεδίον ἱστορεῖ ἐν Λαρίσσῃ τῇ Θετταλικῇ. — Λέγει δὲ καὶ ὅτι ᾠκήθη ποτὲ ὑπὸ Πελασγῶν ἡ τῶν Ἰώνων παραλία πᾶσα ἐκ Μυκάλης ἀρξαμένη· καὶ Χῖοι δὲ οἰκιστὰς ἔσχον Πελασγοὺς ἐκ Θετταλίας. — Καὶ Ἀργεῖοι δὲ ἦσαν Πελασγοί. — Φησὶ γοῦν ὁ αὐτὸς, ὅτι Ἀργείων ἀκρόπολιν ᾤκισε Δαναὸς, καὶ Πελασγιώτας ὠνομασμένους, Δαναοὺς ἐκάλεσε. — Κόμμα δὲ τοῦ τοιούτου ἔθνους καὶ οἱ ἐκ τῆς Λαρίσσης οὗτοι Πελασγοὶ, περὶ ἧς φασιν οἱ παλαιοὶ, ὅτι αὕτη νῦν συνῴκισται εἰς Ἀλεξάνδρειαν τὴν Τρῳάδα· — μάλιστα δ' ἂν περὶ τὴν Κύμην ὑπολάβοι τις ὀρθῶς τὴν τοιαύτην Λάρισσαν. — Ἰστέον δὲ, ὅτι ὁ τῶν ἐθνικῶν ἐπιλέκτης ἕνδεκα Λαρίσσας ἐξαριθμήσας, ὧν αἱ πλείους Εὐρωπαῖαι, οὐ Κυμαίαν λέγει Λάρισσαν τὴν Ὁμηρικὴν ταύτην, ἀλλὰ τὴν Τρῳαδικὴν, ἣν ὁ Γεωγράφος ἀπείπατο. Ε.

Σ. 845. Ἀγάῤῥοος] Σφοδρῶς ῥέων. Σ. — Ἐέργει] Τουτέστιν, εἴργει, συγκλείει, περιέχει. Τοῦτο δὲ προσέθηκε δι' ἑτέρους Θρᾷκας, ὧν ἦρχεν Ἰφιδάμας· ἔτι δὲ καὶ διὰ τοὺς ὑπὸ τὸν Ῥῆσον Θρᾷκας. — Ὁ Ἑλλήσποντος πορθμός ἐστι διείργων τὴν Θρᾴκην καὶ τὴν Τρῳάδα. Ε.

Σ. 847. Κεάδαο] Τὸ δὲ Κεάδαο, πατρωνυμικὸν τοῦ Τροιζήνου. Κέας γὰρ αὐτῷ πατήρ. Ε.

НБ ОНУ імені І.І.Мечникова

Σ. 848. Παίονας] Φασὶ δὲ τὰ σχόλια ἐνταῦθα, ὅτι Παίονες ὅμοροι Θρᾳξὶ, καὶ δοκεῖ καλὸν οὕτω νοεῖν· ἄλλως γὰρ ἀπορίαν πλείστην ἔχει ὁ περὶ Παιόνων ἐνταῦθα λόγος· — εἰ γὰρ κατὰ τὸν Γεωγράφον, Πηλίου καὶ Πηνειοῦ τῶν Θετταλικῶν πρὸς μεσογαῖαν παράκεινται Μακεδόνες μέχρι Παιονίας καὶ τῶν Ἠπειρωτικῶν ἐθνῶν, ἐκ δὲ Παιόνων συμμαχίαν ἐν Τροίᾳ εἶχον οἱ Ἕλληνες· δυσχερὲς νοῆσαι τοῖς Τρωσὶν ἐλθεῖν συμμαχίαν ἐκ τῶν ῥηθέντων πορρωτέρω Παιόνων· ὅμως μέντοι τινὲς καὶ τοῦτο γενέσθαι φασί· καὶ ἔστω εἰρημένον, ἐπεὶ βοηθεῖσθαι δοκεῖ καὶ ὑπὸ τοῦ ποιητοῦ εἰπόντος, Παίονας τούτους οὐκ ἐγγύθεν ποθὲν ἐλθεῖν, ἀλλὰ τηλόθεν· (Στράβ. Ζ. σελ. 228.) — Ἰστέον δὲ καὶ ὅτι Ἡρόδοτος (Ε, κεφ. 205.) οἶδε Παίονας καὶ περὶ τὸν Στρυμόνα. — Λέγει δὲ καὶ ὅτι Παιονία ἐπὶ Στρυμόνι ποταμῷ πεπολισμένη· εἰσὶ δὲ Τεύκρων τῶν ἐκ Τροίας ἄποικοι. — Σημειούμενοι δὲ οἱ παλαιοὶ καὶ ὅτι διττὸν τὸ τῶν Παιόνων ἔθνος, καὶ ὡς οἱ μὲν ὑπὸ τὸν Πυραίχμην Παίονες, τοξόται, οἱ δὲ περὶ τὸν Ἀστεροπαῖον, δολιχέγχεες· ἀγκυλότοξοι δὲ, οἱ χρώμενοι ἀγκύλοις, ἤγουν σκολιοῖς τόξοις· μάλιστα δὲ κατὰ τοὺς παλαιοὺς, ἀγκύλαις, ἔτι δὲ καὶ τόξοις· εἶδος δὲ ἀκοντίου ἡ ἀγκύλη. Ε.

Σ. 849. Ἐξ Ἀμυδῶνος] Ἀμυδὼν δὲ ἡ κατά τινας Ἀβυδὼν, πόλις Παιονίας, ἧς ὁ πολίτης, Ἀμυδώνιος, ὡς Καλυδώνιος. Ε.

Σ. 850. Κάλλιστον] Γονιμώτατον. Σ. — Φασὶ δὲ οἱ παλαιοὶ τὸ κάλλιστον ἐνταῦθα νοεῖν, ἀντὶ τοῦ ἁπλῶς καλόν. Ε. — Αἶα] Γῆ, ἢ ὥς τινες εἶπον, κρήνη, οὕτω λεγομένη, ἐκδιδοῦσα εἰς τὸν Ἄξιον ποταμόν. Σ. — Τὸ δὲ κίδναται νῦν μὲν δίχα τοῦ σ διὰ τὸ μέτρον. — Ἐν δὲ τῷ ἐπικίδναται αἴη, (Εὐστάθ.) ἢ αἶαν, διττῶς γὰρ ἡ γραφὴ, αἶάν τινες οὐ τὴν γῆν ἐνόησαν, ἀλλά τινα πηγήν. (Στράβ. Ζ, σελ. 228.) — Αἶαν. Β.

Σ. 851. Πυλαιμ. λάσιον κῆρ] Περιφραστικῶς ὁ Πυλαιμένης. Σ. (ἴδ. Α, 189.) — Παφλαγόνων] Παφλαγόνες, ἔθνος τοῦ Πόντου. Σ. — Ἀπὸ Παφλαγόνος ἐνδόξου ἀρχηγοῦ καλοῦνται. Ε.

Σ. 852. Ἐνετῶν] Ἐνετοὶ δὲ ἔθνος περὶ Παφλαγονίαν, ὅπου ἡμιόνων γένος ἐπενοήθη. — Ὁ Γεωγράφος δὲ λέγει (ΙΒ. σελ. 374.), ὅτι Ἐνετοὶ ἐν Παφλαγονίᾳ νῦν οὐ δείκνυνται· τινὲς δὲ κώμην φασὶ παραιγίαλον. Ε. — Ἀγροτεράων] Ἀγρίων καὶ δυσδαμάστων. Σ.

Σ. 853. Οἵ ῥα] Τουτέστι οἱ Παφλαγόνες· ἡ δὲ Κύτωρος,



НБОНУ імені І.І. Мечнікова

πόλις Παφλαγονίας, ἀπὸ Κυτώρου κληθεῖσα, παιδὸς Φρίξου· ἧς ἐθνικὸν Κυτωρεὺς, καὶ Κυτωρίτης καὶ Κυτώριος. — Σήσαμος] Σήσαμος δὲ κατὰ τὸν Γεωγράφον, (ΙΒ. σελ. 375, 29.) ἀκρόπολις Ἀμάστρεως. — Λέγεται δὲ οἰκῆσαι ταύτην ὁ τῆς παλαιᾶς ἱστορίας Φινεύς· Δίδυμος δὲ, φασὶ, καὶ νῆσον λέγει Σήσαμον. Ε.

Σ. 854. Παρθένιον] Παρθένιος ποταμὸς Παφλαγόνων, διὰ χωρίων ἀνθηρῶν φερόμενος, καὶ διὰ τοῦτο τοῦ ὀνόματος τετυχηκώς· ἕτεροι μέν τοι, διὰ πραότητα ῥεύματος Παρθένιον κληθῆναί φασιν· ἢ ὅτι ἡ παρθένος φασὶν Ἄρτεμις ἐν αὐτῷ ἐλούσατο. Ε.

Σ. 855. Κρῶμναν] Κρῶμνα δὲ, ἡ χωρίον Ἀμάστριδος κατὰ τὸν τὰ ἐθνικὰ γράψαντα, ἡ πόλις Παφλαγονίας, αὐτὴ ἡ νῦν Ἄμαστρις· ἐθνικὸν αὐτῆς τρυχῶς, Κρωμνίτης καὶ Κρωμναῖος καὶ Κρωμνιεύς. Ε. — Αἰγιαλόν] (Σχολ.) Πάντα τὸν παραθαλάσσιον τόπον τῆς Παφλαγονίας λέγει. Σ. — Αἰγίαλον] Ὁ δὲ Αἰγίαλος κατὰ μέν τινας προπαροξύνεται πρὸς διαστολὴν τοῦ ἁπλῶς αἰγιαλοῦ· ἀπό τινος Αἰγιάλου κυρίου ὀνόματος. — Τὸ ἐθνικὸν Αἰγιαλεὺς ἀπὸ τῆς Αἰγιάλου γενικῆς. — Οἱ δὲ πλείονες ὀξύνουσι καὶ τοῦτο, οἱ λέγουσι, ὅτι Αἰγιαλὸς προσεχὴς τῷ Πόντῳ, μετὰ τὴν Κάραμβιν ἄκραν. — Ἐρυθίνους] Ὄρη Παφλαγονίας ἢ Πόντου. Σ. — Ἐρυθῖνοι δὲ πόλις Παφλαγονίας καὶ αὐτή. — Ὁ δὲ Γεωγράφος φησὶν, ὅτι δύο εἰσὶ σκόπελοι οἱ νῦν Ἐρυθῖνοι· λέγεται δὲ οὕτως ἀπὸ τῆς χρόας. Ε. (ΙΒ, σελ. 375, 36.).

Σ. 856. Ἀλιζώνων] Ἐτυμολογία δὲ τῶν Ἀλιζώνων, τὸ γῆν οἰκεῖν ὑπὸ θαλάσσης ἐζωσμένην· εὐθεῖα δὲ αὐτῶν ἑνικὴ ὁ Ἀλίζωνος περὶ τούτων πλείστη παρὰ τοῖς παλαιοῖς ἀμφιβολία· διὸ καὶ Γεωγράφος δυσκολίαν πολλὴν εὑρὼν εἰς διάρθρωσιν τοῦ τοιούτου ἔθνους, καὶ εἰς γνώρισμα σαφὲς, λέγει, ὅτι ἀγνώτων τινῶν μέμνηται ὁ ποιητὴς, ὁποῖοι οἱ Καύκωνες, καὶ οἱ Σόλυμοι, καὶ οἱ Κήτειοι, καὶ οἱ Λέλεγες, καὶ οἱ ἐκ Θήβης τῆς Τρωϊκῆς, Κίλικες· οὕτω γοῦν καὶ Ἀλίζωνοι. Ε. (Στράβ. ΙΒ, σελ. 378, 44. ΙΔ, σελ. 466, 35.) — Ἀλιζώνων, ἔθνους τοῦ Πόντου· εἰσὶ δὲ οὗτοι Βοιωτοί· οὕς τινας Οἰνοπάς φασιν· οἱ δὲ ἔθνος Αἴα. Σ. (Αἰάκων. Σ. Β.). — Ὀδίος. Β.

Σ. 857. Ἀλύβης] Χωρίου Βιθυνίας. Σ. Τὸ δὲ ἐξ Ἀλύβης, ἐξ Ἀλύβων τινὲς γράφουσιν· ἕτεροι δὲ ἐκ Χαλύβων· ἄλλοι, ἐξ

НБ ОНУ імені І.І. Мечникова

Ἀλόπης· λέγει καὶ ὁ Γεωγράφος (ΙΒ, σελ. 378, 30. ΙΓ, σελ. 415, 29. ΙΔ, σελ. 466, 22.) ὅτι μετάπτωσις ὑπονοεῖται ὀνόματος ἐξ Ἀλύβων εἰς Χάλυβας· διὸ καὶ γράφει που, ὅτι τοὺς Χάλυβας ὁ ποιητὴς Ἀλιζώνους ἐκάλεσε, καὶ ὅτι ἐνεδέχετο ἐν Χάλυψιν ἀργύρια ὑπάρχειν ἄξια μνήμης ποτὲ καὶ ἔνδοξα, καθάπερ νῦν τὰ σιδήρια. — Καὶ τοῦτο ἐν τοῖς παλαιοῖς εὕρηται, Ἀλιζῶνες ἔθνος τοῦ Πόντου, ὅπου ὁ κάλλιστος ἄργυρος. Ε.

Σ. 858. Μυσῶν] Μυσοὺς δὲ ὁ ποιητὴς ἔοικε τοὺς ἐν τῇ Ἀσίᾳ λέγειν· οἷον τοὺς Ὀλυμπηνούς, ἢ ἑτέρους τινάς· ὅτι δὲ Μυσοὶ καὶ Εὐρωπαῖοί εἰσιν, οἵγε καὶ πέραν Ἴστρου ἦσαν, δηλοῦται ἀλλαχοῦ. Ε.

Σ. 859. Ἐρύσσατο] Τὸ δὲ ἐρύσατο, ἀντὶ τοῦ ἐφυλάξατο, ἐξέφυγεν, ἀπὸ τοῦ ἐρύω, τὸ φυλάσσω, ἢ κωλύω. Ε.

Σ. 861. Ἐν ποταμῷ] Ἐν τῇ παρὰ τὸν Ξάνθον ποταμὸν μάχῃ (Φ, 15.). Σ. — Κεράϊζε] Κατὰ κράτος ἠφάνιζε καὶ ἀνῄρη (ἴδ. ἀνῄρει). Εἴρηται δὲ ἀπὸ τῶν τοῖς κεράτοις μαχομένων ζώων. Σ. (ἴδ. Χ, 63.).

Σ. 862. Φρύγας] Τῆς μικρᾶς δέ φασι Φρυγίας ἦσαν οὗτοι, οὐ μὴν τῆς μεγάλης τῆς παρὰ τῷ Σαγγαρίῳ φασὶ ποταμῷ κειμένης. — Φασὶ δὲ οἱ παλαιοὶ καὶ ὅτι Ὅμηρος μὲν διαστέλλει Φρύγας καὶ Τρῶας· Αἰσχύλος δὲ καὶ οἱ νεώτεροι συγχέουσι. Ε.

Σ. 863. Ἀσκανίης] Ἀσκανία δὲ κατὰ μὲν τὸν ἐθνικογράφον, πόλις Τρωϊκή. — Ταύτην κτίσαι λέγεται ὁ Αἰνείου παῖς Ἀσκάνιος. Ὁ Γεωγράφος δὲ Φρυγιακὴν ἐνταῦθα νοεῖ Ἀσκανίαν· τὸ γὰρ τῆλε ἐξ Ἀσκανίης εἴρηταί φησιν, ὡς οὔσης ἐγγυτέρω ἄλλης Ἀσκανίας τῆς Μυσιακῆς, τῆς πρὸς τῇ νῦν Νικαίᾳ (Στράβ. ΙΒ. σελ. 388. 52.) Ε. — Πόλις Φρυγίας, καὶ λίμνη ὁμοίως. Σ. — Μέμασαν δ' ὑσμῖνι] Τὸ δὲ μέμασαν ὑσμῖνι μάχεσθαι ἐντελῶς ἔχει (ἴδ. στ. 542. 44.), ἀνομοίως δὲ ἔχει πρὸς τὸ θωρήσσοιτο μεμαῶτες ἐγχείαις· ἐκεῖ γὰρ ἐνδεὴς ἡ σύνταξις, λείπει γὰρ τὸ μάχεσθαι, ἤτοι τοιοῦτον. — Τὸ δὲ ὑσμῖνι ὤφειλε μὲν διὰ τοῦ η ἔχειν τὴν λήγουσαν, εὐθεῖα γὰρ ἡ ὑσμίνη· μετεπλάσθη δέ, ὡς καὶ τὸ Δωδῶνι, καὶ ἀλλὰ πεποιθῶς, καὶ τὰ τοιαῦτα. Ε.

Σ. 864. Μῄοσιν . . . ἡγησάσθην] Τουτέστιν τῶν Μῃόνων ἡγοῦντο. — Μῄονες δὲ λέγονται ἀπό τινος Μῄονος, ἢ Μαίονος. — Ὁ δὲ Γεωγράφος φησίν, ὅτι τοὺς Λυδοὺς Μῄονας ὁ

НБ ОНУ імені І.І. Мечникова

ποιητής φησιν, οἱ δὲ ὕστερον, Μαίονας· καὶ ὅτι οἴονταί τινες τὴν Μῃονίαν Ἀσίαν λέγεσθαι. — Ἄμεινον δὲ λέγειν τοὺς αὐτούς. Λέγει οὖν καὶ Ἡρόδοτος, ὅτι Μῄονες πρότερον καλούμενοι, Λυδοὶ ὕστερον ἐκλήθησαν ἀπὸ Λυδοῦ υἱοῦ Ἄτυος. (Βιβλ. Α. κεφ. 3.) Ε.

Σ. 865. Γυγαίη] Λίμνη Λυδίας, ὅπου καὶ Γυγαίης Ἀθηνᾶς ἱερόν. Σ. — Γυγαίη δὲ λίμνη τεκεῖν λέγεται Μέσθλην καὶ Ἄντιφον, ὅτι περὶ αὐτὴν στέργηθρόν τι, ὡς εἰκὸς, εἶχον, νηχόμενοι τυχὸν, ἢ καὶ ἰχθυώμενοι κατ᾽ αὐτήν· εἰκὸς δὲ καὶ τὴν σφῶν μητέρα περὶ αὐτὴν τὴν Γυγαίαν λίμνην ἐκτεκεῖν αὐτούς· ἢ ἐκεῖ που τὰ νυμφεῖα ἐκτελέσαι. Ἔστι δὲ, ὡς ὁ Γεωγράφος φησὶ, κατὰ τὴν Σαρδιανὴν (ΙΓ. σελ. 430. 47.) — Ἐκλήθη δὲ ὕστερόν φησι, Κολόη. — Τινὲς δὲ λέγουσι καὶ ὅτι ὥσπερ Νείλου τέκνα οἱ Αἰγύπτιοι, οὕτω καὶ λίμνης ταύτης, οἱ εἰρημένοι στρατηγοί. Ε. — Ταλαιμένεος. Β.

Σ. 866. Τμώλῳ] Τμῶλος δέ φησιν ὁ Γεωγράφος (ΙΓ. σελ. 430. 30.) ὄρος εὔδαιμον Λυδίας ὑπερκείμενον Σάρδεων, ἔχων σκοπὴν ἐν τῇ ἀκρωρείᾳ, ἐξέδραν λευκοῦ λίθου· Περσῶν ἔργον. Σκοπὴν δὲ λέγει τὴν κοινῶς λεγομένην Βίγλαν· ὅθεν κατοπτεύεταί φησι, τὰ κύκλῳ πεδία· ῥεῖ δὲ ἀπὸ τοῦ ῥηθέντος Τμώλου ὁ Πακτωλὸς, καταφέρων φησὶ τὸ παλαιὸν, ψῆγμα χρυσοῦ πολύ· ἀφ᾽ οὗ ὁ Κροίσου πλοῦτος. Νῦν δὲ ἐκλέλοιπε τὸ ψῆγμα, ὥσπερ καὶ τὸ τῶν Ἀστύρων. Ε.

Σ. 867. Νάστης αὖ Καρῶν] Πολεμισταὶ οἱ Κάρες· ὧν τὸ ἐθνικὸν ὁμώνυμόν φασι τῷ οἰκιστῇ· τὸ δὲ θηλυκὸν αὐτῶν ἐθνικὸν, κατὰ τέχνην, Καῖρα. — Ὁ δὲ Γεωγράφος παρασημειοῦται (ΙΔ. σελ. 455. 9.), ὅτι ἐκ τοσούτων ἐθνῶν μόνους τοὺς Κᾶρας βαρβαροφώνους ὁ ποιητὴς εἶπεν· αἰτιολογῶν δὲ αὐτὸς τὴν τοιαύτην κλῆσιν, λέγει, ὡς ἐν ἐπιτόμῳ εἰπεῖν τὰ τοῦ σοφοῦ πολλὰ, ὅτι τὸ βάρβαρον ἐξεφωνήθη τὰς ἀρχὰς, ἐπὶ τῶν δυσεκφόρως καὶ σκληρῶς καὶ τραχέως λαλούντων. — Τῶν γοῦν τραχυστομούντων ἐντεῦθεν βαρβάρων λεγομένων, ἐπειδὴ καθ᾽ ὅλην οἱ Κᾶρες ἐπλανήθησαν τὴν Ἑλλάδα μισθοῦ στρατεύοντες καὶ ἠγνωρίσθησαν, πυκνὸν ἦν ἐπ᾽ αὐτοῖς τὸ βαρβαρόφωνον, καὶ βαρβαρίζειν ἐκεῖθεν ἐλέγετο τὸ οἷον Καρίζειν. Ἐντεῦθεν δέ φησι κατεχρησάμεθα ἐθνικῷ κοινῷ ὀνόματι, ἀντιδιαιροῦντες βαρβάρους πρὸς Ἕλληνας, οὐκέτι διὰ παχυστομίαν ἢ τραχυστομίαν, καὶ ἀφυΐαν φωνητικῶν ὀργάνων· ἀλλὰ κατὰ

НБ ОНУ імені І.І.Мечникова

διαλέκτων ἀνομοιότητα· πρώην δὲ οὐκ ἦν τοῦτο. Ε. — Βαρ-
βαροφώνων] Ἀγριοφώνων, καὶ τὴν Ἑλλάδα φωνὴν ἠχρηστω-
κότων· ὅτι τὰ μὲν ἀῤῥενικὰ θηλυκῶς ἔλεγον, τὰ δὲ θηλυκὰ
ἀῤῥενικῶς. Σ. — Ὅτι Κρητῶν ἄποικοι ὄντες ἐκρήτωσαν τὴν
Ἑλληνίδα φωνήν — ἤ, ὅτι μεγαλόφωνοι ὑπῆρχον. Σ.

Σ. 868. Μίλητον] Μίλητος δὲ ἡ Καρικὴ αὕτη. Ε. — Φθει-
ρῶν ὄρος] Τῆς Καρίας περὶ Μίλητον, διὰ τὸ πολλὰς ἔχειν
πίτυς· οἱ γὰρ τόποι τῶν πιτύων Φθεῖραι προσαγορεύονται· οἱ
δὲ ὅτι τὰ τῶν πιτύων μικρὰ στρόβιλια οὕτως λέγονται, ἃ καὶ
Πιτυοκάμπας φασίν· ἢ ἀπὸ Φθείρωνος, τοῦ Ἐνδυμίωνος· ἢ ὅτι
τὰ ἐξανθήματα τῶν πιτύων ὅμοιά εἰσι φθειρσίν. Σ. — Ἀκριτό-
φυλλον] Ἀκριτόφυλλον δὲ ὄρος, τὸ πολύφυλλον, οὕτω καὶ Θερ-
σίτης ἀκριτόμυθος, ὡς πολύμυθος Ε. — Φθιρῶν. Β.

Σ. 869. Μαιάνδρου] Μαίανδρος, ποταμὸς ἀρχόμενος ἀπὸ Φρυ-
γίας, ῥέων δὲ διὰ Καρίας εἰς θάλασσαν, πλησίον Μιλήτου.
Μυκάλη, ὄρος Πριήνης ἀντικρὺ Σάμου τῆς νήσου. Σ. — Ἔστι
δὲ καὶ πόλις Καρίας Μυκάλη. Ε.

Σ. 872. Χρυσὸν] Χρυσοῦν κόσμον Δ. Γυναικίας οὖν ἦν τις
καὶ μαλακός. Ε.

Σ. 876. Λυκίων] Λυκία δὲ χώρα καὶ Λύκιοι τὸ ἔθνος, ἀπὸ Λύκου
υἱοῦ Πανδίονος ὃν ἐκπεσόντα τῆς οἰκείας, ὁ ἐκ τῆς Κρήτης Σαρ-
πηδὼν ἐδέξατό φασιν ἐπὶ μέρει τῆς ἀρχῆς. — Ἰστέον δὲ ὅτι Σαρ-
πηδὼν μὲν οὗτος ὁ Λύκιος, Διὸς υἱὸς καὶ Λαοδαμείας τῆς τοῦ Βελ-
λεροφόντου· ὁ δὲ ἀνωτέρω ῥηθεὶς Κρητικὸς, ἀδελφὸς ἦν Μίνω καὶ
Ῥαδαμάνθυος, ᾧ Μίλητον συνέκτισαν κατὰ τὸν Γεωγράφον
(ΙΔ, σελ. 436.) προσληφθέντες νησιῶται Κᾶρες καὶ Λέλεγες
ὁμώνυμον τῇ Κρητικῇ Μιλήτῳ, ἣν εἶχε καὶ ὁ Κρητικὸς κατά-
λογος. Ε. (στ. 647.).

Σ. 877. Τηλόθεν] Τὸ δὲ τηλόθεν πρὸς διαστολὴν εἴρηται
τῶν ἐγγυτάτω τῆς Τροίας Λυκίων· ὧν ἦρχε Πάνδαρος, οἳ καὶ
Τρῶες ἐκαλοῦντο καὶ Ζελειῶται. — Ξάνθου] Ξάνθος δὲ οὐ μό-
νον ποταμὸς Λυκίας, ἀλλὰ καὶ πόλις· παρ' ἣ Ξάνθος φασὶν
ἔξεισι ποταμός· ὠνομάσθη δὲ ἀπὸ Ξάνθου Αἰγυπτίου, ἢ Κρητὸς,
οἰκιστοῦ. Ε. — Δινήεντος] Δίνας καὶ συστροφὰς ποιοῦντας. Δ.

НБ ОНУ імені І.І. Мечникова

# ΣΧΟΛΙΑ

## ΕΙΣ ΤΗΝ

# ΤΟΥ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ.

## ῬΑΨΩΙΔΙΑ, Ἡ ΓΡΑΜΜΑ Γ.

Σ. 1. Ἀμ' ἡγεμόνεσσιν] Ὑπὸ τῶν ἡγεμόνων, ἢ σὺν τοῖς ἡγεμόσιν· ἕκαστοι δὲ ἔν τε τοῖς Ἕλλησι δηλαδὴ καὶ βαρβάροις κατὰ ἔθνη καὶ πόλεις. Σ. — Ἐνταῦθα τὴν εἰς τὸν πόλεμον τῶν Τρώων ἀποβούλευτον, ὡς ἐδηλώθη, καὶ διὰ τοῦτο οὐκ εὔκοσμον πρόοδον ὑποδηλῶν μετὰ κλαγγῆς, ἤτοι ἀνάρθρου θορύβου προϊέναι εἰς μάχην φησὶν αὐτούς. Ε.

Σ. 2. Κλαγγῇ] Προσληπτέον τὸ σύν. Σ. — Ἐνοπῇ] Ἐνοπὴ δὲ οὐχ ἁπλῶς ἡ φωνή· ἐκείνην γὰρ ὄπα λέγει, εὔκοσμον οὖσαν, — ἀλλ' ἔστιν ἐνοπὴ ἡ ταραχώδης βοή· ἣν ποτε καὶ φύλοπιν ἂν εἴπη τις. — Οὐκ ἔστιν δὲ ἐναντία τὸ ἐκοσμήθησαν καὶ τὸ κλαγγῇ ἐπορεύοντο· ἡ μὲν γὰρ ἄθροισις καὶ ἡ στάσις καὶ ἡ τῶν φυλῶν διάκρισις καὶ τοῖς Τρωσὶν εὐκόσμως εἶχεν, ἡ δὲ κίνησις οὐκ ἀθορύβως ἐγίνετο. Ε. — Ἐν ἀσήμῳ φωνῇ.

Σ. 3. Οὐρανόθι πρό] Φασὶν οἱ παλαιοὶ, οὐρανὸν ἐνταῦθα λέγεσθαι τὸν ὑπὸ τὰ νέφη τόπον. Ε. — Ὅ ἐστιν ἐν τῷ ἀέρι. Σ.

Σ. 4. Ἀθέσφατον] Ὅ ἐστι πάμπολυν ὄμβρον. — Τὸν χειμῶνα φεύγει, ἤτοι τὴν χειμερινὴν κατάστασιν, ἢ τὰ τῆς Θράκης χειμέρια, εἴς τε ἄλλους τῶν θερμοτέρων τόπων ἐκδημεῖ, καὶ εἰς Ὠκεανὸν δὲ πέτεται τὸν νότιον· περὶ ὃν μυθεύεται καὶ τοὺς Πυγμαίους εἶναι κατὰ δὲ Ἀριστοτέλην εἰπεῖν, αἱ

γέρανοι μεταβάλλουσιν ἐκ τῶν ἐσχάτων εἰς τὰ ἔσχατα, ἤγουν
ἐκ τῶν Σκυθικῶν πεδίων εἰς τὰ ἕλη, ὅθεν ὁ Νεῖλος ῥεῖ. —
Ἀρέσκει δὲ καὶ Ἀριστοτέλει, μὴ μῦθον εἶναι τὰ κατὰ τοὺς
Πυγμαίους· λέγει γὰρ ὅτι περί που τὰ ἕλη, τὰ ἄνω τῆς Αἰ-
γύπτου, ὅθεν ὁ Νεῖλος ῥέει, ἔστι κατὰ ἀλήθειαν γόνος τοιοῦ-
τος μικροὶ καὶ αὐτοὶ καὶ οἱ ἵπποι· εἰσὶ δέ φασι Τρωγλοδύται
τὸν βίον. — Ὁ δὲ Γεωγράφος (Β, σελ. 48. 36.) πενταστι-
θάμους καὶ τρισπιθάμους ἀνθρώπους ἱστορῶν, πόλεμον πρὸς
τοὺς τρισπιθάμους εἶναι ταῖς γεράνοις φασίν. — Ὅτι δὲ καὶ
Βόρειοι Πυγμαῖοι περί που τὰ τῆς Θούλης ἀντιπέραια, ἔνθα
τὰ Ἰγλικά· βραχύσωμοι καὶ αὐτοὶ καὶ ὀλιγοχρόνιοι εἰς τὸ
παντελές· βέλεσι χρώμενοι λεχθυνομένοις (Ἀνάγνωθ. λεπτυνομ.)
ὡς εἰς βελόνην, περιᾴδεται· καὶ εἰσὶν, οἳ βεβαιοῦνται, ἀνθρω-
πάρια τοιαῦτα ἰδεῖν· αἱ μέν τοι Πιθηκοῦσσαι νῆσοι οὐ τοιούς
δέ τινας ἔχουσιν, ἀλλ' ἑτεροῖα περιφέρονται. Ε. — Ἔστι δὲ
ἔθνος γεωργικὸν, ἀνθρώπων μικρῶν, κατοικούντων εἰς τὰ ἀνω-
τάτω μέρη τῆς Αἰγυπτιακῆς γῆς, πλησίον τοῦ Ὠκεανοῦ, ὅπερ
πολεμεῖ ταῖς γεράνοις, φασὶ, βλαπτούσαις αὐτῶν τὰ σπέρμα-
τα, καὶ λιμὸν ποιούσαις τῇ χώρᾳ. Σ. (Ἴδ. Στράβ. Α.
σελ. 24. Βιβλ. 3. ΙΖ, σελ. 565.).

Σ. 7. Ἠέριαι] Ἴδ. Λ, 497. — Ἐαριναί] Ὀρθριναί. — Ἡ
διὰ τοῦ ἀέρος πετόμεναι. Ε.

Σ. 8. Ἴσαν σιγῇ] Ἐπαινῶν τὸ τῶν Ἀχαιῶν εὔκοσμον,
φασὶν, οἱ δ' ἄρ' ἴσαν κ. τ. λ. — Καὶ τῷ ὄντι ἐπαινετέοι εἰ-
σὶν, εἰ τῶν Τρώων κλαζόντων, αὐτοὶ σιγῇ ᾔεσαν· πλὴν οὐ
κατεπτηχότες, (ἐμποιεῖ γάρ ποτε καὶ τὸ δέος σιγήν·) ἀλλὰ
μένεα πνέοντες, κ. τ. λ. — Σιγῶντες δὲ, ὡς ἂν ἐπιταττόντων
ἔχοιεν ἀκούειν τῶν ἡγεμόνων· — ταῦτά εἰσι τὸ μένεα πνέοντες,
καὶ τὸ θυμῷ μεμαῶτες. Ε.

Σ. 10. Νότος] Τὸν νότον γεννητικὸν ὁμίχλης φησὶ, φυσι-
κῶς λέγων· διαγράφει δὲ καὶ τὴν αὐτῆς πύκνωσιν, λέγων το-
σοῦτον διϊκνεῖσθαι τὴν ὄψιν, διὰ τοῦ πάνυ ὁμιχλώδους ἀέρος,
εἰς ὅσον ἂν ἀφίκοιτο λίθου βολή. Ε. — Ὁμίχλην] Τῇ ὁμίχλῃ
ἀπεικάζει τὸν ἐν τῷ θέρει γῆθεν αἰρόμενον ἢ καὶ ὀρνύμενον
κονίσσαλον, προσφυῶς τῷ πράγματι διὰ τὴν ὁμοιότητα. Ε.

Σ. 13. Κονίσσαλος ὤρνυτ'] Τὸ δὲ κονίσσαλος ὤρνυτο, ἡ
ἁπλότης ἐστὶ τοῦ συνθέτου κονιορτοῦ. — Ἀέλλης δὲ κονίσα-
λος, ὁ συνεστραμμένος δίκην ἀέλλης. Ε. (ἴδ. Π, 775.)

НБОНУ імені І.І. Мечникова

Σ. 14. Διέπρησσον] Κυρίως διαπρήσσειν ἐπὶ θαλάσσης τὸ διαπερᾶν· νῦν δὲ καταχρηστικῶς φησὶ, τὸ διέπρησσον πεδίοιο, ἤγουν διὰ τῆς πεδιάδος ἤρχοντο οἱ Ἀχαιοί. Ε.

Σ. 16. Προμάχιζεν] Ἀντὶ τοῦ, τῶν Τρώων. Σ. — Ἀλέξανδρος θεοειδής] Σημείωσαι, ὡς οὐ σκωπτικῶς ὁ ποιητὴς, ἀλλ' αὐτὸς μὲν ἐπαινῶν θεοειδῆ τὸν Ἀλέξανδρον λέγει, ἀφ' ὧν ἔχει καλῶν· τὰ δὲ ψογερὰ τὸ, Δύσπαρι, εἶδος ἄριστε καὶ τὰ ἑξῆς (στ. 39.), οὐχ ὁ ποιητὴς, ἀλλ' ὁ Ἕκτωρ τοῦ ἀδελφοῦ κατέλεξεν. Ε. — Τὸ δίκαιον νομοθετεῖ· οἱ γὰρ αἴτιοι προασπίζουσιν· ἐγείρει τε τὸν ἀκροατὴν, προκινδυνεύοντα εἰσάγων τὸν πλείστων κινδύνων ἑτέροις αἴτιον. — Ἐπαινεῖ δὲ αὐτοῦ τὴν μορφὴν, ἵνα καὶ ἐπὶ τῶν ψεκτῶν νομίζηται ἀληθεύειν, εἶτα καὶ μεῖζον κατασκευάζηται τὸ μῖσος, εἰ τοιοῦτος ὢν, τὴν μορφὴν καταισχύνει. Σ. Β.

Σ. 17. Παρδαλέην] Ἔστι δὲ παρδαλέη δορὰ παρδάλεως, ὥσπερ καὶ λεοντέη, ἡ τοῦ λέοντος, κατὰ ἔλλειψιν τοῦ δορά· καὶ λυκέη, ἡ τοῦ λύκου· καὶ τραγέη, ἡ τοῦ τράγου. Ἰστέον δὲ, ὅτι παρ' Ἡροδότῳ κεῖται καὶ ἀνθρωπείη, ἡ τοῦ ἀνθρώπου δορά. Ἰστέον δὲ καὶ, ὅτι παροιμιωδῶς παρὰ τοῖς ὕστερον παρδαλέην ἐνεῖσθαι λέγεται ὁ ποικίλος τὸν τρόπον καὶ οἷον πολύστικτος τὸ ἦθος κατὰ τὴν πάρδαλιν· ὥσπερ καὶ ἀλωπεκῆν, ὁ κερδαλέος καὶ δόλιος κατὰ τὴν κερδώ· καὶ λυκέην, ὁ ὕπουλος ἅρπαξ. Ε.

Σ. 19. Προκαλίζετο] Τῇ φαντασίᾳ, οὐ τῷ λόγῳ· αὐτὸς γὰρ, φησι, ἐφέλκεται ἄνδρα σίδηρος· κραδαίνων τοίνυν τὸ δόρυ, προεκαλεῖτο τοὺς τῶν Ἀργείων ἀρίστους εἰς μάχην· ἢ τοὺς ἀρίστους τῶν Τρώων προετρέπετο κατὰ τῶν Ἑλλήνων. — Ἦθος δὲ θρασυδείλων κωμῳδεῖ διὰ Πάριδος· — καὶ τὸ μὲν προπετὲς ἐν ἐπαγγέλματι, τὸ δὲ δειλὸν ἐν πράξει, τὸ δὲ ἐπονείδιστον ἐν τέλει. Σ. Β. — Τὸ δὲ δύω δόρατα πάλλειν καὶ ἀμφοτεροδέξιον τὸν Ἀλέξανδρον ὑποβάλλει νοεῖν. Ε.

Σ. 23. Ἐπὶ σώματι κύρσας] Ἐπικύρσας, ἤγουν συγκυρήσας, καὶ κατὰ συγκυρίαν ἤτοι κατὰ τύχην εὑρὼν οἷά τι ἕρμαιον. — Πάνυ θαυμασίως ὁ μὲν Ἀλέξανδρος πτοιαλέοις εἴκασται ζώοις φεύγειν ἑτοίμοις· Μενέλαος δὲ λέοντι, καὶ αὐτῷ πεινῶντι· χαλεπὸς γάρ φασι λέων πεινῶν, ὅσον ἥμερος βεβρωκώς. Ε. — Μεγάλῳ κύρῳ ἐπιτυχών· νεκροῦ γάρ φασι σώματος μὴ ἅπτεσθαι λέοντα. Σ.

НБ ОНУ імені І.І. Мечникова

Σ. 24. Ἔλαφον κεραόν] Ἔστι δὲ κεραὸς ἔλαφος ὁ ἤδη τέλειος καὶ μηκέτι νεβρός. Ε.

Σ. 28. Ἀλειτήν] Ἁμαρτωλὸν, ἐχθρόν. Σ. — Τίσεσθαι. Β.

Σ. 33. Παλίνορσος] Τὸ παλίνορσος ταὐτόν ἐστι τῷ ἀψοῤῥος·
Σ. 33. ὀπισθόρμητος ὑπεχώρησεν.
πάλιν δὲ καὶ ἄψ, τὸ ὀπίσω. Ε.

Σ. 34. Ἐν Βήσσης] Ταῖς γονιμωτάταις καὶ βασιμωτάταις τόποις τῶν ὀρῶν.

Σ. 35. Παρειάς] Ἀρίσταρχος δέ φησιν, γράφει παρειά· οὐδετέρως καὶ ὀξυτόνως. Ε. — Παρειά. Β.

Σ. 39. Δύσπαρι] Ἕκτορι τῷ γνησίῳ ἀδελφῷ τὰ τῆς ὕβρεως
ἀνατίθησιν· ὃς καὶ εἶχε παῤῥησιάζεσθαι κατὰ τοῦ Πάριδος·—
ὅτι πολὺ τὸ γοργὸν καὶ σφοδρὸν ἐνταῦθα λαλοῦντι τῷ Ἕκτορι· καὶ τῷ ὄντι ἔμψυχος αὐτῷ ἡ ὁμιλία πᾶσα, κατὰ ἐνδιάθετον σφοδρότητα· πάνυ τε γάρ ἐστι πολυσχήμων καὶ συχνὰ,
τὰ πολλὰ δὲ καὶ κατὰ κόμμα μεταβαίνει ἀπὸ νοήματος ἄλλου
εἰς ἄλλο· διά τε ὀργὴν, καὶ ὅτι οὐδὲ ἔχει καιρὸν ἀποτάδην
λαλεῖν. — Τὸ δὲ Δύσπαρι Εὐριπίδης Αἰνόπαρί φησιν ὡς καὶ τὴν
Ἑλένην Δυσελένην (Ὀρέστ. 1389.) καὶ σημείωσαι, ὅτι σύνηθες
τοῖς παθαινομένοις, καὶ κατὰ κυρίων ὀνομάτων χωρεῖν, κἂν
μὴ εἶεν δυσώνυμα· τί γὰρ χρήσιμον εἰς ψόγον, ἄλλως τὸ
Δύσπαρις, εἰ μὴ, ὅτι ἐπὶ κακῷ καὶ ἐγεννήθη καὶ ἐκλήθη Πάρις· οὕτω καὶ Ἑλένη (ἴσως Πηνελόπη) τὴν Ἴλιον Κακοΐλιον
καλεῖ, οὐχ ὅτι δύσφημον, ἢ δυσοιώνιστον τοὔνομα, ἀλλ' ὅτι
φησὶν ἐμοὶ οὐκ ὀνομαστέα (Ὀδυσσ. Τ. 260.)· ἀφελεῖς δὲ καὶ γλυκεῖαι καὶ σώφρονες αἱ τοιαῦται ὕβρεις, καὶ οὐ πάνυ πικραί·—
ἔχει δέ τι καὶ ἀντιθετικὸν τὸ Δύσπαρι μετὰ τοῦ, εἶδος ἄριστε· μονονουχὶ γάρ φησιν, ὡς ἄλλως μὲν κακὲ, καλὲ δὲ ἰδεῖν,
οἷα καὶ θεοειδὴς ὤν. — Γυναιμανὲς] Ὁ δὲ γυναιμανὴς, ἢ ἐκ
τοῦ γυναικομανὴς συγκέκοπται, ἢ ἐκ τοῦ γυνομανὴς γίνεται. — Δῆλον δὲ, ὅτι ὁ ἄκρατος ἔρως μανίᾳ ἔοικε· διὸ τὸν
τοῦτο πάσχοντα γυναιμανῆ λέγει, ὁμοίως τῷ ἱππομανὴς,
χρυσομανής. Ε. — Ἐπὶ γυναιξὶ μαινόμενε. — Ἠπεροπευτά] Ὁ
ἐστιν ἀπατεών· ὅπερ κατὰ τοὺς παλαιοὺς γίνεται ἐκ τοῦ ἡμερος καὶ τοῦ ὄψ, ὀπὸς, ἡ φωνή· ἵνα ᾖ ἠπεροπευτὴς, οἱονεὶ ἡμεροπευτὴς, ὁ διὰ ἡμέρου ὀπὸς ὑπαγόμενός τινα αἱμυλώτερον.
Ε. (Ἴδ. Δ, 349.)

Σ. 40. Ὄφελες ἄγονός τ' ἔμεναι] Τὸ δὲ ὄφελες ἄγονός τε
εἶναι κ. τ. λ. οἰκεῖον μὲν ἐπιφώνημα ἀνθρώπῳ φαύλῳ, καὶ ἐπὶ

НБ ОНУ імені І.І. Мечникова

κακῷ κοινῷ καὶ γεννηθέντι καὶ γεγαμηκότι· εὐχὴ δέ ἐστιν ἀδυνάτως ἔχουσα τελεσθῆναι, ὁποῖα πολλὰ εὔχονται οἱ ὀργιζόμενοι. — Ἄγονος δὲ κοινότερον μὲν ὁ μὴ γεννῶν, νῦν δὲ ἄλλως ὁ μὴ γεννηθείς. Ε. — Μὴ γεγενῆσθαι, ἢ γεννηθεὶς πρὸ γάμου ἀπολέσθαι. Σ.

Σ. 42. Ἐπόψιον] Ὁ δὲ ὑπόψιος (Εὐσταθ.) ἢ τὸν ἐπονείδιστον δηλοῖ καὶ ὕποπτον, ὅν τινες ὑποβλέπονται ὑπόδρα ὁρῶντες διὰ τὸ μῖσος, ἢ τὸν τοὺς ἄλλους ὑποβλεπόμενον διὰ δειλίαν· τινὲς δὲ γράφουσιν, ἐπόψιον, τὸν ἐν ὄψεσι πάντων ἀσχημόνως φυγόντα· κυρίως μέν τοι ἐπόψιον ἐπὶ τόπου λέγεται ὑψηλοῦ. Ε. — ἢ οὕτω εἰς ὕβρεις καὶ βλάβας εἶναί σε, καὶ τῶν λοιπῶν ἔμπροσθεν πάντων. Ἀρτιφανής, ἢ φανερὸς ἐπὶ κακῷ. Ἐτυμ. Μ. ὑπόψιος — ὑπόψιον. Β.

Σ. 43. Καγχαλόωσι] Χαίρουσιν, ὅ ἐστιν, ἐν χαλάματι (ἀναγνωθ. χαλάσματι) ποιοῦσι τὴν ψυχήν. Σ. (ἰδ. Ἐτυμ. Μ. καγχαλόωσι).

Σ. 45. Βίη φρεσὶν] Βίαν δὲ φρενῶν τὴν φρόνησιν λέγει· ὅτε μέντοι συνθέτως ἐκ φρενῶν καὶ ἀλκῆς ὁ ἀλκίφρων ῥηθείη, τότε συντομίας λόγῳ ἡ λέξις· τὸν καὶ ἀνδρεῖον καὶ φρόνιμον ὑποδηλοῖ. Ε. — Δύναμις τῆς διανοίας.

Σ. 46. Ἦ τοιός δε] Ὅρα τὸ ῥηθὲν καίριον, ἀσύνδετον σχῆμα θυμῷ καὶ ἀγωνίᾳ πρέπον, καὶ πάνυ σφοδρόν, κατά τε τὰς ἐννοίας καὶ τὰ κομματικὰ σχήματα, καὶ τὸν τῆς ἐρωτήσεως ἔλεγχον, τὸ ἄρα τοιός δ' ἐὼν — ἐπιπλώσας, — ἀγείρας — μιχθείς· — τέσσαρας γὰρ ἀσυνδέτους ἔφη (ἴσως ἔθη) μετοχάς, γοργῶς τὸν λόγον μεταχειρισάμενος· οὕτω καὶ πρὸ ὀλίγου (στ. 23.) ἔφη ἐν τῷ, μεγάλῳ ἐπὶ σώματι κύρσας· εὑρὼν — πεινάων. — συνεπιτρέχοντος οἷον τοῦ ποιητοῦ τῇ σπουδῇ τοῦ λέοντος. — Τὸ δὲ τοιός δ' ἐὼν ἀνεκφάντως καὶ οἷον μυστικῶς λεχθὲν διὰ θυμικὴν γοργότητα, πολλὴν καί, ὡς εἰπεῖν, ἄρρητον ἐμφαίνει τοῦ Πάριδος οὐθένειαν· ὥσπερ τό, οἵου ἀνδρὸς ἔχεις παράκοιτιν, πολλὴν ἐκ τοῦ ἐναντίου ὑποδηλοῖ τοῦ Μενελάου καὶ ἀνέκφραστον περιφάνειαν· (στ. 53.). Ε.

Σ. 47. Ἑτάρους ἐρίηρας] Ἄγαν εὐαρμόστους, ἢ ἐπεράστους φίλους, τουτέστιν αὐτῷ ὁμοίους φίλους καὶ ἅρπαγας συναθροίσας. Σ.

Σ. 48. Εὐειδέ'] Σημείωσαι, ὅτι διαφοράν· ἔχει τὸ εὐειδὴς καὶ τὸ θεοειδής, εἴπερ ἀνδράσι μὲν τὸ θεοειδές, γυναιξὶ δὲ τὸ εὐειδὲς ἐπιλέγεται, καὶ ὅτι διαφέρετον κατὰ τοὺς παλαιοὺς

НБ ОНУ імені І.І. Мечникова

εὔμορφος καὶ εὐειδής· εὔμορφος μὲν γὰρ ὁ εὐπρόσωπος, εὐει-
δὴς δὲ, ἡ κατὰ πᾶν τὸ ἐκτὸς καλή, καὶ, ὡς εἰπεῖν, εὖ ἔχουσα
φυῆς· ὅπερ ἐστὶ περικαλλὴς ἐν συμμετρίᾳ μελῶν καὶ μερῶν. Ε.
Σ. 49. Ἐξ Ἀπίης γαίης] (ἴδ. Α, 30, 270.). — Νυόν] Νυὸς
δὲ ὄνομα συγγενικὸν, ὅ ἐστι νύμφη· δηλοῦν συμβολικῶς, οὕτω
μαχήσασθαι προθύμως τοὺς Ἀχαιοὺς ὑπὲρ Ἑλένης, ὡς ἀδελφοὺς
ὑπὲρ νύμφης· οἷα τῷ Μενελάῳ προσφερομένους ἀδελφικῶς διὰ τὸ
φιλάλληλον. Ε.
Σ. 54. Κίθαρις] Κίθαρις, ἡ μὲν τοῦ Πάριδος μωμητή, ἡ δὲ
τοῦ Ἀχιλλέως ἐπαινετὴ ἀείδουσα κλέα ἀνδρῶν (Ι, 189.), ὡς καὶ
ἡ Ὁμήρου ποίησις. — Δῶρ' Ἀφροδίτης] Διὰ τὸ ἐν αὐτοῖς ἐπα-
φρόδιτον. — Βελλεροφόντῃ μέντοι κατ' ἄμφω (φρόνησιν καὶ ἀλ-
κὴν) καλῷ ὄντι, οὐχ Ἀφροδίτη, ἀλλὰ Θεοὶ κάλλος καὶ ἠνορέην
ἔδωκαν. Ε. (Ζ, 156.).
Σ. 55. Ἥ τε κόμη] Ἰστέον, ὅτι πολλαχοῦ ἔστιν ἐκ τῶν
αὐτῶν καὶ ἔπαινον καὶ ψόγον σοφιστικῶς πορίζεσθαι· εἴγε καὶ
ἡ κόμη σεμνύνει μὲν τοὺς, ὡς ἐῤῥέθη, καρηκομόωντας Ἕλλη-
νας· εἰς ὕβριν δὲ τῷ Ἀλεξάνδρῳ ἐπανθεῖ· κομᾷν μὲν γὰρ, οὐ
γυναικεῖον, οὐδ' ἐξ ἀνάγκης ἐπαφρόδιτον· ὅτι μηδὲ λέων χαί-
την τρέφων, πρὸς μόνον κάλλος εὐθετίζεται, ἀλλὰ καὶ δι'
αὐτῆς ἐπαύξει τὸ φοβερόν· κόμην δὲ ἔχειν, καὶ εὔκομον εἶναι,
γυναικώτερόν ἐστι· διὸ καὶ Πάρις ὀνειδίζεται, ὡς κόμην ἔχων,
οὐ κατὰ τοὺς καρηκομόωντας Ἀχαιοὺς, οὐδὲ ὁποίαν ἔχοι ἂν
Ἀπόλλων ἀκερσεκόμης, ἀλλὰ ἠΰκομος γυνή. Ε. — Ἐν κονίῃσι
μιγείης] Ὅτ' ἂν ἀναιρεθῇς συστὰς εἰς μάχην τῷ Μενελάῳ· κό-
νιν γὰρ ἔλεγον καὶ τὴν μάχην οἱ παλαιοί. Σ. (ἴδ. Δ, 482.;
Π, 775.)
Σ. 56. Δειδήμονες] Ἐπὶ πᾶσιν ἐκ τῆς τῶν Τρώων ἐπιει-
κείας μεγεθύνων τὸ κακὸν τοῦ Πάριδος καὶ ἅμα καταδημαγω-
γῶν τοὺς ἀκροατὰς πολίτας, φησὶν, ἀλλὰ μάλα Τρῶες δει-
δήμονες, ἤτοι εὐλαβεῖς τὸ ἦθος. Ε. Δειλοί. Μεταφ.
Σ. 57. Λάϊνον χιτῶνα] Ἤγουν λίθινον ἂν ἐνεδέδυσο ἱμάτιον,
λίθοις [illegible] χωσθείς. — Ἰστέον δὲ, ὅτι συμβολικῶς καὶ ὡς
ἐν αἰνίγματι εἶπε τὸ λάϊνον ἕσσο χιτῶνα· τὸν γὰρ λιθασθέντα
ὥσπερ τι ἱμάτιον ἀμπέχει ὁ τῶν λίθων σωρός. — Καὶ τὸ ταφῆ-
ναι δέ τινα, γῆν ἂν ἐνδύσασθαι εἴποι τις. Ε. — Λιθόλευστος ἐγε-
γόνεις, λίθοις βληθεὶς ὑπὸ πάντων ἀπωλώλεις. Σ.
Σ. 59. Αἶσαν ἐνείκεσας] Συνετοῦ ἀνδρὸς, τὸ τὰς δικαίας

НБ ОНУ імені І.І. Мечникова

ἐπιτιμήσεις ῥᾴδιον φέρειν. — Ἄκρως δὲ αἴσιον τὸ τοῦ ἀδελφοῦ σκῶμμα ὁ Πάρις εἶναι φιλαλήθως δηλοῖ· οὐ μὴν πῇ μὲν κατ' αἶσαν, πῇ δὲ ὑπὲρ αἶσαν· ἵνα ἡ λοιδορία μέσως δῆθεν ἔχῃ, ὡς αἰσία καὶ μὴ αἰσία· κατὰ τὸ ἑκὼν ἀέκων καὶ τὰ τοιαῦτα· διὸ καὶ καταφατικῶς αὐτὸ καὶ ἀποφατικῶς ἐπήνεσε· τὸ δὲ ὑπὲρ αἶσαν ἐξαίσιον ἀλλαχοῦ λέγει ὁ ποιητής (Ο, 598.) — Ἡ γοῦν αἰσίως καὶ δικαίως, ὅπερ ἀλλαχοῦ κατὰ μοῖραν φησι (Α, 286.) Ε. — Κατὰ τὸ προσῆκον, οὐδ' ὑπὲρ τὸ προσῆκον. Σ.

Σ. 60. Κραδίη] Τὴν Ἕκτορος καρδίαν διὰ τὸ γενναῖον, καὶ, ὡς εἰπεῖν, ἀπότομον, καὶ ἀεὶ πρὸς πόνους ἀνένδοτον, καὶ ἀτάρβητον, καὶ ὅτι καὶ ἄλλοις αὔξει τὴν εἰς πόλεμον ὁρμὴν, ὡς πέλεκυν ἀτειρῆ τινα εἶναι λέγει παραβολικῶς ὁ Ἀλέξανδρος· δυσπαθῆ λαβὼν εἰκόνα, οὐκ ἀργὸν σίδηρον, ἀλλὰ δρῶντά τι· ἤτοι τέμνοντα ξύλον νήϊον. Ε. (ἴδ. Χ. 227.) — Ἀκαταπόνητος Σ.

Σ. 61. Ὅς τ' εἶσι διὰ δουρός] Ἤγουν, ὅστις δίεισι ξύλου. Ε. — Ὑπ' ἀνέρος] Προσληπτέον δὲ τὸ καταφερόμενος. Σ.

Σ. 62. Νήϊον ἐκτάμνῃσιν] Νήϊον δὲ ὑπόκειται ξύλον τέμνεσθαι, ἤγουν, ἐπιτήδειον εἰς νῆα. Ε. — Τὸ ναυπηγήσιμον ξύλον.

Σ. 63. Τοὶ] Σοί. Β.

Σ. 64. Ἐρατὰ] Τὸ δὲ ἐρατὰ δηλοῖ μὲν τὸ ἐρωτικὰ καὶ ἐράσμια· ἐπεὶ δὲ τὸ ἁπλῶς ἐρατὸν, ἅπασι δοκεῖ ἐρατὸν, λεληθότως πως ἅπτεται τοῦ ἀδελφοῦ, ὡς καὶ αὐτοῦ ἐφιεμένου ἂν τοιούτου εἶναι, ἤγουν καλοῦ, ὥσπερ τὰ εἰς ἀνδρείαν, οὕτω, καὶ τὰ εἰς εἶδος. Ε. — Δῶρα τὰ ἐπέραστα. — Χρυσέης Ἀφροδίτης] Χρυσῆ δὲ Ἀφροδίτη, ἡ χρυσοφόρος, ὡς καὶ χάλκεος Ἄρης, διὰ τὸ φόρημα, ἢ ἡ καλή. Ε. — Χρυσοφόρου, καλῆς· Ἑστιαία δὲ ἡ Γραμματική (Εὐσταθ. Ἱστιαία) φησιν, ὅτι πεδίον ἐςὶ χρυσοῦν καλούμενον, ἐν ᾧ χρυσῆν Ἀφροδίτην τιμᾶσθαι, καὶ εἶναι οὕτως χρυσῆς Ἀφροδίτης ἱερόν· καὶ οἱ μὲν ἀπὸ τῆς Πάφου, οἱ δὲ τὴν καλήν. Κλεάνθης δὲ καὶ ἐν Λέσβῳ οὕτω τιμᾶσθαι Ἀφροδίτην χρυσῆν. Σ.

Σ. 65. Ἀπόβλητα] Ἀποβολῆς ἄξια· τὰ ὑπὸ θεῶν, φησι, διδόμενα δῶρα οὐκ ἔστι μὲν ἀρνήσασθαι, ὅταν εἰσί· μὴ διδόμενα δὲ παρ' αὐτῶν ἀδύνατόν τινα λαβεῖν οἰκείᾳ σπουδῇ. Σ.

Σ. 66. Ἑκὼν] Μὴ θεοῦ δηλονότι διδόντος. Ε.

НБ ОНУ імені І.І. Мечникова

Σ. 67. Νῦν δ' αὖτ'] Νῦν αὖτ'. Β.
Σ. 70. Πᾶσι μάχεσθαι] Βαρβαρικὸν δὲ εἶναί φασιν οἱ πα-
λαιοὶ τὸ μονομαχεῖν· ὅπερ Ὅμηρος περιφράζων οἴους μάχε-
σθαί φησιν (στ. 91.) — Συμβαλεῖν δὲ μάχεσθαι λέγει τὸ
συνάψαι εἰς πόλεμον· ἐξ οὗ καὶ ἡ πολεμικὴ συμβολή. —
Κτήματα δὲ πάντα λέγει τὰ τῇ Ἑλένῃ συναρπαγέντα ἐξ
Ἑλλάδος. Ε.
Σ. 73. Ὅρκια] Τὸ δὲ ὅρκιον οὐχ ὑποκοριστικὸν, ἀλλὰ
παράγωγον, ὡς τὸ ἴχνιον. — Τὸ δὲ φιλότητα καὶ ὅρκια
ταμεῖν ἀντὶ τοῦ φιλίαν καὶ ὅρκους ποιῆσαι διὰ ἐντόμων,
ἤγουν θυσιῶν. — Ἴωνες δὲ οὕτω λαλοῦσι. Ε. — Διὰ θυσιῶν
ὀμνύειν. Ε.
Σ. 75. Ἄργος ἐς ἱππόβοτον] Φησὶ δὲ Ἑλλάνικος παῖδας
τρεῖς Φορωνέως γενέσθαι, οἳ τοῦ πατρὸς θανόντος διενείμαντο
τὴν Ἀργείαν. Καὶ ἡ μὲν πρὸς Ἐρασίνῳ τῷ ποταμῷ Πελα-
σγῷ ἔλαχε, τῷ καὶ τὴν ἐκεῖ Λάρισσαν κτίσαντι· Ἰάσῳ δὲ
τὰ πρὸς Ἦλιν. Ἀγήνωρ δὲ, ἀναλωθείσης τῆς γῆς, τὴν πα-
τρικὴν εἴληφεν ἵππον· ὅθεν ἐν ταὐτῷ χρόνῳ ὠνομάσθη τὸ
Ἄργος τριχῶς· Ἴασον, ὡς καὶ ἡ Ὀδύσσεια δηλοῖ (Σ, 245.),
Πελασγικὸν, καὶ Ἱππόβοτον. Τινὲς δὲ μετὰ θάνατον τῶν δύο
ἀδελφῶν ἐπιστρατεῦσαί φασι τὸν Ἀγήνορα, πολλὴν ἐπαγόμε-
νον ἵππον· ἀφ' ἧς κληθῆναι τὸ Ἄργος ἱππόβοτον. Τισὶ δὲ
τῶν παλαιῶν ἀρέσκει, Ἄργος ἱππόβοτον ἐνταῦθα τὴν Θεσ-
σαλίαν νοεῖν· Ἀχαιΐδα δὲ πᾶσαν τὴν τῶν Ἑλλήνων χώραν·
Ε. — Ἴασος καὶ Πελασγὸς Τριόπα παῖδες, τελευτήσαντος
αὐτοῖς τοῦ πατρὸς, διείλοντο τὴν βασιλείαν. Λαχὼν δὲ Πε-
λασγὸς μὲν τὰ πρὸς Ἐρασῖνον ποταμὸν, ἔκτισε Λάρισσαν·
Ἴασος δὲ τὰ πρὸς Ἦλιν. Τελευτησάντων δ' αὐτῶν, νεώτατος
ἀδελφὸς Ἀγήνωρ ἐπεστράτευσε τῇ χώρᾳ, πολλὴν ἵππον ἐπα-
γόμενος, ὅθεν ἐκλήθη Ἱππόβοτον μὲν τὸ Ἄργος ἀπὸ τῆς
Ἀγήνορος ἵππου, ἀπὸ δὲ Ἰάσου Ἴασον, καὶ Πελασγικὸν
ἀπὸ Πελασγοῦ· ἱστορεῖ Ἑλλάνικος ἐν Ἀργολικοῖς. Σ.
Σ. 76. Ἐχάρη μέγα] Αἴτιον δὲ, ὅτι ἢ νικᾷ τὸν Μενέ-
λαον ὁ Πάρις, ἢ πίπτει· καὶ ἀμφοτέρως πέρας ἔσχε τὰ τοῦ
πολέμου· καὶ ἄλλως δὲ, εἰ μὲν νικήσει Ἀλέξανδρος, σεμνὸν
τὸ πρᾶγμα· εἰ δὲ πέσῃ ἀκλεοῦς ὁ Ἕκτωρ ἀπαλλάττεται
ἀδελφοῦ· καὶ Ἀχαιοὶ δὲ καὶ Τρῶες ἐχάρησαν, ἐλπόμενοι
παύσασθαι πολέμου. — Καὶ σημείωσαι, ὅπως παρ' ἐλπίδα ὁ

НБ ОНУ імені І.І.Мечникова

ποιητὴς ἔγραψε, παρεισοδιάσας τὴν μονομαχίαν. Ὁ μὲν γὰρ ἀκροατὴς μέγαν εὐθὺς ἐλπίζει συῤῥαγῆναι πόλεμον, ὁ δὲ ἀποδύσας τοὺς Ἕλληνας, γυμνοὺς ὅπλων καθίζει, τὸ μὲν μεγαλεῖον τοῦ πολέμου ἐς ὕστερον ταμιευόμενος, νῦν δὲ ἀπροσδοκήτως ἀρτύων τὸ μονομάχιον, καὶ τὴν ἐπιθυμίαν ἀποπληρῶν τοῦ ἀκροατοῦ ἐφιεμένου μαθεῖν, ὡς εἰκὸς, ὁπότερος κρείττων, ὁ Πάρις ἢ ὁ Μενέλαος· ὅπερ διδάσκων ὁ ποιητὴς τὴν μονομαχίαν ἄρτι πλάττει· ἐν ᾗ πολλά τε ἄλλα ποιήσας καὶ τὸν Μενέλαον δὲ δείξας κρείσσονα, ἐπὶ τὰ ἑξῆς τοῦ πολέμου μεταβαίνει· ἐκ μικροῦ ἀρξάμενος εἶτα ἐπὶ μέγα προβάς. Ε.

Σ. 78. Ἱδρύνθησαν] Σημείωσαι δὲ, ὅτι παρ' Ὁμήρῳ μὲν ἱδρύω τὸ κάθημαι· ἀπὸ τοῦ ἕδω· παρὰ δὲ τοῖς Ἀττικοῖς ὕστερον ἱερὰ ἡ λέξις· ἱδρύεται γὰρ ναὸς, καὶ ἱδρύεται ἄγαλμα ἐν ναῷ. Ε. — Β.

Σ. 79. Ἐπετοξάζοντο] Τῷ Ἕκτορι ἐς μέσον ἐλθόντι, καὶ τὴν τοῦ Πάριδος γνώμην ἐθέλοντι ἐκβοῆσαι ἐπετοξάζοντο οἱ Ἀχαιοί· — Ἀγνοοῦντες ὃ βούλεται· διὰ τὸ οἴεσθαι, ὡς ἀντὶ τοῦ ἀδελφοῦ προΐσταται αὐτὸς, τῷ Μενελάῳ μαχησόμενος. Ε.

Σ. 80. Τιτυσκόμενοι] Ὅ ἐστι, τεύχοντες, τεχνώμενοι καταστοχαζόμενοι. Ε. — Σημαίνει καὶ τὸ ἑτοιμάζειν, ὡς ἐκεῖ ὡς εἰπὼν, ὑπ' ὄχεσφι τιτύσκετο. (Θ. 41.) ἔνιοι δὲ καὶ ἐπὶ τοῦ ψυχικῶς στοχάζεσθαι· «Τιτύσκετο δὲ φρεσὶν ᾖσι» (Ν. 558.) Σ.

Σ. 82. Ἴσχεσθ'] Δοκεῖ δὲ τὸ ἴσχεσθε κατ' ἔλλειψιν εἰρῆσθαι, ὡς δῆλον ἐκ τοῦ, οἱ δ' ἔσχοντο μάχης (στ. 84.). Ε.

Σ. 83. Στεῦται] (ἴδ. Β. 597.)

Σ. 84. Ἄνεῳ] Τουτέστιν ἄφωνοι, ὡς ἂν δηλαδὴ ἀκουσόμενοι Ἕκτορος. Ε.

Σ. 95. Ἀκήν] Ἐπ' ἄκρας ἡσυχίας ἐγένοντο· ἀκὴ γὰρ καλεῖται ἡ ὀξύτης. Σ. — Γίνεται ἀκὴν ἀπὸ τοῦ α στερητικοῦ καὶ τοῦ χαίνειν, ἀχὴν, καὶ ἰωνικῶς, ἀκήν· ἵνα ᾖ ἀκὴν ἔχειν, τὸ μὴ χαίνειν, ὥστε λαλεῖν, ἀλλὰ σιωπᾶν. — Καταπλήττει δὲ τὸ τοῦ πράγματος ξένον τοὺς Ἕλληνας, καὶ ἀκὴν γίνονται σιγῇ. — Ὅμοιον γὰρ κατὰ τοὺς παλαιοὺς, ὡς εἴ τις μοιχείας διωκόμενος προκαλεῖται τὸν ἄνδρα εἰς μάχην, ὡς μετὰ τοῦ γυναίου καὶ τὴν ψυχὴν προσαφαιρησόμενος. Ε.

Σ. 98. Διακρινθήμεναι] Διακρινθῆναι δὲ λέγει τὸ λυθῆναι τοῦ πολέμου καὶ χωρισθῆναι. — Ἔστι δὲ τὸ μὲν διὰ τοῦ η

НБ ОНУ імені І.І.Мечникова

ὀρθώτερον, εἰ καὶ ποιητικώτερον· — τὸ δὲ δίχα τοῦ ν κοινότερον καὶ ἀττικώτερον· ἐναντίον δὲ τὸ διακρίνειν πρὸς τὸ συγκρίνειν, ὅ ἐστι συγχέειν. Ε.

Σ. 99. Πέποσθε] Ἤτοι πεπόνησθε. Ε. — Πεπόνθατε. Σ.

Σ. 100. Ἔριδος . . . ἀρχῆς] Τὴν μὲν ὑπὸ τοῦ Πάριδος ἁρπαγὴν τῆς Ἑλένης ἀρχὴν ὁ Μενέλαος λέγει τοῦ πολέμου δηλαδή· τὴν δὲ αὐτοῦ ἐπεξέλευσιν ἔριν καλεῖ. Ε. (Ἴδ. Χ. 116.).

Σ. 102. Διακρινθεῖτε] Ὅτι τὸ διακρινθεῖτε συγκοπὲν ἀπὸ εὐκτικοῦ τοῦ διακρινθείημεν. Ε.

Σ. 103. Οἴσετε δ' ἄρν'] Τρῶες μὲν οἷς ὁ κίνδυνος περὶ τῆς γῆς καὶ τοῦ ζῆν, ἄρνα δύο φέρουσιν· ἕτερον μὲν λευκὸν· ἑτέραν δὲ μέλαιναν εἰς θυσίαν ἐν τῇ κατὰ τὴν μονομαχίαν ὁρκομωσίᾳ (ἀνάγν. ὁρκωμοσίᾳ), γῇ τε καὶ ἡλίῳ· τῷ μὲν τὸν λευκὸν, τῇ δὲ τὴν μέλαιναν. — Ἄῤῥεν μὲν θύεται ἡλίῳ, ὡς οἷον ἀνδρί· ἐν ἑτέρῳ γὰρ γεννᾷ, ἤγουν ἐν τῇ γῇ, ὡς εἰς γυναικί· θῆλυ δὲ τῇ γῇ, ὡς οἷα μητρὶ τῶν ἐξ αὐτῆς καὶ ἡλίου. — Οἱ Ἕλληνες δὲ ξενίῳ ἴσως Διὶ θύουσιν, ὡς ἂν ἐκπολεμωθῇ, Ἀλεξάνδρῳ ἀδικήσαντι εἰς ξενίαν. Ε.

Σ. 106. Ὑπερφίαλοι] Ὑπερφιάλους δὲ λέγει παῖδας Πριάμου, ἀπὸ ἑνὸς τοῦ Ἀλεξάνδρου συναγαγὼν τὸ σκῶμμα· τοιοῦτος γὰρ ἀληθῶς ἐκεῖνος· οὕτω δὲ καὶ Ἀλέξανδρος τὴν Ἀχαιίδα καλλιγύναικά φησιν, ἐκ μιᾶς τῆς Ἑλένης λαβὼν τὸν ἔπαινον· τὸ δὲ ὅμοιον καὶ ἐν πολλοῖς ἄλλοις Ὅμηρος ποιεῖ. Ὑπερφίαλοι δὲ νῦν οἱ παρασπονδηταὶ, οἱ ὑπὲρ τὴν ἱερὰν φιάλην ποιοῦντες, καὶ διὰ τοῦτο κατὰ τὸν ποιητὴν εἰπεῖν, ἄπιστοι.

Σ. 107. Ὑπερβασίῃ] Ὁρκίων βλάβη ἡ ὑπερβασία, ἣν καὶ παραιβασίαν ἕτεροί φασιν· ἔστι δὲ κυρίως ὑπερβασία τὸ ὑπερβαίνειν τοὺς τεταγμένους ὅρους τῆς γῆς, καὶ οἷον ὑπὲρ τὰ ἐσκαμμένα ὅρια πηδᾷν· καταχρηστικῶς δὲ καὶ ἐπὶ ἀδικίας ἡ λέξις τίθεται, καὶ ἐπὶ τῆς ἁπλῶς δὲ κακίας. Ε. — Δηλήσηται] Δῆλον, ὅτι δήλησις, ἤγουν βλάβη ὅρκων οὐδὲν ἄλλο, ἢ ἡ παράβασις αὐτῶν. Ε.

Σ. 108. Ὁπλοτέρων] (Ἴδ. Α, 152. καὶ Β, 707.). — Ἠερέθονται] [illegible] δὲ κυρίως μὲν τὸ ἐν ἀέρι κρέμασθαι· ἐξ οὗ καὶ ἡ αἰώρα· ἐνταῦθα δὲ ἐπὶ τοῦ ἀβεβαίως ἔχειν εἴληπται· τὰ μὲν γὰρ ἐν ἀέρι κρεμάμενα εὐμετακίνητά εἰσι. Ε. (Ἴδ. Ψ. 589.)

Σ. 109. Μετέῃσιν] Ἤγουν σύνεστιν· — ἅμα πρόσσω καὶ

ὀπίσσω· (ἴδ. Α, 343.). — Ἡ στιγμὴ εἰ μὲν μετὰ τὸ μετέησιν εἴη, οὕτως ὁ νοῦς· τὰ παρόντα καὶ τὰ μέλλοντα προορᾷ, ὅπως ἄμφω ἄριστα πραχθῇ· εἰ δὲ εἰς τὰ ὀπίσσω, οὕτως· οἷς πάρεστιν ὁ γέρων εἰς τὸ νῦν καὶ τὸ μέλλον, ὅ ἐστιν ἑκάστοτε, προβλέπει τὰ ἄριστα. Σ. Β.

Σ. 121. Ἶρις] Τὴν Ἶριν ὁ μὲν μῦθος δαίμονα χρυσόπτερον βούλεται εἶναι, εἴρουσαν, ὅ ἐστιν ἀγγέλλουσαν τὰ τῶν Θεῶν· ἡ δὲ πρὸς φύσιν ἀλληγορία εἰς τὸ κατὰ τὸν ἀέρα γινόμενον φάντασμα τοῦ λεγομένου τόξου μεταλαμβάνει τὴν Ἶριν τὴν λαμπρόχρουν· — ἡ δέ γε κοινοτέρα τοῦ μύθου θεραπεία εἰς φήμην καὶ νῦν ἐκλαμβάνεται αὐτήν· — ἥτις φήμη καὶ τὴν Ἑλένην ἐνταῦθα ἐξάγει πρὸς θέαν μονομαχίας, πορθμευθεῖσα διὰ τῆς τοῦ Πριάμου θυγατρὸς Λαοδίκης· ὡς εἰκὸς, ἐπεισόδιον ἐσομένην Ὁμήρῳ εἰς ἱστοριῶν χορηγίαν εὔκαιρον· πολλαὶ γοῦν ἱστορίαι διὰ τῆς Ἑλένης παρεισοδιασθήσονται, κατὰ τὴν Ὁμηρικὴν μέθοδον. Ε.

Σ. 122. Δάμαρτι] Ἰστέον δὲ, ὅτι τὸ συγγενικὸν θηλυκὸν τοῦ δαὴρ, ὃ δηλοῖ τὸν ἀνδράδελφον, οὐ δάειρα ἀναλόγως, ἀλλὰ γάλως ἑτερωνύμως προφέρεται. Ε. — Γάλως δέ ἐστιν ἀνδρὸς ἀδελφή. Σ.

Σ. 123. Ἀντηνορίδης] Οὔτε τῇ γαλόῳ δοτικῇ, οὔτε τῇ Ἀντηνορίδαο γενικῇ ὑπήντησεν, ἄλλως σχηματίζων τὸν λόγον· ἠγάπα δὲ τὸ γένος τοῦ Ἀντήνορος ἡ Ἑλένη, ἐπεὶ πρώην ξένος ἦν τῶν Ἑλλήνων. Σ. Β. — Ἑλίκαι δὲ αὗται πόλις Τρωϊκή· ἀλλαχοῦ δὲ Ἑλίκη πόλις Ἑλληνίς. Ε. (Β, 575.)

Σ. 125. Ἐν μεγάρῳ] Ἐν θαλάμῳ· οὗτος γὰρ διαίτημα γαμηθεισῶν· χηρῶν δὲ καὶ παρθένων, ὑπερῷον. Σ. Β.

Σ. 126. Δίπλακα] Ἰστέον δὲ, ὅτι ἐν τῷ δίπλακα μαρμαρέην λείπει τὸ ἱστουργίαν, ἢ ὑφὴν ἤ τι τοιοῦτον· τινὲς δὲ καὶ χλαῖναν λείπειν φασὶ, νοοῦντες, δίπλακα τὴν μεγάλην, ἣν ἔστι διπλῆν ἀμφιέσασθαι. — Μαρμαρέην] Μαρμαρέη δὲ ἡ λάμπουσα ἐκ τοῦ μαρμαίρω, ἐξ οὗ ὁ μάρμαρος λίθος, οὗ κτητικὸν μαρμάρειος. Ε. — Ἐνέπασσεν] Ἐνεποίκιλλεν· ὅθεν καὶ τὰ ποικίλα παραπετάσματα παστοὶ καλοῦνται. Σ.

Σ. 128. Ὑπ' Ἄρηος παλαμάων] Ἤγουν ὑπὸ πολέμου· ἀξείως ἐπεσημήναντό τινες τὸν πέπλον τοῦτον ἀξιόλογον ἀρχέτυπον εἶναι τῆς Ὁμήρου ποιήσεως· ἃ γὰρ ἐκείνη ἐνεποίκιλλεν ὁσημέραι τῷ πέπλῳ, ταῦτα δέλτῳ ἐντίθησιν Ὅμηρος, καὶ ποιεῖ τὴν βί-

θλον ταύτην, ὥσπερ Ἑλένης ἄλλον ἱστόν· διὸ καὶ φιλεῖ τὴν Ἑλένην ὁ ποιητὴς, καὶ διατιθέμενος ὑπεραπολογεῖται, εἰς ὅσον ἔξεστι. Ε.

Σ. 130. Θέσκελα ἔργα] Θέσκελα ἔργα ἐνταῦθα τὰ τῆς μάχης, οὐχ ὡς θεοείκελα, ἀλλὰ θεοκέλευστα. Ε. —Θεῖα, θαυμαστά. Σ.

Σ. 131. Ἕαται] Ἕαται, καθέζονται. Β.

Σ. 140. Τοκήων] Τυνδάρεω λέγει καὶ Λήδας. Σ. — Τοιαῦτα ὁ ποιητὴς αὐτῆς ὑπερλαλεῖ πολλαχοῦ μεταμελομένην ποιῶν· οἰκονομεῖ δὲ ὁ ποιητὴς ἐνταῦθα τὴν αὐτῆς εἰς τὸ τεῖχος ἔξοδον, πολλὰ ἱστορήσων δι' αὐτῆς. Ε.

Σ. 141. Ἀργεννῇσι] Λευκαῖς, λαμπραῖς. Σ.

Σ. 142. Τέρεν] Τρυφερὸν, ἀντὶ τοῦ ὑγρόν. Σ.

Σ. 144. Αἴθρη] Ἑτέρα τῆς Θησέως μητρός ἐστιν αὕτη ἡ Αἴθρα. Αἰσχρὸν γὰρ ὑπάρχει θεραπαίνης τρόπῳ ἀκολουθεῖν τῇ Ἑλένῃ τὴν Αἴθραν, ἐκυρὰν νομισθεῖσαν. Ὡς γὰρ ἱστορεῖ Ἑλλάνικος, Πειρίθους καὶ Θησεὺς, ὁ μὲν Διὸς ὤν, ὁ δὲ Ποσειδῶνος, συνέθεντο γαμῆσαι Διὸς θυγατέρας, καὶ ἁρπάσαντες τὴν Ἑλένην κομιδῇ νέαν, παρατίθενται εἰς Ἄφιδναν (ἴσως Ἀφίδνας) τῆς Ἀττικῆς, Αἴθρῃ, τῇ Πιτθέως μὲν θυγατρὶ, μητρὶ δὲ Θησέως. Οὕτως εἰς ᾅδου παραγίγνονται, ἐπὶ τὴν Περσεφόνην. Οἱ δὲ Διόσκουροι, μὴ ἀπολαμβάνοντες τὴν ἀδελφὴν, τὴν Ἀττικὴν σύμπασαν πορθοῦσιν, Αἴθραν δὲ αἰχμαλωτίζουσι. Σ. (Ἀπολλόδ. Γ, 10, 7. σελ. 723.). — Ὅρα δὲ, ὅτι σύνηθες, ταῖς εὐγενέσιν ἀμφιπόλους ἕπεσθαι, ὅ ἐστι δουλίδας, ἐν ταῖς τοιαύταις προόδοις — καλοῦνται δὲ οὕτω, διὰ τὸ ἀμφὶ τὰς δεσπότιδας πολεῖν· ἐντεῦθεν δὲ καὶ αἱ πρόσπολοι, καὶ πρόπολοι. — Οἱ δὲ παλαιοί φασι καὶ ὅτι πρόπολος μὲν καὶ ἐπὶ ἀῤῥένων, ἀμφίπολος δὲ ἀεὶ ἐπὶ γυναικῶν. (Ἐτυμ. Μ. ἀμφίπολος· θεραπαινὶς, δουλίς· Σουΐδ. καὶ Πολυδ. Γ. στ. 78. Θής.)

Σ. 145. Σκαιαὶ πύλαι] Τὰς Σκαιὰς πύλας Δαρδανίας ἐνίοτε Ὅμηρος λέγει· τὸ μὲν ἀπὸ Δαρδάνου, τὸ δὲ, ἢ ἀπὸ Σκαιοῦ, οὕτω καλουμένου τεχνίτου, ἢ ὅτι δυτικαί· σκαιὰ γὰρ, ἤτοι ἀριστερὰ, τὰ δυτικά. Ε. (Ἐτυμ. Μ. Ἀπολλων. καὶ Σ. Β. ἰδ. Χ, 360.).—Δι' ὧν ἐξῄεσαν εἰς τὸ πεδίον οἱ Τρῶες. Σ. Β. (ἰδ. Ζ, 393.).

Σ. 146. Ἀμφὶ Πρίαμον] Ῥητόρων ἴδιον τὸ ἀντὶ τοῦ εἰπεῖν Ἀλέξανδρον, ἢ Μενέλαον, λέγειν οἱ ἀμφὶ Ἀλέξανδρον, καὶ οἱ ἀμφὶ Μενέλαον καὶ τὰ ὅμοια. — Διὸ καὶ ἐπάγει ὁ ποιη-

τής· Οὐκαλέγων τε καὶ Ἀντήνωρ μονονουχὶ λέγων. — Καὶ σημείωσαι τὴν τοῦ σχήματος ἐν τούτοις ἀλλαγήν. Ε.

Σ. 149. Εἵατο] Ἐκαθέζετο. — Πύλῃσι] Πύλῃσιν. Β.

Σ. 151. 152. Ὄπα λειριόεσσαν ἱεῖσιν] Ὅ ἐστι φωνὴν πέμπουσιν ἀνθηράν· ἄνθους γὰρ εἶδος τὸ λείριον. — Καὶ Ὅμηρος μὲν παραβολικῶς ἐκ τῶν τεττίγων οὕτω τοὺς Τρωϊκοὺς ἐτίμησε ῥήτορας· οἱ δὲ ὕστερον εὐγενεῖς Ἀθηναῖοι πραγματικῶς τέττιξιν ἐσέμνυνον ἑαυτούς, τεττιγοφόροι ὄντες· τέττιγες γὰρ ἐφόρουν χρυσοῦς, ὡς καὶ Θουκυδίδης φησὶν (1, 6.), εἰς σύμβολον τοῦ γηγενεῖς εἶναι. — Ὠδικοὶ δὲ καθὰ καὶ οἱ ῥηθέντες ἀγορηταί, καὶ ἀφ᾽ ὑψηλοῦ ἠχοῦσι· τὰ γὰρ πολλὰ ἐπὶ κλάδων καὶ οὐκ ἀπὸ γῆς αὐτῆς ἐπιδείκνυνται τὰ τῆς ᾠδῆς· ἔνθα μεμνῆσθαι χρὴ καὶ συμβολικοῦ λόγου, ἐν ᾧ ἠπειλήσατό τις ποιήσειν τοὺς τέττιγας τοῖς ἐχθροῖς χαμόθεν ᾄδειν, ἀντὶ τοῦ δενδροτομήσειν αὐτοῖς τὴν χώραν. — Φανερὸν δὲ καὶ ὅτι ἄρρενες τέττιγες ᾄδουσιν, οἱ καὶ ἠχέται παρὰ Ἡσιόδῳ (ἔργ. 580.)· ἄφωνοι δὲ τὸ τῶν θηλειῶν εἶδος, οἱ καὶ τιγόνια (ἀνάγνωθ. τεττιγόνια, ἢ τιτιγόνια.) — Σημείωσαι δὲ, ὅτι ὤκνησεν Ὅμηρος πλατῦναι τὴν παραβολὴν τῶν τεττίγων, διὰ τὸ μὴ πάνυ σεμνῶς αὐτὴν ἔχειν πρὸς ῥητορείαν λαμπράν· τί γὰρ ἡδὺ τέττιξ ἠχῶν· διὸ πρὸς μόνην συνέχειαν λαλιᾶς, καὶ ῥοῖζον ἀδιεχῆ καὶ εὔροιαν ἤχου, καὶ φωνῆς τορότητα εἴληπται ἡ ποιητικὴ παραβολή· ἡδύτης μέντοι λόγου παραβάλλεται ἐν τῷ μέλιτος γλυκίων ῥέεν αὐδή. — Ὁ δὲ μῦθος τῶν τεττίγων ἐγχώριος· καὶ γὰρ Τρωϊκὸς ἦν ὁ Τιθωνὸς, ὃν ὁ μῦθος μετέβαλεν εἰς τέττιγα· ἴσως δὲ καὶ ἐκεῖνος μυθεύεται παθεῖν οὕτως, ὡς περὶ τὸ γῆρας λαλίστερος. Ε. — Λειριόεσσαν] Ἐπιθυμητὴν, ἡδεῖαν. Σ.

Σ. 154. Εἶδον] Εἶδον θ᾽. Β. — Ἰοῦσαν] Παραγινομένην, ἐρχομένην.

Σ. 155. Ἦκα] Δῆλον, ὡς ἀπὸ τοῦ ἀκὴν τὸ ἦκα γίνεται, καθ᾽ ὁμοιότητα τοῦ ἀμφαδίην, ἀμφαδά· κρύβδην, κρύβδα. Ε.

Σ. 156. Οὐ νέμεσις κ. τ. λ.] Ἰστέον δὲ, ὅτι καλὴν εἶναι τὴν Ἑλένην καὶ ὁ τῶν δημογερόντων ἐνταῦθα λόγος βεβαιοῖ· ὧν ὁ μὲν μανιώδης ἔρως ἀπεπτερύξατο, ἡ δὲ δι᾽ ὀφθαλμῶν τοῦ κάλλους κρίσις παραμεμένηκε· οἱ καὶ λέγουσιν, ὅτι οὐ νέμεσις, ἤτοι οὐ νεμεσητὸν καὶ δικαίως μεμπτὸν, Τρῶας καὶ ἐϋκν. Ἀχαιοὺς κ. τ. λ. — Ἦκα δὲ τουτέστιν ἡσύχως πρὸς ἀλλήλους ἔπεα τοιαῦτ᾽ ἀγόρευον, διότι τε αἰσχύνην αὐτοῖς φέρει, κάλλος τοιοῦτον θαυ-

μάζειν ἐν ἡλικίᾳ ἐξώρῳ, οὓς ἔδει ἀφυβρίσαι ἤδη, καὶ ὅτι φιλαλήθης ἡ μὴ κατὰ πρόσωπον μαρτυρία. — Σκοπητέον δὲ, εἰ μὴ ψεύδεται τὸ, οὐ νέμεσις· πῶς γὰρ οὐ νέμεσις περιέπεσθαι γυναῖκα, ἧς τὸ μὲν καλὸν, εὐμορφία· τὸ δὲ κακὸν πανωλεθρία. Ε.

Σ. 158. Αἰνῶς] Ἰστέον δὲ καὶ, ὅτι τὸ αἰνῶς ἀντὶ τοῦ λίαν, μεταληπτικόν τί ἐστιν· αἰνῶς μὲν γὰρ δεινῶς ταυτόσημά εἰσιν· ἔστι δέ ποτε δεινῶς καὶ τὸ λίαν, καὶ αἰνῶς ἄρα ἀντὶ τοῦ λίαν. Ἔτι ἰστέον καὶ ὅτι τὸ ἀθανάταις θεαῖς εἰς ὦπα ἔοικεν, ὡς ἀπὸ τῶν Ὁμηρικῶν λεγόμενον Μουσῶν ἀκουστέον· οὐ γὰρ αὐτὸς Ὅμηρος εἶδεν, οἷον ἔχουσιν εἶδος αἱ θεαὶ, ἢ καὶ τοιοῦτόν τι φαίνεται λέγειν, ὡς, ἐὰν θεαὶ εἰδοποιοῖντο, κατὰ τὴν Ἑλένην ἂν καὶ αὗται εἶεν. Ε.

Σ. 159. Νεέσθω] Ἐπεῖχε γὰρ αὐτοὺς οὐχ οὕτω τὸ κάλλος τῆς Ἑλένης, ὅσον τὸ χρεὼν, ἤτοι τὸ μοιρίδιον. Ε.

Σ. 163. Ὄφρα] Ὅπως. Δ. — Ἴδῃς] Ἴδῃ. Β. — Πηούς τε] Τοὺς κατ᾽ ἐπιγαμίαν συγγενεῖς. Σ.

Σ. 164. Αἰτίη] Ὅτι δὲ λείπει τὸ, πολέμου, δηλοῖ Ὅμηρος ἐπαγαγὼν τὸ, οἵ μοι ἐπήγαγον πόλεμον. Ε.

Σ. 165. Ἐφώρμησαν] Ἐφορμῶ οὐ μόνον ἐγὼ κατά τινος, ἀλλὰ καὶ ἕτερον κατ᾽ ἄλλου Ε. — Ἐμφατικῶς ἀπὸ τῶν θηρευτικῶν κυνῶν φησι τὸ ἐφώρμησαν· δῆλον δὲ, ὅτι τοὺς Ἕλληνάς φησι. Σ. Β. — Οἵτινες ἐν ἐμοὶ ἐφορμηθῆναι ἐποίησαν τὸν πόλεμον τῶν Ἑλλήνων.

Σ. 167. Ἠΰς] Ἔστι δὲ ἠΰς, ἢ ὁ ἀγαθὸς κατά τινας, ἢ ὁ πλατὺς, ὡς ἕτεροί φασιν. Ε.

Σ. 168. Ἔασι] Ἔασιν, εἰσίν. Β.

Σ. 170. Γεραρόν] Ἔστι γεραρὸς, ὁ ἐκ μόνης θέας τὸ τίμιον ἔχων. Ε. Ἐζήτηται δὲ, πῶς ὁ Πρίαμος τῷ δεκάτῳ ἔτει πυνθάνεται περὶ τῶν ἀρίστων; λέγουσιν οἱ παλαιοὶ, ἐπειδὴ πρότερον περὶ τὰς ἀστυγείτονας πόλεις ἐπλανῶντο· ὥς που καὶ ὁ Ποιητής φησι, πλαζόμενοι κατὰ ληΐδ᾽, ὅπῃ ἄρξειεν Ἀχιλλεύς (Ὀδυσσ. Γ, 106.)· νῦν δὲ προσκάθηνται τῇ Ἰλίῳ — πρότερον δὲ οὐκ ἐθεάτο οὕτω πάντας ἀόπλους (στ. 114.), ὡς νῦν. Σ. — Ἔοικεν] Ὅμοιός ἐστιν. Δ.

Σ. 172. Αἰδοῖος] Ἡ ὑπερβάλλουσα τιμὴ ἐν αἰδοῖ κεῖται καὶ φόβῳ· καὶ ταῦτά ἐστιν, ἃ σώζει τὴν Ἑλένην ἐν Τροίᾳ.



НБ ОНУ імені І.І.Мечникова

Ἰστέον δὲ, ὅτι αἰδοῖος μὲν, ὁ ἐφελκόμενος τὴν ἐξ ἑτέρων αἰδῶ καὶ ἄξιος αἰδοῦς· αἰδήμων δὲ, ὁ ἄλλους αἰδούμενος. Ε.

Σ. 173. Ἀδεῖν] Ἀρέσαι. Σ. — Ἰστέον δὲ, ὅτι ἐκ τοῦ ἥδω, τὸ εὐφραίνω, δεύτερος μέλλων ἐνεργητικὸς ἀδῶ. Ε.

Σ. 174. Γνωτούς] Ἀδελφούς· λέγει δὲ Κάστορα καὶ Πολυδεύκην. Σ. — Θάλαμον] Νῦν τὸν οἶκον, περιφραστικῶς. Δ.

Σ. 175. Τηλυγέτην] Ἀγαπητὴν, μονογενῆ· καταχρηστικῶς δὲ εἶπε· κυρίως γὰρ τηλύγετοι καλοῦνται οἱ τηλοῦ τῆς γονῆς ὄντες παῖδες, ὅ ἐστιν ἐν γεροντικῇ ἡλικίᾳ σπαρέντες· δοκεῖ γὰρ τὰ μετὰ ἀπόγνωσιν τῆς παιδοποιΐας γεννώμενα μᾶλλον ἀγαπᾶσθαι. Σ. — Ἰστέον δὲ, ὅτι Ὁμήρῳ μὲν δοκεῖ, Ἑρμιόνην μόνην εἶναι παῖδα τῇ Ἑλένῃ· τοῦτο γὰρ δηλοῖ τὸ, τηλυγέτην· ἕτεροι δὲ καὶ υἱοὺς αὐτῇ καὶ Μενελάῳ γεννῶσι, Νικόστρατον καὶ Αἰθιόλαν οὓς καὶ παρὰ Λακεδαιμονίοις τιμᾶσθαί φασι· ἄλλοι δὲ Δίαιθον καὶ Μαράφιον (Μοῤῥαφίων Σ. ἴδ. Ἀπολλόν. σελ. 729.), ἀφ᾽ οὗ γένος φασὶ τὸ τῶν Μαραφίων ἐν Πέρσαις. Σημείωσαι δὲ, ὅτι θαλάμου μὲν καὶ ἀδελφῶν ἐμνήσθη καὶ θυγατρὸς καὶ ὁμιλίκων ἡ Ἑλένη, τοῦ δὲ ἀνδρὸς οὐκέτι, καὶ ταῦτα φίλανδρος οὖσα, ὡς πολλαχοῦ φαίνεται· αἴτιον δὲ νῦν τῆς τοῦ ἀνδρὸς ἀμνηστίας, ὅτι δέδιεν, ὡς ἐμφαίνει καὶ ἐν τῷ, δεινὸν καλέσαι τὸν Πρίαμον· διὸ καὶ οἷον κολακεύει τὸν γέροντα, σιγῶσα τὸν ἄνδρα Μενέλαον, ἵνα δόξῃ φιλεῖν τὸν Ἀλέξανδρον. Ἀναπληρώσει δέ γε τὸ αὐτῆς ἔλλειμμα ὁ Ἀντήνωρ, μνησθεὶς αὐτοῦ ὡς ἐκ παρόδου ἐν τοῖς ἑξῆς, ἵνα μηδὲ τὰ κατὰ τὸν Μενέλαον μείνῃ ἀνιστόρητα. Ε. — Ὁμηλικίην ἐρατεινήν] Ἤτοι τὴν ἡλικιῶτιν χορείαν, ἢ νεολαίαν, ἢ τὴν ὁμοίαν ἡλικίην. Ε. — Τὰς ἐπεράστους μου ὁμήλικας. Σ.

Σ. 176. Τέτηκα] Ὥστε πάνυ ἐγὼ δυστυχὴς, ἐὰν κλαίω, διότι ζῶ· — ὁ Ποιητὴς μεταμελομένην πολλαχοῦ ποιεῖ τὴν Ἑλένην, καὶ τοιαῦτα λέγουσαν καὶ πράττουσαν, ἀφ᾽ ὧν ἂν τοῦ αἴσχους τὸ πολὺ ἀπαλείψειεν. Ε.

Σ. 177. Μεταλλᾷς] Πολυπραγμονεῖς, ἐπιζητεῖς. Σ.

Σ. 179. Βασιλεύς τ᾽ ἀγαθός] Τὸ δὲ βασιλεὺς ἀγαθὸς πέλαγος ἐγκωμίων ὑπανοίγει τῷ σκεπτομένῳ καλῶς. Ε.

Σ. 180. Εἴποτ᾽ ἔην γε] Τὸ δὲ εἴποτ᾽ ἔην γε, πραΰνει τὸν ἐπὶ τῇ μνείᾳ τοῦ ἀνδρὸς λυπούμενον ἴσως κατ᾽ αὐτῆς· οἱονεὶ λέγουσα, ὡς οὐ νῦν ἐστιν, ἀλλά ποτε ἦν. — Ὅρα δὲ καὶ, ὡς

НБ ОНУ ім. Мечникова

ᾗ καὶ μὴ ῥητῶς ἐμνήσθη τοῦ ἀνδρὸς ἡ Ἑλένη, ὡς προείρηται,
ἀλλὰ τὴν ἐπ' ἐκείνῳ λύπην ἐμφαίνει. Ε.

Σ. 181. Ἠγάσσατο] Τουτέστιν, ἐξεπλάγη. Ε. — Ἐθαύ-
μασεν. Σ.

Σ. 182. Μοιρηγενὲς] Ὅρα δὲ καὶ, ὅτι νῦν μὲν τὸ, μοῖρα,
ἐπ' ἀγαθῷ εἴληπται ἐν τῷ μοιρηγενὲς, δηλοῖ γὰρ τὸν ἐν εὐ-
μοιρίᾳ γεννηθέντα· ὄλβιος δέ ἐστιν ὁ τὸν ὅλον βίον ἤτοι τὸν
τῆς ζωῆς πάντα χρόνον ἐν εὐδαιμονίᾳ διάγων· τινὲς δὲ ὄλβιόν
φασι κυρίως τὸν ἀπὸ γεωργίας πλούσιον, οὗ ἐν ὄλαις, ἤτοι
κριθαῖς ὁ βίος. Ε. — Ἐν καλῇ μοίρᾳ γεγεννημένε, πλούτῳ εὐ-
τυχέστατε.

Σ. 183. Δεδμήατο] Ἰστέον δὲ ὅτι ἐκ τοῦ δέδμηνται (Εὐ-
στάθ.) σοι κοῦροι, ζευξίλεως εὕρηται παρὰ τοῖς μεθ' Ὅμηρον ὁ
βασιλεὺς, ᾧ ὑπέζευκται λεώς, ταὐτὸν δ' εἰπεῖν δεδμήαται κοῦροι.
Ε. — Ὑποτεταγμένοι εἰσίν. Σ.

Σ. 184. Φρυγίην] Φρυγίαν δὲ νῦν κατὰ τοὺς παλαιοὺς
νοητέον τὴν μεγάλην, τὴν παρὰ τῷ ποταμῷ Σαγγαρίῳ οὐ τὴν
μικράν, περὶ ἣν καὶ ἡ Τροία ἐστί. Ε. — Ἀμπελόεσσαν] Τοὺς
δὲ περὶ Ἀπάμειαν τόπους λέγει· οὗτοι γὰρ πολυάμπελοι ἦσαν,
τῆς λοιπῆς Φρυγίας μόνον σιτοφόρου οὔσης. Σ. — Ὅτι τὸ ἤδη
παρείληπται ἀντὶ χρονικοῦ τοῦ ποτέ. Σ. Β.

Σ. 185. Αἰολοπώλους] Ὡς εἴ τις εἴποι ταχυΐππους. — Αἰ-
όλλῳ γὰρ τὸ ταχέως δίκην ἀέλλης κινῶ· ἢ ποικίλλως ἱπ-
παζομένους. Ε. — Πολεμικοὺς, ἢ ταχεῖς ἵππους ἔχοντας. Σ.

Σ. 186. Λαοὺς Ὀτρῆος] Ὀτρεὺς καὶ Μύγδων παραδίδονται
ἡμῖν παῖδες Δαίμαντος, ἀδελφοὶ τῆς Ἑκάβης, βασιλεῖς Φρυ-
γίας. Σ. — Ὀτρεὺς ὁ Δύμαντος καὶ Μυγδὼν ὁ Ἄκμονος Φρυ-
γίας βασιλεῖς, ἐπικουροῦντός ποτε Πριάμου τὸν πρὸς Ἀμαζόνας
ἐξήγαγον πόλεμον. Β.

Σ. 187. Παρ' ὄχθας] Ἀντὶ τοῦ κατὰ ὄχθας· οἱ δὲ μεθ'
Ὅμηρον παρ' ὄχθαις φασίν. Ε. — Ὁ δὲ Σαγγάριος ποταμὸς
πρότερον μὲν ἦν, Φρυγίας, νῦν δὲ Γαλατίας. Σ.

Σ. 188. Ἐλέχθην] Ἤγουν ἐν αὐτοῖς ἠριθμήθην. Ε. — Ἐπί-
κουροι λέγονται οἱ τοῖς πολεμουμένοις βοηθοῦντες· σύμμαχοι δὲ
οἱ τῶν πολεμούντων. Σ.

Σ. 189. Ἀντιάνειραι] Αἱ ἴσαι κατὰ δύναμιν ἀνδράσιν, ἢ αἱ
ἐναντιούμεναι ἀνδράσιν, ἐξ οὗ πολεμικαί. Αἱ δὲ Ἀμαζόνες λέ-
γονται εἶναι Ἄρεος καὶ Ἀφροδίτης θυγατέρες, τραφεῖσαι παρὰ

НБ ОНУ імені І.І.Мечникова

Θερμώδοντι ποταμῷ τῆς Σκυθίας· ἐκλήθησαν δὲ οὕτως, διὰ τὸ τὸν δεξιὸν μασθὸν ἐκτέμνεσθαι αὐταῖς, ὡς ἐμποδίζοντα ἐν τῷ τοξεύειν. Σ. (ἴδ. Στράβ. ΙΑ, σελ. 347.).

Σ. 191. Ὀδυσῆα ἰδών] Ἰστέον δὲ, καὶ ὅτι ἔδει μὲν τὸν Πρίαμον εἰδέναι τὴν ὄψιν τοῦ Ὀδυσσέως, εἴγε καὶ εἰς τὴν Τροίαν ἦλθεν, ὡς ῥηθήσεται· ὁ δὲ ἀγνοεῖ αὐτόν· ἴσως μὲν οὐκ ὀξὺ βλέπων διὰ τὸ βαθὺ γῆρας τυχὸν δὲ καὶ ἐξελάθετο· ἢ οὐδὲ τότε ἠκριβώσατο· ὁ μέν τοι Ἀντήνωρ ἀκριβῶς τὸν τοῦ Ὀδυσσέως χαρακτῆρα ἐγγράψας πάλαι ποτὲ τῇ ψυχῇ ἀναγνωρίζει αὐτὸν ἅμα τῷ λόγῳ τῆς Ἑλένης. Ε.

Σ. 196. Κτίλος] Κτίλῳ ἀρνειῷ αὐτὸν εἰκάζει, τῷ ἡμερωτάτῳ τὸν ἐνηῆ· — ἔτι δὲ κτίλος ὁ χειροήθης καὶ ἥμερος, (κριὸς ἴσως) ἐκ τοῦ κίω, τὸ πορεύομαι, ὁ τῶν ἄλλων προπορευόμενος. Ε.

Σ. 197. Ἀρνειῷ] Ἀρνειὸς δὲ οὐχὶ τὸ ἀρνίον, ἀλλ' ὁ τέλειος καὶ ἤδη κριός. Ε. — Διὰ τοῦτο ἐπαινεῖ τὸ πρᾷον καὶ ἀτάραχον αὐτοῦ. Σ. — Πηγεσιμάλλῳ] Ἀντὶ τοῦ, μελανομάλλῳ· ὁ γὰρ τοιοῦτος ἀρνειὸς ἐν μεγάλῳ λευκῷ ποιμνίῳ διάδηλος· καὶ κῦμα γὰρ πηγὸν (Ὀδυσσ. Ε, 388.) τὸ μέλαν· οἱ δὲ πηγεσίμαλλον τὸν λευκόμαλλόν φασι. Ε. — Βαθυμάλλῳ, καλὸν ἔριον ἔχοντι, ἢ μέλανι· πηγὸν γὰρ, τὸ μέλαν. Σ. — Εὐπαγεῖς μαλλοὺς, τουτέστιν εὐτραφεῖς (ἔχοντι). Β. (Ἐτυμ. Μ.) — Σημείωσαι δὲ καὶ, ὅτι οὐ μικροποιὸς ἡ παραβολὴ, πῶϋ τὸν τοσοῦτον λαὸν εἰκάσασα· πρὸς μόνον γὰρ τὸ τοῦ Ὀδυσσέως ἐνηὲς εἴληπται, καὶ τὴν ἐκείνου ἠρεμίαν καὶ ἀκακοήθευτον ἐν τοσούτῳ λαῷ πρὸς τὸ παρὸν κίνησιν, εἰ καὶ τρόπον ἕτερον πολυμήχανος ἦν· ἄλλως γὰρ οὐδὲν ὅμοιον ἔχει, οὔτε ἀρνειῷ ὁ τηλικοῦτος Ὀδυσσεὺς, οὔτε πώεϊ ὁ τοσοῦτος στρατός. Ε.

Σ. 198. Ἀργεννάων] Λαμπρῶν, ἢ λευκῶν, ἀπὸ δὲ τοῦ πλείονος εἶπεν· οὐ γὰρ πάντα τὰ πρόβατα λευκά εἰσι. Σ. — Λαμπρομάλλων.

Σ. 201. Κραναῆς περ ἐούσης] Καί τοι τραχείας ὑπαρχούσης. Σ.

Σ. 202. Εἰδώς] Οὐκ ἔστιν ἄκρατος ἔπαινος Ὀδυσσέως, εἴπερ οὐχ ἁπλῶς δόλους οἶδεν, ἀλλὰ παντοίους, ὧν εἷς καὶ ὁ κατὰ τοῦ καλοῦ Παλαμήδους· ψεκτέος πάντως ὢν, ὡς οὐκ

НБ ОНУ імені І.І. Мечникова

ξιν ἀντείποι τις. Ε. — Μήδεα πυκνὰ] Τὰ συνετὰ βουλεύματα. Μ.

Σ. 206. Σεῦ ἕνεκ' ἀγγελίης] Ἕνεκ' ἀγγελίης τῆς κατὰ τὴν Ἑλένην. Ε.

Σ. 207. Φίλησα] Ἤτοι ἐφιλοφρονησάμην καὶ ἐξένισα, ὅπερ οἱ ὕστερον προξενῆσαι λέγουσι μετὰ γενικῆς τὸ ῥῆμα συντάσσοντες. — Σημείωσαι δὲ, ὅτι οἱ ῥηθέντες πρόξενοι χειροτονητοὶ ἦσαν ἢ ὑπὸ δήμου, ἢ ὑπὸ βασιλέων, λέγει Ἡρόδοτος (βιβλ. Α. κεφ. 2.), ὅτι Ἕλληνες πέμψαντες ἀγγέλους ἤθελον τήν τε Ἑλένην ἀπαιτεῖν, καὶ τῆς ἁρπαγῆς δίκας αἰτεῖν· οἱ δὲ, προϊσχόμενοι τὴν τῆς Μηδείας ἁρπαγὴν, οὐκ ἐπείσθησαν· — φασὶ δὲ καὶ ὅτι ἐπιβουλευομένους, ὥστε δολοφονηθῆναι τοὺς περὶ Ὀδυσσέα καὶ Μενέλαον ὁ Ἀντήνωρ περιεσώσατο. — Ἀγαμέμνων δέ φασιν ἀπομνημονεύσας τῆς εἰς Ἕλληνας ἀγαθῆς προξενίας ἐκείνου, παρδαλέην ἐξάψας τῆς τοῦ Ἀντήνορος οἰκίας, ὅτε ἡ Τροία ἑάλω, ἄβατον τοῖς Ἕλλησι τὴν αὐτοῦ οἰκίαν διεφυλάξατο. Ε.

Σ. 208. Ἀμφοτέρων δὲ φυήν] Τὸ, ἀμφοτέρων δὲ φυὴν κ. τ. λ. ἡρμήνευσεν Ἀντήνωρ ἐν τοῖς προσεχῶς ῥηθεῖσι τὴν φυὴν, ἐν τῷ, στάντων μὲν Μενέλαος καὶ ἑξῆς, ἵνα εἴη φυὴ, μὴ μόνον ἡ φύσις καὶ ἡ εὐφυΐα, καθ' ἣν εὖ πέφυκέ τις πρὸς ἔργον, ἀλλὰ καὶ ἡ κατὰ σῶμα ὑπεροχὴ καὶ γεραρότης· τὸ δὲ πυκνὰ μήδεα διερμηνεύων, ἐπάγει τὰ εὐθὺς ῥηθησόμενα. Ε.

Σ. 211. Ἄμφω δ' ἑζομένω] Ὅτι σολοικοφανὲς ἤγουν καινοπρεπὲς σχῆμα τὸ, ἄμφω δ' ἑζομένω γεραρώτερος ἦν Ὀδυσσεύς· ὤφειλε μὲν γὰρ καὶ ἠδύνατο εὐσυντάκτως εἰπεῖν, ἀμφοῖν δ' ἑζομένοιν· ὁ δὲ οὕτως ἔφρασε καινότερον, διὰ τὸ ἄρξασθαι μὲν, ὡς ἐν σχεδιασμῷ ἀπὸ εὐθείας δυϊκῆς, εἶτα μὴ ἔχειν ἓν κοινὸν ῥῆμα περὶ Ὀδυσσέως καὶ Μενελάου εἰπεῖν· οὐδὲ γὰρ ἦσαν ὁμοίως ἄμφω γεραροί· τοιοῦτον καὶ τὸ, σύν τε δύ' ἐρχομένω κ. τ. λ. (Κ, 224.). Ε.

Σ. 212. Μύθους κ. τ. λ.] Φασὶν ἐνταῦθα οἱ παλαιοὶ, ὅτι τρεῖς τρόποι ῥητορείας, ὁ ἀπολελυμένος καὶ βραχὺς καὶ περὶ τὰ καίρια ἔχων· οἷος ὁ τοῦ Μενελάου, ὃς ἐπιτρέχων τὰ πολλὰ, μόνα λέγει τὰ καίρια· δεύτερος ὁ ὑψηλὸς καὶ καταπληκτικὸς καὶ μεστὸς ἐνθυμημάτων ἀθρόως λεγομένων, ὃν καὶ Δημοσθένης ζηλοῖ· καὶ τρίτος, ὁ πιθανὸς καὶ πολλῶν πλήρης δογμάτων, οἷος ὁ τοῦ Νέστορος, οὗ ζηλωτὴς Ἰσοκράτης,

НБ ОНУ імені І.І. Мечникова

ὃς τὸ γνωμολογικὸν καὶ σαφὲς ἐζήλωσε. Ε. Τῶν δὲ Ὁμηρικῶν λέξεων τὸ μὲν μύθους καὶ μήδεα διαφορὰν ἔχει, καθότι μῦθοι μὲν οἱ ἁπλῶς οὕτω λόγοι, μήδεα δὲ, οἱ κατὰ συμβουλὴν λόγοι. — Τὸ δὲ βουλὰς ὑφαίνειν ἐκ μεταφορᾶς καὶ αὐτὸ εἴρηται συνθέσεως ὑφαινομένου ἱστοῦ· ὡς γὰρ ἡ τῆς κρόκης ἐκεῖ τῷ στήμονι ἐπισύνθεσις ἀποτελεῖ ὕφασμα, οὕτω καὶ λόγον ἡ συνθήκη τῶν λέξεων. Ε.

Σ. 213. Ἐπιτροχάδην] Τὸ δὲ ἐπιτροχάδην ἀντὶ τοῦ κεφαλαιωδῶς, ταχέως, ἐσπευσμένως, ἐν τῷ ἐπιτρέχειν τὰ πολλά. Ε. — Συντομώτατα πάντα παρατρέχων τὰ καίρια ἔλεγε. — Βραχυλόγοι γὰρ οἱ Λάκωνες ἀεί· δηλοῖ δὲ εὐφυέστερον ἐπὶ Μενελάου μὲν τὸν παρὰ τοῖς ῥήτορσι καλούμενον ἄνετον τρόπον, ἐπὶ δὲ Ὀδυσσέως τὸν σύντονον· ἐπ' ἐκείνου μὲν γὰρ εἶπε, παῦρα μέν· ἐπὶ δὲ Ὀδυσσέως προσέθηκε τὸ, καὶ ἔπεα νιφάδεσσιν ἐοικότα, τουτέστι πολλὰ καὶ πυκνά. Σ.

Σ. 215. Οὐδ' ἀφαμαρτοεπής] Οὐδὲ ἀποτυγχάνων τοῦ σκοποῦ τῶν λόγων. Σ. — Εἰ καί· (Εὐσταθ. ἤ.) — Τὸ ἦ καὶ γένει ὕστερος ἦεν, οὕτω διασαφοῦσιν οἱ παλαιοὶ, ὡς καὶ τὸ, ἦ καὶ ἐμὸν δόρυ μαίνεται ἐν παλάμῃσιν (Θ, 111.), ἀντὶ τοῦ, εἰ καὶ ἐγὼ αἰχμητής εἰμι. Ε. — Τῇ ἡλικίᾳ νεώτερος ἦν. Σ. — Ἠ. Β.

Σ. 216. Ἀναΐξειεν] Τὸ ἀναΐξειε μέγεθός τε ἡρωϊκὸν ἐμφαίνει τῷ Ὀδυσσεῖ καὶ δραστηριότητα τὸ καθ' ὁρμήν. Ε.

Σ. 217. Ὑπαὶ δὲ ἴδεσκε] Ὑπ' αἰδοῦς δὲ εἰς γῆν ἔβλεπε. Σ. — Πήξας] Τὸ δὲ πῆξαι κατὰ γῆς τὰς ὄψεις, ὡς οἷα μελετῶντα ἐμμερίμνως διὰ σχεδιασμὸν καὶ ἵστασθαι ὑπιδόμενον· καὶ τὸ σκῆπτρον μήτε προπρηνὲς κινεῖν, ἀλλ' ἀστεμφὲς ἔχειν, ἤτοι ἀστρεφὲς ἀμετακίνητον, εἰ καὶ ἁπλότης ἦν, ἀλλ' ὅμως ἄλλως ἀγωνιῶντά τε καὶ ἐκπεπληγμένον ἐμφαίνει τὸν Ὀδυσσέα, καὶ οἷον ζάκοτον, ἤτοι ὀργίλον διὰ τὸ σύννουν, ὥσπερ αὖ πάλιν θαρσαλέου καὶ ἔμφρονος, τὰ τούτων ἔμπαλιν· τὸ δὲ πήξας, ὅ ἐστιν ἐρείσας, στηρίξας τὸ τοῦ βλέμματος ἐμφαίνει καθεστηκός. Ε. — Σημειωτέον, ὅτι ἕκαστος τῶν ἡγεμόνων σκῆπτρον εἶχεν ἴδιον· ὡς καὶ Ἀχιλλεὺς ἐν τῇ Α ὄμνυσι κατ' αὐτοῦ. Σ. — Προπρηνές] Εἰς τοὔμπροσθεν ἐκίνει. Σ.

Σ. 219. Ἀΐδρει] Ἀπείρῳ, ἀπειρίαν λόγων προσποιουμένῳ, ἕνεκα τοῦ μὴ ἀπάτης ὑπόνοιαν ἐμποιῆσαι τοῖς Τρωσί. Σ.

НБ ОНУ імені І.І. Мечникова

Σ. 220. Ζάκοτον] Διὰ τὸ ὑπόδραξ ὁρᾷν· ἄφρονα δὲ, διὰ τὸ ἀκίνητον τοῦ σκήπτρου. Σ. Β.

Σ. 221. Ὄπα τε μεγάλην κ. τ. λ.] Ἱστορεῖται δὲ καὶ ἀσκεῖσθαι τὴν μεγαλοφωνίαν τοὺς παλαιούς. — Ἵει] Τὸ δὲ ἵει λείπεται προθέσεως, ταὐτὸν ὂν τῷ, ἀφίει. Ε. — Δὴ ὄπα τε — στήθεος εἴη. Β.

Σ. 222. Ἔπεα νιφάδεσσιν] Τὸ δὲ ἔπεα νιφάδεσσιν ἐοικότα εἴρηται διὰ τὸ τάχος τῶν νοημάτων, διὰ τὸ πυκνόν. Ε. — Τὴν συνεχῆ καὶ σύντονον φράσιν τοῦ Ὀδυσσέως νιφάδων βολῇ εἰκάζει. Σ.

Σ. 223. Ἐρίσσειε] Φιλονικήσειε, ἐξισωθείη. Σ.

Σ. 224. Ἀγασσάμεθα] Οὐχ οὕτως τότε τοῦ Ὀδυσσέως ἐθαύμασα μὲν τὸ εἶδος, ὡς τοὺς λόγους. Σ.

Σ. 226. Ἠΰς] Πλατὺς, ἀφ᾽ οὗ γενναῖος. Σ.

Σ. 228. Τανύπεπλος] Περιτεταμένον ἔχουσα τὸν πέπλον ἕως ἄκρων ποδῶν καθειμένον καὶ καθικνούμενον, μέγαν. Πέπλος δὲ κυρίως τὸ γυναικεῖον ἱμάτιον. Σ.

Σ. 230. Ἰδομενεύς] Τὸν δ᾽ Ἰδομενέα δείκνυσιν ἡ Ἑλένη μηδὲν ἐρωτηθεῖσα περὶ αὐτοῦ. Σ. — Θεὸς ὥς] Τῷ κάλλει· τὸ δὲ Κρήτεσσι προσέθηκεν, ὅπως φανῇ μὴ δελεασθεῖσα· ἢ τοῖς τρόποις αὐτὸν ἐχαρακτήρισεν, ὡς εἰδὼς (Ἰ. εἰδυῖα, Β. Σ.) τῇ συνεχεῖ ξενείᾳ. Σ.

Σ. 232. Πολλάκι μιν ξείνισσεν] Τοῦτο δὲ καὶ διὰ πιθανότητα λόγου κεῖται· πῶς γὰρ ἂν ἡ Ἀργία Ἑλένη τὸν οὕτως ἀπῳκισμένον νησιώτην ἄλλως ἐγίνωσκεν, εἰ μὴ θαμὰ ἐκεῖνος παρ᾽ αὐτῆς ἐξενίζετο. Ε.

Σ. 238. Αὐτοκασιγνήτω] Ἴδ. Β, 706.

Σ. 239. Ἑσπέσθην] Ἐσπέσθην. Β.

Σ. 241. Νῦν δ᾽ αὖτ᾽] Νῦν αὖτ᾽. Β.

Σ. 243. Φυσίζοος] Ἡ φύουσα τὰ πρὸς ζωὴν χρήσιμα. Ε. — Κατέχε αἶα, (Ἴδ. Ὀδυσσ. Λ, 299. Πινδ. Νέμ. Ι, 102. Ἀπολλ. Γ, 11. 2. σελ. 733.).

Σ. 245. Ὅρκια πιστά] Οὐ μόνον αὐτοὶ οἱ ἔνορκοι λόγοι, ἀλλὰ καὶ τὰ ἐν ὅρκοις χρειώδη. — Τοιοῦτον καὶ τὸ, σύναγον ὅρκια, ἤγουν συνῆγον τὰ εἰς ὅρκον χρήσιμα. (Ἴδ. 269.) Ε.

Σ. 246. Οἶνον εὔφρονα] Οἶνος δὲ εὔφρων, ὁ εὐφραντικὸς καὶ ὡς ἀλλαχοῦ ἐρεῖ, μελιηδύς. Ε.

Σ. 247. Ἀσκῷ ἐν αἰγείῳ] Τὸ δὲ ἀσκῷ ἐν αἰγείῳ διὰ

НБ ОНУ імені І.І. Мечникова

πολυπειρίαν τοῦ ἀκροατοῦ παρέῤῥιπται, ἵνα μὴ λανθάνῃ τὸν
ἀκούοντα, ὡς ἐκ προβάτου μὲν οὐκ ἂν ἀσκὸς εὔχρηστος γέ-
νοιτο, ἐξ αἰγὸς δέ. — Γενικὴ δέ τις λέξις ὁ ἀσκός, εἴγε καὶ
ἄνθρωπος ἀποδαρῆναί που εἰς ἀσκὸν ἱστόρηται. Ε.

Σ. 249. Ὤτρυνε] Ὤτρυνεν, ἐσπούδαζε, παρώρμα. Β.

Σ. 252. Καταβῆναι] Ἐφ' ὕψους γάρ ἐστιν ἡ πόλις. Σ. —
Πίστις δὲ ἐνταῦθα προκαταβέβληται τῆς μετὰ ταῦτα διφρείας
τοῦ γέροντος, ἣν καὶ ἐν τῷ τέλει τῆς Ἰλιάδος ἀναγκαίως ποιή-
σεται λυσόμενος Ἕκτορα. Ε. — Τάμητε. Β.

Σ. 257. Νέωνται] Νέονται. Ε.

Σ. 259. Ῥίγησε δ' ὁ γέρων] Ῥιγῶ μὲν ῥιγώσω, ἐπὶ τοῦ
κατὰ σῶμα πάθους ἐκ κρύους· ῥιγῶ δὲ ῥιγήσω, ἐπὶ τοῦ κατὰ
ψυχὴν δέους, καὶ τῆς ἐντεῦθεν φρίκης· ὁ γοῦν γέρων Πρίαμος
ἔπαθε τὴν ψυχὴν οἷα πατήρ. Ε. — Ἑταίρους] Ἑταίροις. Β.

Σ. 262. Δίφρον] Δίφρος δὲ τόπος τοῦ ἅρματος, ὁ τοὺς
ῥηθέντας φέρων. — Ἀπ' αὐτοῦ δέ, ὡς καιριωτέρου μέρους, καὶ
τὸ ὅλον ἅρμα δίφρος ἐλέγετο. Ε. — Βήσατο. Β.

Σ. 263. Ἔχον] Ἤλαυνον. Σ.

Σ. 265. Ἐξ ἵππων ἀποβάντες] Τὸ τοῦ ἅρματος καταβῆ-
ναι ἵππων ἀποβῆναί ἐστι. Ε.

Σ. 270. Μίσγον] Κρατῆρι οἶνον μίσγουσιν οἱ κήρυκες τὸν τῶν
Ἀχαιῶν καὶ τὸν ἐκ Τροίας, εἰς ἓν ἄγοντες αὐτόν. — Τοῖς
γοῦν βασιλεῦσιν ὕδωρ ἐπὶ χεῖρας χέεται, ὡς μέλλουσι θύειν. Ε.

Σ. 271. Μάχαιραν] Τὴν τοῦ βασιλέως παραξιφίδα μάχαι-
ραν καλεῖ. Σ. Τὸ παρὰ τὸ ξίφος μικρὸν μαχαίριον. Σ.

Σ. 272. Ἄωρτο] Ἤγουν ἠώρητο καὶ ἐκρέματο· καὶ κα-
τὰ συγκοπὴν τοῦ η, καὶ συστολῇ τῆς ἀρχούσης, ἄωρτο· εἰ
δὲ συστέλλεται κατά τινας τὸ ο τῆς παραληγούσης, δηλοῖ
μὲν καὶ οὕτως τό, ἐκρέματο. Ε.

Σ. 274. Νεῖμαν ἀρίστοις] Ἔνειμε τοῖς τῶν Τρώων καὶ
Ἀχαιῶν ἀρίστοις διὰ τῶν κηρύκων, ἵνα οὕτω πάντες δοκῶσι
συνεφάπτεσθαι τῆς θυσίας· σύμβολον δὲ ἦν τοῦτο τοῦ εἰς κε-
φαλὴν τραπήσεσθαι τὰ κακὰ τοῖς ἐπιορκήσουσι. Ε.

Σ. 276. Ζεῦ πάτερ] Σημείωσαι δέ, ὅτι οὐδεμία δικαία
εὐχὴ παρὰ τῷ ποιητῇ ἀργὴ πίπτει, ἀλλὰ πᾶσαι ἀνύονται,
ὡς πολλαχοῦ αὐτὸς ἱστορεῖ. — Πάντας οὖν ἐπικαλεῖται θεούς,
καὶ τοὺς ἁπανταχοῦ, τούς τε ἐμφανεῖς, καὶ τοὺς ἀφανεῖς. — Τοὺς
ἐν ὑγροῖς, τοὺς περὶ γῆν, τοὺς ὑπὸ γῆν. — Καὶ τὸ πᾶν ἐπαγεί-

НБ ОНУ імені І.І. Мечникова

μεν τοῖς ἐπιόρκοις. Ε. — Ἴδηθεν μεδέων] Τῆς Ἴδης βασιλεύων, ἢ ἐξ Ἴδης, ὥς τινες· τὸ γὰρ θεν μόριον ἤτοι παρέλκεται, ἢ ἀντὶ τοῦ τῆς ἐξ προθέσεως λαμβάνεται. Σ.

Σ. 277. Ἠέλιός θ'] Τὸν ἥλιον δὲ ταμίαν τῶν ὅρκων ἐνταῦθα καλεῖ, ὡς πάντα ἐφορῶντα. Διὸ καὶ Βιθυνοί, ὡς Ἀῤῥιανὸς ἱστορεῖ, δίκας ἐδίκαζον καθεζόμενοι ἀντίοι τοῦ ἡλίου, ὡς ἂν ὁ θεὸς ἐποπτεύοι. Ε.

Σ. 278. Ὑπένερθεν] Ἤτοι ἐν ᾅδου, καὶ ὑπὸ τὴν ἔραν, ἤγουν τὴν γῆν, τῶν ἐνταῦθα οὐκ εὖ βεβιωκότων. Ε. — Καὶ καταχθόνιοι δαίμονες· λέγει δὲ Πλούτωνα, Περσεφόνην καὶ τὰς Ἐριννῦς.

Σ. 279. Τίννυσθον] Τιμωρεῖσθε. — Δυϊκῷ δὲ ἀριθμῷ κέχρηται, ἔστι γὰρ ὁ λόγος πρὸς Πλούτωνα καὶ Περσεφόνην. Ε. — Τίνυσθον. Β.

Σ. 281. Εἰ μέν κεν . . . καταπέφνῃ] Ἐὰν μὲν φονεύσῃ. Δ.

Σ. 286. Τιμήν] Πρόστιμον τοῦ πολέμου, ποινῆς. Δ.

Σ. 288. Εἰ δ' ἂν . . . παῖδες] Ἐνίκησε μὲν οὖν ἐν τοῖς ἐφεξῆς ὁ Μενέλαος, οὐκ ἀπέκτεινε δὲ τὸν Ἀλέξανδρον, καὶ διὰ τοῦτο ἔχουσιν ἀντιλέγειν οἱ Τρῶες καὶ οἱ Ἀχαιοί, καὶ λέγεται ἡ ὑπόθεσις κατὰ τοὺς ῥήτορας ἀντινομία, ἑκατέρου μέρους προβάλλεσθαι δυναμένου τὰ ἑκατέρων ῥητὰ πρὸς δικαίωσιν, οἷον ἐρεῖ ὁ Μενέλαος· εἶπας, ὦ Ἀλέξανδρε, εἰ νικήσω· νενίκηκα οὖν· ἀποδοτέα μοι τοίνυν ἡ Ἑλένη· ὁ δ' αὖθις ἀπολογίαν πορισάμενος ἐξ Ἀγαμέμνονος εἰς παράβασιν τῶν συνθηκῶν, ἀντερεῖ, ὅτι ἐάν με κτείνῃς, ἐῤῥέθη παρὰ τοῦ Ἀγαμέμνονος, σὺ δέ με οὐκ ἔκτεινας· οὔκουν λήψῃ τὴν Ἑλένην· ἰσχυροτέρα δὲ κατὰ τοὺς παλαιοὺς ἡ τῶν Τρώων ἀπολογία, διότι μάλιστα δὴ (δεῖ), φασιν, ὁρᾷν τὰ ἐπὶ τοῖς ὅρκοις ὁριζόμενα· ὅτι δὲ ἀληθῶς νενίκηκεν ὁ Μενέλαος, καὶ ἄλλως μὲν δῆλον, ἀποφαίνεται δὲ τοῦτο καὶ ὁ ἐν τοῖς ἑξῆς εἰπών· νίκη μὲν δὴ φαίνεται Ἀρηϊφίλου Μενελάου, ἤγουν φανερῶς δήλη ἐστίν (στ. 457).

Σ. 290. Μαχέσσομαι] Μαχήσομαι. Β.

Σ. 291. Κιχείω] Ἤγουν, ἕως ἐκτελέσω τὸν πόλεμον. — Οὐκ ἀρκεῖται ὁ βασιλεὺς μόνῃ τῇ Ἑλένῃ, ἐὰν ὁ Ἀλέξανδρος πέσῃ, οὔτε τοῖς ἐκείνῃ συναρπαγεῖσι κτήμασιν, εἰ μή τι καὶ ἐπέκεινα λάβῃ, ἤγουν ποινήν, ἣν ἐπέοικεν, ὅπερ ἑρμηνεύων

НБ ОНУ імені І. І. Мечникова

φησίν, ἢ καὶ ἐσσομένοισιν ἐν ἀνθρώποισι πέληται· οὐδ' οὕτως αὐτὴν ὁρίσας, ἵνα ὕστερον ἔχῃ μάχης εὐλόγους λαβάς, διὰ τὸ τῆς τιμῆς ἤτοι ποινῆς ἀόριστον· ἣν δ' ἂν ἴσως ποινὴ ἀρέσκουσα τῷ βασιλεῖ τὸ, ἄνδιχα δάσασθαι ὅσην κτῆσιν ἡ Τροία ἐντὸς ἐέργει· ὁποῖόν τι ἔθος ἐν τοῖς ἑξῆς που ὑπολαλεῖ ὁ ποιητής· τὸ δὲ αὖθι μένων καὶ ἑξῆς, περίφρασίς ἐστι τοῦ πολιορκεῖν. Ε.

Σ. 292. Ἀπὸ στομάχους] Οὐ λαμβάνει τὸν στόμαχον κατὰ τὴν νῦν συνήθειαν, ἀλλὰ κατὰ τὴν τότε· στόμαχοι γάρ φησι, τὰ κάτω μέρη τοῦ λαιμοῦ, οἱ βρόγχοι, καὶ στομάχοιο ἀλλαχοῦ θέμεθλα, ἡ φάρυγξ, ἢ καὶ στόμα κοιλίας. Ε.

Σ. 293. Ἀσπαίροντας] Τὸ δὲ σφαδάζειν καὶ σπᾶσθαι αὐτοὺς ἐν τῷ σφάζεσθαι, ἀσπαίρειν λέγει, ὡς ἐκ τοῦ σπῶ σπαίρω, κατὰ πλεονασμὸν τοῦ ᾱ. Ε. — Ψυχοῤῥαγοῦντας, σκαρίζοντας. Σ. (Ἴδ. Ἡρόδοτ. Η, κεφ. 5, καὶ 58. Β.).

Σ. 294. Δευομένους] Ἐνδεομένους καὶ χρήζοντας τοῦ θυμοῦ, ὅ ἐστι τῆς ψυχῆς, τεθνηκότας. Σ.

Σ. 295. Ἀφυσσάμενοι] Ἀπαντλήσαντες. Σ.

Σ. 299. Ὑπὲρ ὅρκια πημήνειαν] Τὸ δὲ ὑπὲρ ὅρκια πημήνειαν, περίφρασίς ἐστι τοῦ ἐπιορκήσειαν· δῆλον δὲ, ὅτι πήμανσις ὅρκων, ἐστὶν ἡ τούτων παράβασις. Ε. — Ὑπερόρκια. Β.

Σ. 301. Μιγεῖεν] Ἔνθα ὅρα καὶ ὅπως ἐν μεγάλῳ κακῷ τίθενται οἱ ὄχλοι τὸ, ὑπ' ἄλλοις γενέσθαι τὰς αὐτῶν ἀλόχους. Ε. — Ἄλλοισι δαμεῖεν. Β. (Εὐστάθ. δαμεῖεν, ἢ μιγεῖεν).

Σ. 306. Ἐπεὶ οὔπως] Ἐπειδὴ οὐδαμῶς. Δ. — Τλήσομ'] Νοητέον δὲ, οἷον ἔσται πένθος ὕστερον τῷ γέροντι ἐπὶ τῷ Ἕκτορι· εἰ γὰρ τὸν Πάριν οὐ τλήσεται ὁρᾷν μαχόμενον, πῶς οἴσει βλέπων τὸν Ἕκτορα, καὶ τοῦτο ποιοῦντα καὶ πίπτοντα καὶ ὑπὸ Ἀχιλλέως ἀεικιζόμενον. — Σημείωσαι δὲ, ὅτι πιθανῶς ὑποχωροῦντα ποιεῖ τὸν γέροντα Πρίαμον ὁ ποιητὴς, ἵνα μὴ παρὼν ἀνάγκην σχοίη τελέσαι τὰ τῶν ὅρκων, καὶ οὕτω κακοήθης ἡ ποιητικὴ γένηται διασκευή. Ἀποδημοῦντος γὰρ, οὐ μὴ παρόντος τοῦ συνετωτάτου Πριάμου συγχεθήσεται πιθανῶς τὰ ὅρκια· καὶ οὕτως εὐοδωτέρα ἡ τῆς ποιήσεως ἔσται περιπέτεια. — Τὸ δὲ οὔπω (Εὐστάθ.) τλήσομαι ἀσύνηθες τοῖς ὕστερον· ἐνταῦθα μὲν γὰρ τὸ οὔπω ταὐτόν ἐστι τῇ οὐ ἀρνήσει· ἐκεῖνοι δὲ τὸ οὔπω χρονικὸν οἴδασιν· οἷον, οὔπω ἦλθεν, ἀλλὰ δηλαδὴ ἐλεύσεται. Ε. — Ἐπειδὴ οὐδαμῶς. Σ. — Οὔπω. Β.

НБ ОНУ імені І.І. Мечникова

Σ. 310. Ἐς δίφρον ἄρνας θέτο] Τὰ ἐπὶ ὅρκοις σφαγιαζόμενα οἱ μὲν ἐγχώριοι κατώρυττον κρύπτοντες ὑπὸ γῆν, οἱ δὲ ἐπήλυδες, εἰ καὶ Ὅμηρος νῦν τοῦτο σιγᾷ κατὰ σχῆμα σύνηθες, θαλάσσῃ ἀπέῤῥιπτον, ἢ ἄλλο τι ὅμοιον ἐποίουν, ὡς ἐκ τοῦ κάπρου δῆλον ἔσται, ὃ ἐπὶ ὅρκῳ σφάξει που ὁ βασιλεὺς (Τ, 267.)· γεύσασθαι δὲ αὐτῶν ὅλως ἀπώμοτον ἦν· διὸ καὶ Πρίαμος τοὺς τῶν ὁρκίων ἄρνας εἰς δίφρον αὐτὸς θέμενος ἀνεχώρησεν· ἅμα καὶ κατορύξων αὐτούς, καὶ τοῖς πολίταις δὲ ἄνω δείξων διὰ τὸ τοῦ ἔργου θαυμάσιον, καὶ ἵνα καὶ οὕτω γένηται τῶν ὅρκων ταμίας. Ε.

Σ. 311. Κατὰ δ' ἡνία τεῖνεν] Κατατείνειν ὀπίσω τὰ ἡνία λέγει τὸν ἡνίοχον. Ε.

Σ. 312. Βήσατο] Βήσετο. Β.

Σ. 315. Διεμέτρεον] Διαμετρεῖται καὶ τόπος τῇ Ἀλεξάνδρου καὶ Μενελάου μονομαχίᾳ, διὰ τὸ αὐτοῖς ἐγκεῖσθαι τὸν ἐπὶ πᾶσι κίνδυνον· καὶ δόξοι ἂν ἡττηθῆναί πως ὁ παρεξελθὼν τόν, ὥς φησιν ὁ ποιητής, διαμετρητὸν χῶρον· ἐπὶ μέν τοι Ἕκτορος καὶ Αἴαντος ἐν τοῖς ἑξῆς τοῦτο οὐ γίνεται· ἴδιος γάρ ἐστιν ἐκεῖ τοῦ παθόντος ὁ κίνδυνος· πάλλουσι δὲ καὶ κλήρους ἐν κυνέῃ, ὁππότερος προαφήσει τὸ ἔγχος. Σ.

Σ. 316. Πάλλον] Τοῦ δὲ πάλλειν ῥήματος οὐκ ἔστι καιριωτέρα λέξις, ὡς ἐν ποιήσει· παρὰ δὲ τοῖς ὕστερον, ἀπὸ τοῦ κλήρου, καὶ τὸ κληροῦν, καὶ τὸ κληροῦσθαι λέγεται. — Ἔστι δὲ κλῆρος σημεῖον, ὅ τις ἐμβαλεῖ τῷ ἀγγείῳ τοῦ λαχμοῦ· ψηφὶς τυχὸν, ἢ δακτύλιος, ἢ βῶλος ἀρούρης, ἤ τι τοιοῦτο· τὸ δὲ αὐτὸ καὶ πάλος λέγεται. Ε.

Σ. 317. Ὁππότερος κ. τ. λ.] Ὥστε μὴ θόρυβον ἐμπεσεῖν τοῦ ἑτέρου φθάσαντος διὰ τῆς πρώτης βουλῆς ἀνελεῖν τὸν πολέμιον. Σ. — Ἀφ' εἴη. Β.

Σ. 320. Ζεῦ πάτερ, Ἴδηθεν μεδέων] Τρῶες κατ' Ἀλεξάνδρου ταῦτά φησιν· ὅρα δὲ ὡς εὐπαίδευτος ὁ τοῦ λαοῦ λόγος, ἐν τῷ, ὁππότερος τάδε ἔργα ἔθηκεν· εὐφήμως γὰρ ἔργα λέγει τὰ πολλὰ κακὰ, ὧν αἴτιος ὁ Ἀλέξανδρος, οὐ μὴν ὁ Μενέλαος. Ε.

Σ. 321. Ἔθηκε] Ἔθηκεν, ἐποίησεν. Β.

Σ. 325. Ἄψ] Ἤγουν ὀπίσω ὁρῶν, ἵνα μὴ δόξῃ κακουργῆσαί τι. — Καὶ τὰ μὲν τῆς τύχης ἐνταῦθα φιλοτίμως ἔχει τῷ ἅρπαγι· ὑπερτερήσει δὲ ἀρετῇ ὁ ἀγαθὸς Μενέλαος. Ε.

Σ. 327. Ἵπποι ἀερσίποδες] Ἐν τῷ ἔνθα ἵπποι ἀερσίποδες κ.τ.λ.

КБ ОНУ ім. І.І. Мечникова

ἐξ ἀναλόγου νοητέον, ἐν τῷ, ἵπποι, τὸ, ἵσταντο· οὐ γὰρ ἔκειντο καὶ οἱ ἵπποι. — Ἀερσίποδες δὲ, οἱ λίαν ταχεῖς καὶ ὠκύποδες ἢ ἀελλόποδες, καὶ, ὡς εἰπεῖν, κουφόποδες· ἐκ τοῦ ἀείρω ἀέρσω· ἀείρεσθαι δέ ἐστι, τὸ εἰς ἀέρα κουφίζεσθαι. Ε. — Αἴροντες εἰς ὕψος τοὺς πόδας ταχεῖς· ζωγραφικῶς δὲ ἐκτετύπωκε τοῦτο· τοιοῦτον γὰρ οἱ κωλυόμενοι τρέχειν ἵπποι· καί ἐστιν ἰδίωμα. Σ.

Σ. 328. Ἐδύσατο] Ἐδύσετο. Β.

Σ. 330. Κνημῖδας] Κνημῖδες δὲ καὶ νῦν ὅπλον σκέπον τὰς κνήμας, ἀφ᾽ ὧν καὶ παρονομάζονται· τούτων τὰ ἄκρα ἐπισφύρια λέγεται, ὡς τοῖς τῶν ποδῶν κάτω σφυροῖς προσαρμόζοντα. Ε.

Σ. 331. Ἀραρυίας] Τοῖς καλύπτουσι δηλαδὴ τὰ σφυρά. Ε. — Ἐπὶ τοῖς ἀργυρέοις ἀστραγάλοις αὐτοῦ εὖ ἡρμοσμένα. — Ἐπισφυρίοις] Ὁπλισμὸν διδάσκει διὰ τούτου· ἐπισφύρια δέ εἰσιν οἱ γλουτοὶ (γλυμμοὶ Εὐστάθ.), ἤτοι τὰ τῶν σφυρῶν σφαιρώματα. Σ. Β.

Σ. 333. Κασιγνήτοιο] Οἰκεῖον γὰρ οὐκ εἶχε θώρακα πρόχειρον· παρδαλέη γὰρ περιέκειτο τοῖς ὤμοις αὐτοῦ, ὅτε ἐκ Τροίας κατέβη· ἵνα δὲ μὴ δόξῃ τοῦτο αἴτιον ἥττης τῷ Πάριδι, ὡς ἀπροσφυοῦς ἴσως ὄντος τοῦ θώρακος, φησὶ, ἥρμοσε δ᾽ αὐτῷ προδεδοκιμασμένος οἷα εἰκός. Ε.

Σ. 334. Βάλετο] Ἐβάλετο. Δ. Ἔνθα καὶ ὅρα καὶ ὅτι θώρακα δύνειν, καὶ ἔντεα δύνειν λέγει· ξίφος δὲ ἀμφιβαλέσθαι, ὥσπερ καὶ σάκος. Ε. — Ὤμοισιν. Β.

Σ. 335. Σάκος] Εἴρηται δὲ Σάκος, ἐπειδὴ παρὰ πρώτοις Σάκαις εὕρηται. Σάκαι δὲ ἔθνος Θρᾴκης. Σ.

Σ. 336. Κυνέην] Δηλοῖ δὲ κυνέην δορὰν, ἤγουν κυνὸς ποταμίου, σκέπουσαν τὰς κεφαλὰς τοῖς παλαιοῖς· ὕστερον δὲ ἡ μὲν τοιαύτη ὕλη τοῦ σκεπάσματος ἠμελήθη, τὸ δ᾽ ὄνομα οὐκ ἐκλέλοιπεν· ἀλλὰ καὶ τὸ ἐξ ἄλλης ὕλης ἔρυμα τῆς κεφαλῆς κυνέη καλεῖται. Ε.

Σ. 337. Ἵππουριν] Ἵππουρις δὲ, ἡ ἄνω ἔχουσα περὶ τὸν λόφον τρίχας ἐξ ἵππων οὐρᾶς· ὅπερ ἐγίνετο διὰ τὸ φοβερώτερον· — ἔνθα δῆλον, ὡς ὁ λόφος ἀκροτάτη κόρυς ἐστὶν, ὁμωνυμῶν τῷ τοῦ ὄρους λόφῳ· — τὴν δὲ ἵππουριν καὶ ἱπποδάσειαν ἐρεῖ. Ε.

Σ. 345. Ἀλλήλοισι] Ἀλλήλοισιν. Β.

Σ. 346. Πρόσθε] Νῦν πρῶτος. Σ.

Σ. 347. Πάντοσ' ἐΐσην] Πάντοσε ἴσην. Ε.

Σ. 348. Χαλκόν] Τινὲς δὲ γράφουσιν, οὐδ' ἔῤῥηξε χαλκός, ἤγουν, οὐ διεπέρασε τῆς τοῦ Μενελάου ἀσπίδος, ὁ κατὰ τὸ δόρυ τοῦ Ἀλεξάνδρου σίδηρος· ἰστέον δὲ, ὡς αἰχμὴ κυρίως ἡ ἐπιδορατὶς, ἤγουν τὸ ξίφος τοῦ δόρατος· — ἀπὸ δὲ αὐτοῦ, ὡς χρησιμωτάτου μέρους καὶ ἅπαν τὸ δόρυ αἰχμὴ συνήθως καλεῖται· — αἰχμὴ δὲ ἀπὸ τοῦ σιδήρου. (ἴδ. Α, 236.) Ε. — Χαλκός. Β.

Σ. 350. Μενέλαος, ἐπευξάμενος] Μενέλαος μὲν εὔχεται ξενίῳ Διὶ κατὰ τοῦ ἅρπαγος μοιχοῦ, τίσασθαι καὶ δαμάσειν ἐκεῖνον· πέποιθεν γὰρ, ὡς δίκαια τὰ τῆς εὐχῆς. Ἀλέξανδρος δὲ, εἰδὼς ἄδικα εὔξεσθαι κατὰ τοῦ Μενελάου, οὐ παῤῥησιάζεται, ἀλλὰ σιωπᾷ· τί γὰρ ἂν εἴη τέλος ἀδίκου εὐχῆς; Ε.

Σ. 354. Ξεινοδόκον] Τὸ δὲ ξεινοδόκος παροξύνεται διὰ τὴν ἐν αὐτῷ νοουμένην ἐνέργειαν· τὰ γὰρ παρὰ ῥῆμα σύνθετα ὀνόματα παροξύνεται μὲν, ὅτε ἐνέργειαν ὑπισχνεῖται· προπαροξύνεται δὲ, ὅτε πάθος· εἰ μὴ κανόνες κωλύοιεν, οὓς παρατίθεται Ἡρωδιανός· λιθοβόλος μὲν οὖν παροξυτόνως, ὁ λίθον βάλλων, προπαροξυτόνως δὲ, ὁ λίθῳ βεβλημένος· καὶ πρωτοτόκος μὲν, ἡ πρώτως τεκοῦσα, πρωτότοκος δὲ ὁ πρῶτος τεχθεὶς, οὕτω καὶ ξεινοδόκος, ὁ ξένους δεχόμενος ἐνεργητικῶς. Ε.

Σ. 355. Ἀμπεπαλών] Ἀνατείνας, ἀνασείσας. Σ.

Σ. 356. Πάντοσ' ἐΐσην] Πάντοσε ἴσην. Β.

Σ. 357. Ὄμβριμον] Ὄβριμον. Β.

Σ. 358. Ἠρήρειστο] Ἐνηρμόσθη καὶ ἐνεπάγη.

Σ. 359. Ἀντικρύ] Ἐξ ἐναντίας· διαφέρει δὲ τὸ ἀντικρὺ τοῦ ἄντικρυς, προπαροξυτόνως· τὸ μὲν γὰρ ἀντικρὺ δηλοῖ τὸ ἐξ ἐναντίας, τὸ δὲ ἄντικρυς, τὸ φανερῶς. Σ. — Γίνεται δὲ ἡ λαπάρα, δι' ἧς ὁ κενεὼν δηλοῦται, παρὰ τὸ λάπτω, τὸ ἐκκενῶ. — Λαπάρην] Ὁ λαπαχθεὶς τόπος καὶ κενὸς ὀστῶν. — Διάμησε] Ἤτοι ῥᾷον διέκοψε, καὶ οἷον ἐθέρισε· κυρίως γὰρ ἐπὶ θέρους τὸ ἀμᾷν. Ε.

Σ. 362. Ἀνασχόμενος] Ἴδ. Α, 450. — Φάλον] Φάλος δὲ κόρυθος, ἀσπιδίσκιον, ἢ ἀστερίσκος τις, προμετωπίδιος λευκὸς καὶ λαμπρὸς, ἐκ τοῦ φάλιον, τὸ λευκόν. Ε. — Τὸ προμετωπίδιον ἀνάστημα τῆς περικεφαλαίας· ἔστι δὲ προκόσμημα· γέ-

НБ ОНУ імені І.І. Мечникова

γνονται γὰρ ἐπὶ τῶν περικεφαλαιῶν λαμπρότατοί τινες ἧλοι, ἕνεκα προκοσμήματος. Σ.

Σ. 363. Τριχθά κ. τ. λ.] Εἰς τρία καὶ τέσσαρα μέρη. Σ.

Σ. 365. Ὀλοώτερος] Ἕτοιμοι πρὸς βλασφημίαν οἱ δυστυχοῦντες. Σ.

Σ. 367. Ἐν χείρεσσ' ἐάγη] Ἐν χείρεσσιν ἄγη. Β.

Σ. 369. Κόρυθος λάβεν ἱπποδασείης] Εἷλκε τὸν Πάριν μετ' Ἀχαιούς, λίαν ἀγχινούστατα ἐν ἀπόροις εὐπορήσας καὶ μηχανὴν εὐτυχῶς ἐξευρηκὼς κατὰ τοῦ ἐχθροῦ. Ὅρα γάρ, ὡς ἐζώγρησεν οἷον αὐτὸν ὁ Μενέλαος, καὶ περιγέγονεν ἂν καὶ εἰς τέλος ἐκείνου κατὰ κράτος, εἰ μὴ τὰ τῆς ἱστορίας ἐκώλυε· νῦν δὲ ἡ διασκευὴ μέχρι τοῦ εἰκότος προχωρήσασα ἡττηθῆναι μὲν ἐκεῖνον ποιεῖ, καὶ οὕτω καταισχύνει, οὐ μὴν τολμᾷ καὶ τὴν ἐκείνου ἀναίρεσιν. Ὅρα δὲ καὶ ὅτι τὸ ἱπποδησείης κόρυθος λαβεῖν, ἤγουν, ἅψασθαι, ὡς ἐπὶ τριχῶν κεφαλῆς εἴρηται, καὶ ἔστιν ἀστεῖα ἡ περιπέτεια, εἰ ἀπὸ τοιούτου ὅπλου ὁ Πάρις κινδυνεύει. Ε.

Σ. 371. Ἄγχε δέ μιν κ. τ. λ.] Ἀστείως ταῦτα πλάττει ὁ ποιητὴς σκώπτων τὸν Ἀλέξανδρον· ἱμάντι τε γὰρ αὐτὸν ποιεῖ ἑλκόμενον, κατὰ τοὺς αἰχμαλώτους, καὶ τὴν αὐτοῦ δειρὴν ἁπαλὴν λέγει, ὡσανεὶ καὶ γυναικός· καὶ ἄλλως τε κεστῷ ἄγχεται, ὡς θεράπων Ἀφροδίτης, ἧς φόρημα κεστός. Ἰστέον δέ, ὅτι ὥσπερ κεστὸς ὁ κεντητὸς καὶ ποικίλος, οὕτω πολύκεστος ὁ πολυκέντητος, καὶ πολυποίκιλτος, ὅπερ καὶ τοῦ ῥαγῆναι τὸν ἱμάντα αἴτιον γέγονεν· εἰ γὰρ καὶ βοὸς ἦν ἶφι κταμένοιο, ἤγουν σφαγέντος ἐν νεότητι καὶ ἰσχύϊ, ἀλλὰ διὰ τὸ πολυκέντητον, καὶ οὕτω πολυδιαίρετον ἕτοιμος ἦν εἰς ῥῆξιν· — ἔτι ἰστέον καὶ ὅτι τὸ μὲν ἱμάς, προσηγορικόν ἐστιν, ἐπίθετον δὲ αὐτοῦ, τὸ πολύκεστος, ὥστε καὶ ὅταν εἴπῃ κεστός, ἐπίθετόν ἐστιν ἱμάντος τὸ ὄνομα, λείποντος τοῦ προσηγορικοῦ· ὥσπερ καὶ ἐνταῦθα ἡ τρυφάλεια περικεφαλαίας οὖσα ἐπίθετον, ἀντὶ αὐτῆς ἐκείνης λαμβάνεται. — Πολύκεστος] Διὰ τὸ πολυῤῥαφὴς εἶναι. Ε.

Σ. 372. Ὑπ' ἀνθερεῶνος ὀχεύς] Ὅρα δὲ καί, ὡς τὸν ἀνθερεῶνα σαφῶς ὑπέγραψεν· ὅπου γὰρ ὁ τῆς περικεφαλαίας ὑποτέταται ὀχεύς, ἐκεῖ ἐστιν ὁ ἀνθερεών· ὀχεὺς δὲ οὐ μόνον ἐπὶ μοχλοῦ θύρας, ἀλλ' ἰδοὺ καὶ ἱμὰς ὁ συνεκτικὸς τῆς περικεφαλαίας, ἀπὸ τοῦ ἔχειν παρηγμένος. — Τρυφαλείης] Τρυφάλειαν λέγει, ἄρτι ὡς τρεῖς φάλους ἔχουσαν. Ε.

НБ ОНУ імені І.І. Мечникова

Σ. 374. Τοῦτο τοῦ μύθου] Ἡ δὲ καθ' ἱστορίαν ἀλληγορία βούλεται συνωμότας τινὰς ἑταίρους ἡλικιώτας τῷ Ἀλεξάνδρῳ συνασπίσαντας λάθρα ὡς ἐν ἠέρι, ἤγουν, ἀορασίᾳ, ἐκ μέσου θεῖναι αὐτόν. Ε.

Σ. 378. Ῥίψ'] Ἔῤῥιψε τὴν Ἀλεξάνδρου περικεφαλαίαν εἰς τοὺς Ἀχαιοὺς Μενέλαος, λάφυρον οἷον ἐξ ἐκείνου ταύτην κερδάνας. Ε.

Σ. 381. Ἠέρι] Ἠέρα δὲ τὴν σκότωσιν, ἤτουν τὸν ἀφώτιστον ἀέρα μυριακοῦ κατὰ θηλυκὸν γένος φησίν· οὕτω δὲ καὶ τὴν αἰθέρα λέγει. Ε. — Ἀορασίᾳ, Σκοτίᾳ. Ε.

Σ. 382. Κηώεντι] Τὸν τοῦ Ἀλεξάνδρου θάλαμον ἀνδρὸς τρυφεροῦ, εὐώδεα λέγει καὶ κηώεντα, ὅ ἐστι τεθυμιαμένον, παρὰ τὸ κῆαι, ἤγουν, καῦσαι καὶ θυμιάσαι. Ε.

Σ. 385. Νεκταρέου ἑανοῦ] Ἴδ. Φ, 507.

Σ. 388. Ἤσκειν] Τὸ ἀσκεῖν ἐπὶ ἐπιμελείας τῆς διὰ χειρῶν ὁ ποιητὴς τίθησι· οἷον ἤσκειν ἔρια καὶ πτύξασα καὶ ἀσκήσασα χιτῶνα (Ὀδυσσ. Α, 439.) — Ταὐτὸν δὲ τὸ κομεῖν καὶ τὸ ἀσκεῖν· διὸ εἰπὼν συνθέτως γραῖάν τινα εἰροκόμον. — Ἰστέον δὲ, ὅτι τὸ ἤσκειν μετὰ τοῦ ν γράφουσιν οἱ παλαιοὶ, καὶ μετὰ τὴν συναίρεσιν τοῦ ἤσκεε· δοκεῖ δὲ Ἰωνικῶς οὕτω λέγεσθαι. Ε.

Σ. 391. Δινωτοῖσι] Δινωτοῖς δὲ λέγει τοῖς τορνωτοῖς· δῖνος γὰρ ὁ τόρνος Ε. — Λέχεσσι] Ταῖς ποικίλαις κοίταις. Μ. — Ἤτοι πεποικιλμέναις ἢ κατὰ συστροφὴν τετορνευμέναις (ἴσως κοίταις). Σ. (ἴδ. στ. 448.)

Σ. 392. Κάλλεϊ στίλβων] Ταῦτά φησιν, ἵνα μὴ μυσαχθῇ αὐτὸν διὰ τὸ λύθρον. Σχολ. Β. (Ἀθήν. μύροις ἀλειφόμενος Α, κεφ. 15).

Σ. 395. Ὄρινε] Διετάραξε, Τουτέστιν εἰς ἔρωτα αὐτὴν ἤγαγε. Σ.

Σ. 398. Θάμβησέ τ'] Θάμβησεν. Β.

Σ. 399. Δαιμονίη τί με ταῦτα λιλαίεαι ἠπεροπεύειν] Ἐπιθυμεῖς ἐξαπατᾷν. Σ.

Σ. 400. Προτέρω πολίων] Δηλοῖ τὸ πο῾ῤῥωτέρω που τῶν Φρυγιακῶν πόλεων· Φρυγίας δὲ μέμνηται κἀνταῦθα τῆς ποῤῥωτέρω καὶ μεγάλης, οὐ μὴν τῆς μικρᾶς· περὶ ἣν καὶ ἡ Τροία ἡ τὴν Ἑλένην ἄρτι ἔχουσα.

Σ. 402. Εἴ τις τοί κ.τ.λ.] Ἑαυτὴν δέ πως ἐν τούτοις ἡ Ἑλένη ἐπαινεῖ, ὡς λαμπρὰν καὶ ἀξιέραστον, ἐὰν οὕτως αὐτὴν ἡ



НБ ОНУ імені І.І.Мечникова

Ἀφροδίτη τοῖς φιλουμένοις διαπέμπηται, ὡς λόγου δηλονότι ἀξίαν δωρεάν. Ε.

Σ. 406. Ἧσο παρ' αὐτὸν ἰοῦσα] Τὸ δὲ ἧσο παρ' αὐτὸν ἰοῦσα, καὶ τὸ, οἴζυε, μεμέρισται, τὸ μὲν πρὸς τὸ, ἕως ἄλοχόν σε ποιήσεται· τὸ δὲ, πρὸς τὸ, ἢ ὅγε δούλην· ἀλόχου μὲν γὰρ, τὸ παρακαθῆσθαι τῷ ἀνδρί· δούλης δὲ, τὸ περὶ τὸν δεσπότην οἰζύειν, ὅ ἐστι κακοπαθεῖν. Ε. — Ἀπόειπε κελεύθους] Ἀπάρνησαι δὲ καὶ ἐπιλάθου δι' αὐτὸν τὴν σὴν διαγωγὴν τῶν θεῶν. Σ.

Σ. 410. Νεμεσσητόν] Νέμεσιν εἶναι ὑπογράφει ὁ ποιητὴς τὸν ἐκ πάντων δίκαιον μῶμον. Ε.

Σ. 411. Πορσυνέουσα λέχος] Δῆλον, ὅτι πορσύνειν λέχος τὸ συγκοιτάζεσθαι· (ἴδ. Α, 30. 31.) γράφεται δὲ καὶ πορσανέουσα, ὡς ἀπὸ τοῦ πορσαίνω ῥήματος· ποιητικὰ δὲ καὶ ἄμφω, καὶ δηλοῦσι τὸ παρέχειν καὶ εὐτρεπίζειν. Ε. — Πορσανέουσα. Β.

Σ. 412. Ἄκριτα] Ἀδιαχώριστα, πολλά. Σ.

Σ. 415. Ἔκπαγλα] Ἐκπληκτικῶς, ἐξόχως. Σ.

Σ. 416. Μητίσομαι] Βουλεύσομαι, μηχανήσομαι. Σ.

Σ. 419. Κατασχομένη] Τὸ κατασχομένη κ. τ. λ. ἀνάπαλιν ἔχει πρὸς τὸ ἀνασχομένη, ὃ δηλοῖ, τὸ ἀνατείνασα· εἴη δ' ἂν κατασχέσθαι ἑανῷ, τὸ προκαλύψασθαι τὴν παρειάν· — ἀργῆς δὲ ἑανὸς, ὥσπερ καὶ κεραυνὸς, ὁ λευκός· — φαεινὸς δὲ ὁ λεπτὸς καὶ διαφανής. Ε.

Σ. 422. Ἀμφίπολοι] Σπουδὴν δουλίδων δηλοῖ τὸ, ἀμφίπολοι. κ. τ. λ. Ε.

Σ. 426. Ἔνθα κάθιζ' Ἑλένη] Σημείωσαι δὲ καὶ, ὅτι πολυειδὴς ἐνταῦθα ἡ τῆς Ἑλένης ὁμιλία· καὶ γὰρ καὶ διαθρύπτεται ὄσσε πάλιν κλίνασα, ἤγουν ἔμπαλιν στρέψασα καὶ ἐπαρᾶται τῷ ἀνδρὶ, ὡς ὀφείλοντι ὀλέσθαι· καὶ χαλαιπῶς ὀνειδίζει καὶ σκώπτει ὡς ἀλαζωνικὸν, εἴγε καυχώμενος πρὶν Μενελάου κρείττων εἶναι, εἶτα νῦν συμμίξας, ἔφυγεν, ἀπαλλάξας κακῶς· καὶ σεμνύνει δὲ τὸν πρότερον ἄνδρα, κρατερὸν καλοῦσα, καὶ ξανθὸν καὶ ἀρηΐφιλον, καὶ κατὰ πάντα προφερέστερον Ἀλεξάνδρου· προσποιεῖται δὲ καὶ κήδεσθαι αὐτοῦ, κολακευτικώτερον διὰ φόβον δηλαδή· — πικρῶς λαλοῦσα οἷς τε ὑποβιβάζει τὸν Πάριν τῷ Μενελάῳ, καὶ οἷς ἀφραδέως αὐτὸν λέγει μάχεσθαι. Ε.

Σ. 427. Ὄσσε πάλιν κλίνασα] Ἔστι δὲ ὄσσε πάλιν κλί-

НБ ОНУ імені І.І. Мечникова

νειν τὸ ἀποστρέφειν, καὶ ὡς οἷον εἰπεῖν στραβίζειν· ἐπεὶ καὶ ἐκ τοῦ στρέφειν γίνεται καὶ ὁ στρεβλὸς καὶ ὁ στραβός. Ε. — Ἠνίπαπε] Ἠνίπαπεν· (ἴδ. Β, 245. Χ. 497.).

Σ. 428. Ἤλυθες ἐκ πολέμου!] Ἑλένη μὲν πρὸς Ἀλέξανδρον, ἤλυθές φησιν ἐκ πολέμου, καὶ τὰ ἑξῆς· ἠθικῶς πάνυ πάντα εἰποῦσα· ὁ δὲ, οὐ μόνον ψευδῶς ἀπολογεῖται οἷ οἷα ψεύστης καὶ αὐτὸς κατὰ τοὺς ἀδελφοὺς, εἰπὼν, ὅτι σὺν Ἀθηνᾷ ἐνίκησεν ὁ Μενέλαος· μάλιστα γὰρ αὐτὸς σὺν Ἀφροδίτῃ σέσωσται· — τό δὲ ἤλυθες ἐκ πολέμου, καλὸν μὲν καὶ εἴπερ ἐρωτᾶται· κάλλιον δέ ἐστιν ἀποφαντικῶς ἀναγνωσθέν· ὡς οἷα βαρυνομένης τῆς γυναικὸς, εἰ σέσωσται ὁ κακός. Ε.

Σ. 434. Ξανθῷ] Ἔπαινος δὲ κόμης παρὰ τοῖς παλαιοῖς τὸ ξανθόν· διὸ καὶ ἡλιώδης κόμη, καὶ ἡλιῶσα ἡ τοιαύτη, καὶ χρυσέα δέ. Ε.

Σ. 436. Ἀφραδέως] Ὅ ἐστι κακοβούλως. Ε. — Ἀπροόπτως, ἀπείρως. Σ. — Δαμείης] Δαμασθῇς. Β.

Σ. 440. Κεῖνον δ' αὖτις ἐγώ] Ἐν δὲ τῷ κεῖνον δ' αὖτις ἐγὼ, κατὰ κοινοῦ νοεῖται τὸ νικήσω, σιγηθὲν ἴσως ὑπὸ τοῦ Πάριδος, ἵνα μὴ γελοῖος τῇ ἐρωμένῃ δόξῃ, ὡς τὸ μὲν ἐνεστὼς προέμενος, εἰς δὲ τὸ μέλλον θαῤῥῶν, ὅπερ ἴσον ἀπραξία λέγεται· παραμυθία δὲ ὅμως τοῦ τοιούτου λόγου τὸ, παρὰ γὰρ θεοί εἰσι καὶ ἡμῖν· ὡς μὴ ἀδύνατον ὂν νικῆσαι καὶ αὐτὸν, κατὰ τὸν Μενέλαον. Ε. — Πάρεισι καὶ ἡμῖν θεοὶ συμμαχοῦντες καὶ συναγωνιζόμενοι. Σ.

Σ. 441. Τραπείομεν] Τὸ δὲ τραπείομεν, ἢ ἀντὶ τοῦ μεταβληθῶμεν, μετατραπῶμεν ἐκ μίσους τοῦ νῦν εἰς φιλίαν, ὡς ἀπὸ τοῦ τρέπω, ἢ μᾶλλον ἀπὸ τοῦ τέρπω, ἀντὶ τοῦ τερφθῶμεν, ἡδυνθῶμεν τῇ φιλότητι· ὃ διασαφῶν ἐπάγει τὸ, εὐνηθέντε. (ἴδ. Ὀδυσσ. Θ, 292.) Ε. — Εἰς εὐφροσύνην τραπῶμεν. Σ. — Κινδυνεύσας δὲ ὑπὲρ αὐτῆς, ὡς νικήσας, τῶν ἐπινικίων ἀπολαύειν ἀξιοῖ. Σ. Β.

Σ. 442. Ἀμφεκάλυψεν] Τὸ δὲ ἀμφεκάλυψεν πρὸς νέφους εἴρηται ὁμοιότητα, καθὸ καὶ ὁ ἔρως τὸν τῆς ψυχῆς ἥλιον ζοφοῖ. Ε. (ἴδ. Ρ, 591.).

Σ. 443. Πρότερον] Πρῶτον. Β.

Σ. 445. Νήσῳ δ' ἐν Κρανάῃ] Ὅρα δὲ καὶ, ὅτι κατὰ τὴν Ὁμηρικὴν ἱστορίαν, οὐκ ἐν Σπάρτῃ τὴν ἀρχὴν ἐμίγη Ἀλέ-



НБ ОНУ імені І.І. Мечникова

ξανδρος τῇ Ἑλένῃ, σπεύδων, ἵνα μὴ καταφανὴς γένηται, ἀλλ' ἐν Κραναῇ νήσῳ· ἄδηλον δέ φασιν, εἴτε κύριον τῆς νήσου τὸ ὄνομα, διὰ τὸ κρανθῆναι ἤτοι τελειωθῆναι ἐπ' αὐτῆς τὸν γάμον, εἴτε τραχεῖα ἐπιθετικῶς εἴρηται· τινὲς νοοῦσι τὰ Κύθηρα, νῆσον Ἀφροδίτης ἱεράν· οἱ δὲ τὴν λεγομένην νῆσον Ἑλένην, πρὸς τῇ Ἀττικῇ οὖσαν ἐγγυτάτω τῆς Κέω κατὰ τὸν Γεωγράφον (Θ, σελ. 275. Ι, 334. Α. 41.) ὑπὸ τῆς Ἑλένης ὁμωνύμως κληθεῖσαν, διότι ταύτης πρῶτον ἐπέβη, ὅτε ἡρπάγη. Ε. — Ἦλθεν εἰς Σιδῶνα τῆς Φοινίκης, κἀκεῖ γάμου κοινωνίαν ποιησάμενος, ἧκεν ἔχων αὐτὴν εἰς Ἴλιον. Σ. — Ἐν δὲ τῇ τραχείᾳ νήσῳ ἐμίγην. Μ.

Σ. 447. Ἧρχε] Ἄρχε. Β.

Σ. 448. Τρητοῖσι] Τετρυπημένοις πρὸς τὴν τῶν σχοινίων θέσιν. Σ.

Σ. 449. Θηρὶ ἐοικώς] Θῆρα κατ' ἐξοχὴν ἐνταῦθα λέγει τὸν λέοντα. Ε. — Θηρί] Ἄγρας ἀφῃρημένῳ. Σ. Β.

Σ. 450. Ἐσαθρήσειεν] Ἐς ἀθρήσειεν. Β.

Σ. 454. Ἀπήχθετο] Τουτέστιν ἐμισεῖτο ἴσα καὶ θανάτῳ. Ε.

Σ. 456. Τρῶες καὶ Δάρδανοι] Φασὶν οἱ παλαιοί, εἰς δύο διῃρῆσθαι τὴν τῶν Τρώων ἀρχήν, ἀπὸ Ἀσσαράκου καὶ Ἴλου ἀνέκαθεν· ὕστερον δὲ κληθῆναι τὸ μέν τοι μέρος ἀπὸ τοῦ Δαρδάνου, τὸ δ' ἐκ τοῦ Τρωός. Ε.

Σ. 457. Φαίνετ'] Ἔστι δὲ τὸ φαίνεται οὐ δικαστικόν, ὡς ἀντὶ τοῦ ἔοικεν, ἀλλὰ μάλιστα βεβαίωσιν δηλοῖ, εἰλημμένον ἀντὶ τοῦ φανερόν ἐστι καὶ ἐκφανές. Ε.

Σ. 459. Ἔκδοτε] Τὸ δὲ ἔκδοτε ταὐτόν ἐστι τῷ ἀπόδοτε, ἤγουν, χρεωστικῶς δότε· τοιοῦτο γὰρ κυρίως τὸ ἀποδοῦναι. Κ.

# ΣΧΟΛΙΑ

ΕΙΣ ΤΗΝ

# ΤΟΥ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ.

## ῬΑΨΩΙΔΙΑ, Ἡ ΓΡΑΜΜΑ Δ.

Σ. 1. Οἱ δὲ κ. τ. λ.] Κοινὴ ἡ ἐπιγραφὴ ἥδε· ὁρκίων σύγχυσις καὶ ἐπιπώλησις Ἀγαμέμνονος· οἱ δὲ σχολιασταὶ πολλαχοῦ μέμνηνται καὶ χωρίς τινος προσθήκης τῆς ἐπιπωλήσεως· ἤγουν ἐν τῇ Δ ῥαψῳδίᾳ. — Ἐπιπώλησις δὲ καλεῖται, διότι ἐν αὐτῇ ἐπιπωλεῖται στίχας ἀνδρῶν ὁ βασιλεύς· (στ. 231. καὶ 250.) — Βουλεύεται ὁ ποιητὴς πῶς ἂν εὐμηχάνως αὖθις συνάψῃ τὸ τῆς μάχης διασπασθὲν, καὶ οὐδὲν αὐτῷ εὕρηται πιθανώτερον ἄλλο, καὶ εὐπλαστότερον, ἢ τὸ συγχεθῆναι τοὺς ὅρκους παρά τινος τῶν Τρώων. Ἐπεὶ δὲ πάντες ἐμίσουν τὸν Ἀλέξανδρον ἶσα κηρὶ μελαίνῃ, ὡς προείρηται, (Γ, 454.), ἐπιλέγεται εἰς τοῦτον τὸν κατάρατον Πάνδαρον. Καὶ τοίνυν τοῦ Ἀγαμέμνονος ἀξιώσαντος δίκαια, οἱ μὲν ἄλλοι πάντες μέλλουσιν· ἀντειπεῖν οὐκ ἔχοντες. Πάνδαρος δὲ βάλλει λάθρα τὸν Μενέλαον· καὶ ἐπ' αὐτῷ προεξανίστανται τῶν Ἑλλήνων οἱ Τρῶες, νομίσαντες, ὡς εἰκὸς, βασιλικὸν εἶναι τοῦτο βούλημα· καὶ οὕτω συνάγονται πιθανῶς εἰς πόλεμον τὰ στρατεύματα. Εὐστ.

Σ. 2. Χρυσέῳ] Τὸν ἐν ἄλλοις πολύχαλκον (οὐρανὸν) διὰ τὸ στερεὸν, ὧδε πολύχρυσον πλάττει, διὰ τὸ καλόν. — Δάπεδον] Χωρίον ὁμαλὸν εἰς διατριβὴν ἀνεθέν· ὅπερ ἐν Ὀδυσσείᾳ (Δ, 627.) καὶ τυκτὸν λέγει δάπεδον, ἐν ᾧ οἱ μνηστῆρες γυμνάζονται· δύναταί τε κἀνταῦθα ὥς που καὶ κατὰ Ὀδύσσειαν,

τὸ ἐντὸς οἰκίας ἐμβαδὸν, δάπεδον λέγεσθαι· ὡς μὴ μόνον αἴθριον, ἀλλὰ καὶ ὑπορόφιον εἶναι δάπεδον.—῞Ηβη] ῞Ηβη δὲ οἰνοχοεῖν λέγεται νέκταρ τοῖς ἄνω, διὰ τὸ ἀγύρω καὶ ἀεὶ νεάζοντα εἶναι τὰ θεῖα, καὶ οἷον ἡβάσκοντα. Κύριον δὲ μυθικῶς ὄνομα ἐνταῦθα ἡ ῞Ηβη, θυγάτηρ ῞Ηρας, Ἡρακλεῖ συνοῦσα· ἑτέρως μέντοι πρὸς ἀλήθειαν ἀνθρώπου ἡλικίαν ἡ λέξις δηλοῖ, ὅτε τριχοῦνται αὐτῷ τὰ ἐκ νέων ἄτριχα· διὸ καὶ ἀπότριχες ἐλέγοντο οἱ ἄνηβοι. Ε.

Σ. 3. Νέκταρ ἐῳνοχόει] Οὕτω Ἡροδιανός· Ζηνόδοτος δὲ ἐνῳνοχόει γράφει, διὰ προθέσεως. Ε.

Σ. 4. Δειδέχατ'] Τὸ δὲ δειδέχατο, ἤγουν ἐδεξιοῦντο, ῥῆμα σύνηθες Ἰωνικὸν, τὴν παρὰ τοῖς ὕστερον πρόποσιν δηλοῖ· προπίνουσι γὰρ ἀλλήλοις κατὰ τὸ καὶ παρὰ Ῥωμαίοις ἔθος, οἱ ἀλλήλους δεπάεσσι δεξιούμενοι. Ε.

Σ. 6. Παραβλήδην] Τὸ παραβλήδην δηλοῖ τὸ ἐκ παραβολῆς καὶ συγκριτικῶς.—Ὁ δὲ λόγος τῆς παραβολῆς, ἤγουν συγκρίσεως, ἦν, ὅτι δοιαὶ μὲν Μενελάῳ ἀρηγόνες εἰσὶ θεάων κ. τ. λ.—Ἔχει δὲ τὸ κέρτομον ὁ λόγος, οὐ μόνον διότι τὰς δύο συγκρίνει τῇ μιᾷ, ἀλλὰ καὶ ὅτι ἐκείνων τῶν δύο ἡ μὲν τοῖς Ἀργείοις ἐπονομάζεται· διὸ καὶ ἐπικουρεῖν ἐκείνοις ὀφείλει· Ἀθηνᾶ δὲ, ἀλκῆς καὶ μένους οὖσα ἐπώνυμος, ὅμως ἀγεννῶς ἐκθηλύνεται· Ἀφροδίτη δὲ, ἡ φιλομειδὴς, κρεῖττόν τι ἔχει ἐκείνων.—Ὅρα δὲ, ὅτι ἡ σύγκρισις οὐκ ἀνδρειοτέραν τῶν δύο τὴν μίαν εἶναι συνάγει· πῶς γὰρ ἐὰν καὶ μόνη ἀλλαχοῦ Ἀθηνᾶ τὴν Ἀφροδίτην ἀχρείαν ἐκφαίνει·—ἀλλ' ἡ ἀγωγὴ αὕτη τῆς συγκρίσεως ἐπιμελεστέραν ποιεῖ τῶν δύο τὴν μίαν· εἴπερ αὗται μὲν χωρὶς κάθηνται· ἡ δὲ Ἀφροδίτη τῷ Ἀλεξάνδρῳ ἀεὶ παραμέμβλωκεν, ἤτοι παραμεμέληκε, καὶ διὰ φροντίδος γίνεται, ἢ μάλιστα παραμεμόληκε, καὶ ἐγγὺς μολεῖ· ἐγγύτητα γὰρ ἡ παρὰ πρόθεσις δηλοῖ·—(παραμένει, πάρεστιν. Σ.)—καὶ αἱ μὲν θέας τέρψιν ποιοῦνται τὴν μάχην· ἡ δὲ ἀμύνει τὰς κῆρας τῷ Πάριδι. Ε.—Παραβλήδην, Ἀπολλόν. οἷον ἐξαπατητικῶς. Β.

Σ. 7. Ἀρηγόνες] Τὸ δὲ ἀρηγὼν λέγεται μὲν καὶ ἀρωγός· γίνεται δὲ ἀπὸ τοῦ Ἄρης. Ε.

Σ. 8. Ἀλαλκομενηΐς] Ἡ ἀλάλκουσα τῷ μένει, ὅ ἐστι βοηθεῖσα· ἢ ἐν Ἀλαλκομεναῖς, πόλει τῆς Βοιωτίας τιμωμένη· ἔνθα καὶ Ἀλαλκομένειον Ἀθηνᾶς ἱερόν· ἢ ἀπὸ τοῦ Ἀλαλκομενίου ὄρους τῆς Ἀττικῆς· ἢ ἡ παρὰ Ἀλαλκομένει τραφεῖσα τῷ Βοιω-

НБ ОНУ імені І.І. Мечникова

τῷ. Σ. — Τοῦτο ὄνομα Κέκροψ αὐτῇ ἐπιτέθεικε πρῶτος, καὶ οὕτως ἐτίμησε. Σ. Β. (Ἴδ. Στράβ. Θ, σελ. 283.). — Ἀλαλκομενηΐς. Β.

Σ. 12. Ὀϊόμενον] Σημείωσαι δὲ, ὅπως πάνυ δεξιῶς, μεθοδεύει τὴν τῶν ὅρκων σύγχυσιν ὁ ποιητὴς, οὐκ ἐξ ἐπιταγῆς τοῦ ὁρκίου Διὸς, ὃς καὶ τῶν ὅρκων ταμίας ἐστὶν, ἀλλ' ἐκ τοῦ κατὰ τὴν Ἥραν χόλου, ὃν ἐκ τοῦ ῥηθέντος κερτόμου ἐρεθισμοῦ αὐτὴ μετ' ὀλίγα πείσεται. Ε.

Σ. 20. Ἐπέμυξαν] Ἀντὶ τοῦ μεμυκόσι χείλεσι ποιὸν ἦχον διὰ τῆς ῥινὸς ἀπετέλεσαν δυσχεραίνουσαι· ἔστι δὲ μύζειν, ὡς καὶ ὁ κωμικὸς δηλοῖ, (Θεσμοφ. στ. 231.) τὸ τὴν φωνὴν τοῦ μ στοιχείου ἐκφωνεῖν· ἐκ δὲ τοῦ μύζειν καὶ ὁ μυκτὴρ λέγεται, καὶ ὁ μυγμός. — Οὕτω δὲ καὶ ἀπὸ τοῦ ρ παρηχεῖται ὁ ῥοῖζος, καὶ ἀπὸ τοῦ σ ὁ σιγμός. Ε. — Μεμυκόσι τοῖς χείλεσιν ὑπεστέναξαν, ὃ πάσχουσιν οἱ ὀργιζόμενοι, καὶ μηδὲν ποιεῖν δυνάμενοι. Σ.

Σ. 22. Ἀκέων] Οὐκ ἔστι τὸ ἀκέων ἐπίῤῥημα ἀντὶ τοῦ ἡσύχως, ἀλλ' ἀντὶ τοῦ ἀκέουσα εἴρηται Ἀττικῶς — ταὐτόν ἐστι τῷ ἀκήν· — ἐνταῦθα δὲ ὅρα καὶ ὅτι ἔστι ποτὲ σιγᾷν καὶ διὰ θυμὸν πολύν. Ε.

Σ. 23. Σκυζομένη] Ὀργιζομένη· καὶ οἱ ὀργιλώτατοι Σκῦθαι καλοῦνται. Σ. Β.

Σ. 24. Οὐκ ἔχαδε] Τὸ δὲ οὐκ ἔχαδε, δηλοῖ μὲν τὸ ὑπεχώρησε· — ὡς ἐπὶ ἀγγείου δέ τινος εἴρηται τὸ οὐκ ἔχαδε στῆθος χόλον. Ε. — Ἥρῃ. Β.

Σ. 32. Ἀσπερχές] Ἔστι δὲ ἀσπερχὲς τὸ πολυσπούδαστον. Ε. — Ἀδιαλείπτως. Σ. (Θεόκρ. σελ. 227. ἔκδ. Βάλκ.).

Σ. 35. Βεβρώθοις] Τὸ θέμα βεβρώθω. Ε.

Σ. 37. Ἔρξον, ὅπως ἐθέλεις] Ἰστέον δὲ, ὅτι ἔρξον, ὅπως ἐθέλεις περιφραστικὴ ἑρμηνεία ἐστὶ τοῦ ἔρδε. Ε.

Σ. 40. Μεμαώς] Τὸ μεμαὼς ταὐτόν ἐστι τῷ μισῶν περὶ κῆρι· — τὸ δὲ πόλιν· — ἐκγεγάασι, περίφρασίς ἐστι τοῦ πόλιν φιλουμένην σοι. Ε.

Σ. 42. Διατρίβειν] Ἔστι δὲ διατρίβειν τὸ παρατείνειν καὶ ὑπερβιβάζειν· οὕτω καὶ ἡ Πηνελόπη διατρίβειν λέγεται τοῖς μνηστῆρσι τὸν γάμον (Ὀδυσ. Β, 204.) Ε. — Παρέλκειν, ἀναβάλλεσθαι. Σ. — Μαλάσσειν· ἡ μεταφορὰ ἐκ τοῦ κηροῦ. Σ. Β. Ἐμποδίζειν, κωλύειν. Ἐτυμ. Μ.

Σ. 43. Ἐγώ σοι δῶκα] Τὸ δὲ ἐγώ τοι δῶκα, ἢ ἀπολύτως ἀντὶ τοῦ παρεχώρησα, ἢ ἀντὶ τοῦ ἐδωρησάμην σοι πόλιν φίλην μοι, τὴν Τροίαν δηλαδὴ, ὡς προϊὼν αὐτὸς ἑρμηνεύσει.— Ἑκὼν] Τὸ δὲ ἑκὼν ἀέκοντί γε θυμῷ, ἔπεσε μὲν εἰς κοινὴν παροιμίαν τὴν, ἑκὼν ἀέκων τόδε τι πεποίηκα· — δῆλον, ὡς πολλάκις μὴ προηγησαμένης προαιρέσεως, γίνεταί τι, ὃ πῆ μὲν ἐθέλομεν, πῆ δὲ οὔ· οὕτω καὶ οἱ τὰ φορτία ἐν κλύδωνι ἀποβάλλοντες, πῶς μὲν ἑκόντες δρῶσι, τῷ δέει γὰρ τοῦ κινδύνου· πῶς δὲ ἑκόντες, ἵνα γὰρ σωθῶσι· καὶ ἑκόντες μὲν, ἀποβάλλουσιν, ἄκοντες δὲ ζημιοῦνται. Ε.

Σ. 45. Ναιετάουσι] Κατοικοῦνται. (ἴδ. Β, 626.).

Σ. 47. Ἐϋμμελίω] Τὸ δὲ εὐμελίω συνεκόπη ἀπὸ Ἰωνικοῦ τοῦ εὐμελίεω. Ε. — Τοῦ εὖ ποτε τῇ μελίᾳ χρησαμένου, πολεμικοῦ. Σ. (Ἀπολλόν. Α, 96.).

Σ. 52. Ἄργος τε . . . Μυκήνη] Ἡ διπλῆ, ὅτι τούτων τῶν πόλεων ἕνεκα συνεμάχει τοῖς Ἕλλησι, οὐ διὰ τὸ ἀποκεκρίσθαι ὑπὸ Ἀλεξάνδρου τὸ κάλλος αὐτῆς, ὅπερ οὐκ οἶδεν Ὅμηρος. Σ. Β.

Σ. 54. Πρόσθ' ἵσταμαι] Τὸ δὲ πρόσθεν ἵσταμαι, ὅμοιόν ἐστι τῷ προΐσταμαι. Ε. — Προΐσταμαι, ὑπερμαχῶ. Σ. — Οὔ τοι. Β.

Σ. 55. Φθονέω τε] Τὸ δὲ φθονεῖν ταὐτὸν μὲν κατὰ πολυωνυμίαν τῷ μεγαίρειν· σαφέστερον δὲ ἐκείνου· — ἔστι δὲ νῦν φθονεῖν τὸ μέμφεσθαι καὶ ἐμποδίζειν. Ε.

Σ. 58. Γένος δέ μοι ἔνθεν, ὅθεν σοί] Ἰστέον, ὅτι τὸ γένος δέ μοι ἔνθεν, ὅθεν σοι, παράφρασίς ἐστι τοῦ, ἀδελφή σοί εἰμι. Ε.

Σ. 59. Πρεσβυτάτην] Ὅ ἐστι τιμιωτάτην. Ε. (ἴδ. Β. σελ. 40.)

Σ. 64. Ἐπιτεῖλαι] Ἀντὶ τοῦ ἐπίτειλον, ὅ ἐστι πρόσταξον· διὸ περισπωμένως δεῖ ἀναγινώσκειν· ἔστι γὰρ ἀπαρέμφατον ἀντὶ προστακτικοῦ. Σ.

Σ. 66. Πειρᾶν θ'] Τὸ πειρᾶν ἐνεργητικῶς Ἀττικοὶ ἐπὶ τῆς εἰς γυναῖκα ἐπιχειρήσεως λέγουσιν· οἷον πειρᾷ ὁ δεῖνα τὴν δεῖνα· τὸ δὲ πειρᾶσθαι παθητικὸν, ἀντὶ τοῦ ποιεῖσθαι ἀπόπειραν. Ὅμηρος μέν τοι τὸ πειρᾶσθαι, πειρᾶν ἐνταῦθά φησιν ἐνεργητικῶς, εἰδὼς καὶ τὴν παθητικὴν χρῆσιν. Ε. — Ὑπερκύδαντας] Τὸ ὑπερκύδαντας δηλοῖ τοὺς ἄγαν ἐνδόξους. Ε. —

НБ ОНУ імені І.І. Мечникова

Ὑπεράραντας τῇ δόξῃ διὰ τὴν Μενελάου νίκην. Σ. — Μεγάλως γαυριάσαντας ἐπὶ τῇ Μενελάου νίκῃ. Σ. Β.

Σ. 67. Ὅρκια δηλήσασθαι] Δηλήσασθαι δὲ ὅρκια περιφραστικῶς τὸ ἐπιορκῆσαι, ὅπερ ἐστὶ βλάβη ὅρκων· ὡς γὰρ καρπὸν δηλεῖταί τις ἀπάγων ἐκεῖνον (Α, 156.), οὕτω καὶ ὅρκου δηλητήριον ὁ ἀφανισμὸς καὶ τὸ αὐτοῦ ἄπρακτον· ἔστι δ' ἐν τούτοις καὶ προθέσεως ἔλλειψις· τὸ γὰρ Ἀχαιοὺς ἄρξωσι καὶ ἑξῆς, ταὐτόν ἐστι τῷ ἀρχὴν ποιήσωσιν εἰς τοὺς Ἀχαιοὺς τοῦ παραβαθῆναι τοὺς ὅρκους. Ε. Ὑπερόρκια. Β.

Σ. 73. Πάρος μεμαυῖαν] Καὶ πρότερον προθυμουμένην. Ε.

Σ. 75. Ἀστέρα] Ἀστέρα δὲ νῦν οὐ τὸν κυρίως λέγει, ἀλλὰ τί ἀστεροειδές· οἷον, κομήτην, ἢ σκηπτοῦ τι εἶδος· ἢ ὁποῖοι οἱ διάττοντες, ὧν ἡ γένεσις ἀέρος στροφή. Ε. — Ἰστέον δὲ, ὅτι οἱ θεαταὶ ἀμφιβάλλοντες, ὡς εἰκὸς, ἐπὶ τῷ φανέντι τέρατι, διὰ μὲν τὸ πυρόεν τοῦ δῆθεν ἀστέρος, μάχην καυστηρὰν ὑφορῶνται· ὅτι δὲ ἔσβεσται, φιλότητα καραδοκοῦσι καὶ παῦσιν πολέμου. — Ἰστέον δὲ καὶ νῦν, ὅτι ἀστὴρ μὲν ἕν τί ἐστι σῶμα, ἄστρον δὲ, ζώδιόν τι ἐκ πολλῶν ἀστέρων συγκείμενον. Ε.

Σ. 79. Θάμβος εἰσορόωντας] Ὅτι θάμβος ἡ διὰ θέας ἐμβιβαζομένη ἔκπληξις εἰς ψυχήν. Ε.

Σ. 84. Ταμίης — τέτυκται] Ἤγουν, ὃς λόγῳ εἱμαρμένης διοικονομεῖται τὰ κατὰ μάχην. Ε.

Σ. 86. Κατεδύσαθ'] Καταδύσεθ'. Β.

Σ. 87. Λαοδόκῳ Ἀντηνορίδῃ] Καλῶς τούτῳ εἰκάσθη· παρέβη γὰρ καὶ ἕτερον νόμον οὗτος πρὸ τοῦ νῦν· βούλεται δὲ παραβῆναι καὶ τοῦτον τὸν νόμον, ἤτοι τῶν σπονδῶν· εἰ γὰρ ἕτερος ἦν ὁ συμβουλεύων, ἔφη ἂν ὁ Πάνδαρος, διὰ τί μὴ καὶ σὺ παραβήσῃ τοὺς ὅρκους; — αἰσχροκερδὴς δὲ οὗτος, καὶ τοὺς ἵππους οἴκοι καταλιπὼν, φειδοῖ τροφῆς· ἀμύμονα δὲ αὐτὸν λέγει τῷ σώματι, ἢ τῇ τέχνῃ, ἢ τῷ γένει· οὐ γὰρ τοιοῦτος τοῖς τρόποις ἦν· ὡς μικρολόγον τοίνυν καὶ πεισόμενον ὑποσχέσει δώρων αὐτὸν ζητεῖ. — Ἐφεύροι. — Ἀθηνᾶν δὲ νῦν ὑποληπτέον τὸν λογισμὸν αὐτὸν τὸν τοῦ Πανδάρου, καὶ ὅτι αὐτὸς πρὸς ἑαυτὸν ταῦτα διελογίζετο· ἄπιστοι γὰρ Λυκάονες, ὡς καὶ Ἀριστοτέλης μαρτυρεῖ. Σ. Β.

Σ. 88. Ἐφεύροι] Ἐφ' εὕροι. Ε.

НБ ОНУ імені І.І. Мечникова

Σ. 91. Αἰσήποιο] Ὁ Αἴσηπος ποταμὸς τῆς ὑπὸ Ἴδην Λυκίας. Σ.

Σ. 93. Ἠ ῥά νύ μοί τι πίθοιο] Ὅτι ἀρίστου ἦν χρεία, τοῦ δυναμένου τρῶσαι καὶ καταστοχάσασθαι· οὐκ ἦν δὲ ἐν τῷ Τρωϊκῷ μέρει τις, πλὴν ἢ Ἀλέξανδρος καὶ Πάνδαρος εὐφυεῖς οὕτως, ὡς καὶ ἐπιφωνῆσαι τὸν ποιητήν· Πάνδαρος ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκεν (Β, 827.), ὃ σημαίνει τὴν τοξικὴν, καὶ ὡς ἄριστον αὐτὸν ἐπελέξατο τοξότην. Σ.

Σ. 95. Πᾶσι δέ κε Τρώεσσιν] Ἀντὶ τοῦ, παρὰ πάντων τῶν Τρώων. Σ.

Σ. 100. Ὀΐστευσον Μενελάου] Ἐν δὲ τῷ ὀΐστευσον Μενελάου, λείπει πρόθεσις, τὸ γὰρ ἐντελὲς, κατὰ Μενελάου. Ε.

Σ. 101. Λυκηγενέϊ] Τῷ ἐν Λυκίᾳ τιμωμένῳ, γεγεννημένῳ. Φασὶ γὰρ, ὅτι λαθεῖν σπουδάζουσα ἡ Λητὼ τὴν Ἥρας ζηλοτυπίαν, εἰς Λυκίαν ἀπιοῦσα, ἐγέννησεν ἐκεῖ τὸν Ἀπόλλωνα. Σ. — Ἄλλως· ὅτι ἀπὸ τῆς Τρωϊκῆς Λυκίας, ἐξ ἧς ἐστιν ὁ Πάνδαρος. Ἄλλως· Λυκηγενῆ αὐτὸν προσηγόρευσεν, οὐχ ὡς ἐν Λυκίᾳ γεγεννημένον· ἔξω γάρ ἐστι τῆς Ὁμηρικῆς ἀναγνώσεως ὁ νεώτερος οὗτος μῦθος, ἀλλ᾽, ὥσπερ, οἶμαι, τὴν ἡμέραν ἠριγένειαν ὀνομάζει, τὴν τὸ ἦρος (ἴσως ἦρι; ἴδ. Ἀπολλών.) γεννῶσαν, τουτέστι, τὸν ὄρθρον, οὕτως Λυκηγενῆ τὸν ἥλιον προσηγόρευσεν, ἐπειδὴ τοῦ κατὰ τὴν ὀρθρίαν ὥρας λυκαυγοῦς αὐτός ἐστιν αἴτιος. Σ. Β.

Σ. 103. Ζελείης] Ἡ δὲ ῥηθεῖσα Ζέλεια, ὡς καὶ προεγράφη (Β, 824.) ὑπὸ τῇ Ἴδῃ, τῷ Τρωϊκῷ ὄρει ἔκειτο· ἐκαλεῖτο δὲ καὶ Λυκία τὸ παλαιὸν, καὶ Τροία μικρά. Ε.

Σ. 104. Πεῖθεν] Τούτου καὶ τὸ ἔθνος φύσει ἐπίορκόν τε καὶ ἄπιστον· ἐκ πατέρων γὰρ ἱστοροῦσιν αὐτὸν τοιούτων κατάγεσθαι. Ε. — Ἄφρονι] Ἀνοήτῳ. Δ. Ὅτι θεοὺς ἐκάλει εἰς τὴν κατὰ θεῶν πρᾶξιν.

Σ. 105. Αὐτίκ᾽ ἐσύλα τόξον] Τὸ αὐτίκ᾽ ἐσύλα τόξον, καὶ αὖθις, τὸ σύλα πῶμα φαρέτρης, (Ν, 116.) τὸ λάθρα ὑποψηλαφᾷν, σημείωσαι ὥστε τὸ τοξεῦσαι. Ε. — Ἐγύμνου, ἐξέβαλε τῆς θήκης. Σ. — Ἀναπαύων ὁ ποιητὴς ἐνταῦθα τὸν ἀκροατὴν ἐπεισοδίῳ κυνηγετικῷ ἱστορικῷ, γενεαλογεῖ τε τὸ ῥηθὲν τοῦ Πανδάρου τόξον, καὶ ἐκφράζει αὐτό. Ε. — Ἰξάλου αἰγός] Ἤτοι τελείου, ἢ πηδητικοῦ καὶ ὁρμητικοῦ, παρὰ τὸ ἱκνεῖσθαι· ἢ ὡς ὁ Πορφύριος λέγει, τὴν τομίαν· συμβαίνει γὰρ πολλάκις, τῶν ἀγρίων αἰγῶν τοὺς τελείους διωκομένους ἐν ταῖς θήραις κατὰ

НБ ОНУ імені І.І. Мечникова

παράτριψιν ἀποβάλλειν τὰ γεννητικὰ μόρια. Σ. — Ἕτεροι δὲ ἰξαλόν φασι τὸν ὀχευτικὸν, ἤτοι τὸν κήλωνα. Ε.

Σ. 106. Ὑπὸ στέρνοιο] Ταὐτὸν τῷ, ὑπὸ τὸ στέρνον· ἵνα ᾖ πρόθεσις ἀντὶ προθέσεως. Ε.

Σ. 107. Προδοκῆσι] Προδοκή ἐστι τόπος στενὸς, ἐν ᾧ δοκεύει τις ὁδοιδόκου δίκην, καὶ δέδεκται τὸ θηρώμενον. Ε.

Σ. 109. Ἑκκαιδεκάδωρα] Ὡς εἶναι κατά τινας ὁμοῦ ἄμφω σπιθαμῶν πέντε, καὶ δώρου ἑνὸς ἀνὰ μέρος δὲ ἑκάτερον, ἀνὰ δύο σπιθαμῶν καὶ μικρόν τι πρός· τρίτον γὰρ σπιθαμῆς τὸ δῶρον, ὃ λέγεται καὶ παλαιστὴ θηλυκῶς, καὶ ὁ παλαιστὴς ἀρσενικῶς· ἔστι δὲ διάστημα τετραδάκτυλον. Ε.

Σ. 110. Καὶ τὰ μὲν] Λέγει δὲ τὰ κέρατα. — Ἀσκήσας κεραοξόος ἤραρεν] Ἤγουν ἥρμοσε τέκτων· πᾶν δὲ — κορώνην, εἰς ἣν δηλαδὴ ἐνίεται ἡ νευρά· καὶ ὅρα, ὅτι καὶ τὸν τοῦ τόξου τεχνίτην τέκτονα γενικῶς καλεῖ· κεραοξόον μέν τοι, πρὸς ἰδικὴν διαστολὴν τῶν λοιπῶν τεκτόνων. — Ἀσκῆσαι δὲ καὶ νῦν τὸ ἐπιμελείας· ἀξιῶσαι, ἵνα εἴη, ὥσπερ νῆμα ἀσκητὸν, οὕτω καὶ ἀσκητὰ κέρατα. Ε.

Σ. 111. Λειήνας] Λειᾶναι δὲ τὸ ξέσαι ἢ ῥινῆσαι· ἡ δὲ Ὁμηρικὴ χρυσῆ κορώνη καὶ εἰς παροιμίαν ἔπεσε, καὶ ὁ ἀγαθὸν τέλος τοῖς φθάσασιν ἐπιθεὶς, χρυσέην ἐπιθῆναι τῷ παντὶ κορώνην λέγεται. — Λέγεται δὲ κορώνη τόξου τροπικῶς καθὰ καὶ θύρας, ἀπὸ τῆς ζωϊκῆς. Ε. — Κορώνην] Νῦν τὸ ἐπικαμπὲς ἄκρον τοῦ τόξου λέγει, ὅθεν ἀπήρτηται ἡ νευρά. Σ.

Σ. 113. Πρόσθεν — ἑταῖροι] Συγκρύπτοντες ἐκεῖνον, ἵνα λάθῃ βαλὼν τὸν Μενέλαον. Ε.

Σ. 117. Ἀβλῆτα] Ἔστι δὲ ἀβλὴς, ὁ μήπω βληθεὶς, ὅ ἐστι ἀφεθεὶς κατά τινος· διὸ καὶ ἀθετοῦσι τὴν λέξιν οἱ παλαιοὶ, φάμενοι, μὴ εἰωθέναι τὸν ποιητὴν τὸ βάλλειν ἐπὶ τοῦ ἁπλῶς ἀφιέναι τιθέναι· αἰτιῶνται δὲ καὶ τὸ ἕρμα, λέγοντες, ὅτι οὐχ ὃ θέλει ὁ ποιητὴς, λέγει· ἕρμα γὰρ Ὁμηρικῶς τὸ ἔρυμα καὶ κώλυμα· τὸ δὲ βέλος οὐ γίνεται κώλυμα ὀδυνῶν, ἀλλὰ μᾶλλον ἐνέρεισμα· ἔστι δὲ λύοντα τὰ τοιαῦτα, εἰπεῖν, ὅτι ἀβλῆτα μὲν ὀϊστὸν λέγει τὸν μήπω βαλόντα, ἤτοι ἐπιτυχόντα τινὸς, διὰ τὸ μὴ δὲ ἀφεθῆναι ἕρμα δὲ ὀδυνῶν, ἐν ᾧ αἱ ὀδύναι οἷον ἐνοικοῦσι καὶ ἐνερείδονται, ὥστε ὅπου αὐτὸ εἰσέλθῃ, ἐκεῖ καὶ θανασίμους ὀδύνας συνεισέρχεσθαι. Ε. — Ἀβλῆτα] Μήπω ἐπιβεβλημένον, καινόν. Σ. — Μελαινέων. Β.

НБ ОНУ імені І. І. Мечникова

Σ. 118. Πικρὸν ὀϊστόν] Πικρὸν δὲ ὀϊστὸν λέγει τὸν πρὸ βραχέων ὀδυνηρὸν εἰς θάνατον, πρὸς διαστολὴν τοῦ μὴ πολεμικοῦ, ἀλλὰ γυμναστικῶς γλυκάζοντος. Ε.

Σ. 122. Γλυφίδας τε] Γλυφίδες δὲ, τὸ γλύμμα τοῦ ἀτράκτου τὸ ἐντιθέμενον τῇ νευρᾷ. Ε. — Γλυφίδας, τὰς παρὰ τοῖς πτεροῖς ἐντομὰς τοῦ βέλους, τὴν χηλὴν, ὅπου ἐντίθενται ἡ νευρά. Σ.

Σ. 123. Νευρὴν μὲν μαζῷ πέλασε] Ἰστέον δὲ, ὅτι ἀρχαϊκὸν, τὸ τὴν νευρὰν πελάζειν τῷ μαζῷ· ὃ καὶ Ἀμαζόνες ἐποίουν· τὸ δὲ, μέχρι καὶ εἰς τὸ δεξιὸν οὖς αὐτὴν ἐντανύειν, νεώτερον. Ε.

Σ. 124. Κυκλοτερὲς . . . τόξον] Κυκλοτερὲς δὲ τόξον λέγει, οὐ τὸ φύσει τοιοῦτον· σκολιὸν γάρ ἐστι καὶ ἀγκύλον πρὸ τῆς τάσεως, ἀλλ' ὅπερ τῷ ἑλκυσμῷ τοιοῦτον γίνεται· ὅτε γὰρ ἡ νευρὰ πελάσει τῷ μαζῷ, τῷ τόξῳ δὲ ὁ τοῦ βέλους σίδηρος, ῥαιβοῦται τὸ τόξον εἰς κυκλοτέρειαν. Ε.

Σ. 125. Λίγξε βιός] Τὸ δὲ λίγξε καὶ τὸ ἴαχεν, ὠνοματοπεποίηνται· τέθειται δὲ τὸ μὲν, λειότερον, οἰκείως ἐπὶ τοῦ τόξου· τὸ δὲ τραχύτερον, ἐπὶ τῆς νευρᾶς. Ε.

Σ. 127. Οὐδὲ σέθεν, Μενέλαε] Ἐνταῦθα πρῶτον χρᾶται Ὅμηρος σχήματι ἀποστροφῆς. — Γίνονται δὲ παρ' Ὁμήρῳ αἱ ἀποστροφαὶ πρὸς ἀξιόλογα πρόσωπα· οὐ γὰρ δήπου καὶ πρὸς τὰ τυχόντα τῶν πρωσώπων ἀποστρέφειν τὸν λόγον δέον ἥγηται ὁ σεμνότατος ποιητής. Ε.

Σ. 128. Ἀγελείη] Ἡ Ἀθηνᾶ, ἡ ἄγουσα λείαν ἀπὸ τῶν πολεμίων, ὅ ἐστι λαφυραγωγός. Σ.

Σ. 131. Λέξατο ὕπνῳ] Ἤγουν, ὅτε εἰς ὕπνον ἡδὺν ἐκεῖνος κατενεχθῇ — διὰ δὲ τῆς κατὰ τὴν μυῖαν παραβολῆς τὸ παράμονόν τε τῆς φυλακῆς τῆς Ἀθηνᾶς ἐδήλωσεν ὁ ποιητὴς, δεικνὺς, ὅτι καὶ αὐτὴ τῷ Μενελάῳ παρμέμβλωκε, καὶ τὴν τοῦ Πανδάρου βολὴν ἐξηυτέλισε, μυίας εἰκάσας πετάσματι τὴν τοῦ ἀβλῆτος πτερόεντος ὀϊστοῦ ἄφεσιν· ὑπνοῦντι δὲ παιδὶ τὸν ἥρωα Μενέλαον εἴκασε, διὰ τὸ ἀφροντιστεῖν ἄρτι πεποιθότα τοῖς ὅρκοις. Ε. — Λέξεται. Ε.

Σ. 133. Θώρηξ] Θώραξ ἐλέγετό τις στατὸς, ὁ μέχρι λαγόνων ἄνωθεν καθήκων· ᾧ ἡ ἐπίκειται ἢ ὑποβέβληται ζωστὴρ, ὃς κατά τινας καὶ ζῶμα ἐλέγετο, κατιὼν αὐτὸς ἀπὸ λαγόνων μέχρι γονάτων καὶ κνημῶν· ἃ δὴ ἀμφότερα, ἤγουν τὸν στα-

НБ ОНУ імені І.І. Мечникова

τὸν θώρακα καὶ τὸν ζωστῆρα δὲ συλληπτικῶς θώρακα ὁ ποιητὴς ἐνταῦθα λέγει, ὥστε εἶναι τὴν αὐτῶν συνοχὴν, διπλόον θώρακα· ἡ δὲ μίτρα ἐντὸς τούτων παρὰ τὸ ἦτρον πρὸς πλείω φυλακὴν ἔκειτο· τὸ δὲ ἤντετο, γλυκέως εἴρηται, ὡς ἐπὶ ἐμψύχου· δοκεῖ γάρ πως τὰ διπλούμενα συναντᾷν ἀλλήλοις. Ε. — Ἤντετο· ὑπέκειτο. Σ.

Σ. 135. Ἐλήλατο] Τὸ δὲ ἐλήλατο ταὐτόν ἐστι τῷ, διῆλθε. Ε.

Σ. 136. Ἠρήρειστο] Ἥρμοστο, ἐνεπάγη. Σ.

Σ. 137. Μίτρης] Ζώνης· μίτρα δὲ ἐλέγετο τὸ ἐσώτερον τῆς λαγόνος εἴλημα ἐρεοῦν, χαλκῷ ἔξωθεν περιειλημένον. — Ἔρυμα χροός] Φύλαγμα καὶ ἀσφάλεια τοῦ σώματος. — Ἕρκος ἀκόντων] Περίφραγμα τῶν ἀκοντίων. Σ.

Σ. 138. Ἔρυτο] Τουτέστιν ἐφύλασσεν, ὅθεν καὶ ἔρυμα χροὸς ἐτυμολογικῶς λέγεται· ἔσω μὲν, ἐριώδης οὖσα, ἵνα μὴ θλίβῃ τὸ ὑποκείμενον, ἔξω δὲ χαλκῆν τινα λεπίδα, ἤγουν, χαλκοῦν ἐκπέταλον ἔχουσα. Ε.

Σ. 139. Ὀϊστός] Διὰ τοῦ θώρηκος οὖν τοῦ στατοῦ, καὶ τοῦ μετ᾽ αὐτὸν ζωστῆρος, καὶ τῆς μίτρας ἐλθὼν ὁ ὀϊστὸς, οὐ μέγα τι ἔδρασε κατὰ τοῦ Μενελάου. Ε. — Ἐπέγραψε] Τὴν ἐπιφάνειαν τοῦ σώματος ἐπέξεσεν. Σ.

Σ. 140. Ἐξ ὠτειλῆς] Ὠτειλὴ κυρίως μὲν τραῦμα τὸ ἐκ τοῦ οὐτάσαι, ὅ ἐστιν ἐγγύθεν τρῶσαι. Ὅμηρος δὲ ἐνταῦθα τὸ ἐκ τῆς βουλῆς οὕτως ἐκάλεσε· καὶ μὴν ἄλλως διαφορὰν οἶδεν Ὅμηρος τοῦ οὐτάσαι καὶ τοῦ βαλεῖν, ὡς πολλαχοῦ φανήσεται· διαφέρει δὲ οὐλῆς ὠτειλὴ, ὅτι ὠτειλὴ μὲν αὐτὸ τὸ τραῦμα, οὐλὴ δὲ τύλος ἢ τύπος θεραπευθέντος τραύματος. Ε.

Σ. 141. Ἐλέφαντα γυνή] Αἱ ἐκ Καρίας καὶ αἱ Λυδαὶ γυναῖκες ἀγαθαὶ ἦσαν βάπτειν ἐλεφάντων ὀστᾶ Φοινικῷ χρώματι, καὶ ὅτι ὁ τοιοῦτος ἐλέφας ἐν θαλάμῳ τοῖς βασιλεῦσιν ἔκειτο ἄγαλμα· οὔπω γὰρ ὁ χρυσὸς ἐτυράννει τῶν ἄλλων ὑλῶν· καὶ σημείωσαι, ὅπως ἀνέκαθεν τὰ ἐρυθροβαφῆ βασιλέων ἦσαν παράσημα· τοιούτῳ ἐλέφαντι ἀπεικάζει Ὅμηρος τὰ κάτω τοῦ Μενελάου, ὅτε τῷ ἐκ βολῆς αἵματι περιεῤῥέοντο· — καὶ οὕτω ἡ παραβολὴ λευκὸν φύσει τὸν Μενέλαον ἱστορεῖ· εἰ δὲ καὶ θηλυπρεπὲς ἐν ἥρωσιν ἡ λευκότης, — ἀλλὰ παρὰ τοῖς Λάκωσι χαρακτὴρ ἀνδρίας ἦν λευκὸς χρὼς, καὶ κόμη ξανθός. — Ἰστέον δὲ ὅτι ἐλέφαντα μὲν λέγει τὸ ἐλεφάντινον

НБ ОНУ імені І.І.Мечникова

ὀστοῦν, τῷ τοῦ ὅλου ὀνόματι ὀνομάζων τὸ μέρος. — Φοίνικι]
Φοίνικα δὲ λέγει τὸ Φοινικοῦν χρῶμα τὸ ἐκ καρποῦ φασι
πρίνου· ὃ μάλιστα πολὺ λέγονται συλλέγειν Τροιζήνιοι. —
Μιαίνειν δὲ παρὰ τῷ ποιητῇ τὸ βάπτειν, ὅπερ ἄλλοι φαρ-
μάσσειν φασίν. Ε.

Σ. 142. Κάειρα] Κάειρα δὲ γυνὴ, ἡ Καρίνη κατὰ τοὺς
παλαιοὺς ἡ Καρική. — Παρήϊον ἔμμεναι ἵππων] Παρήϊον δὲ
ἵππων, τὸ τοῦ χαλινοῦ παραγναθίδιον. Ε. — Τὸ νῦν χαλινά-
ριον καλούμενον. Σ.

Σ. 143. Κεῖται δ' ἐν θαλάμῳ] Τὸ δὲ κεῖται ἐν θαλάμῳ,
καθὰ καὶ τὸ κεῖται ἄγαλμα, κειμήλιον εἶναι δηλοῖ καὶ τὸν
τοιοῦτον ἐλέφαντα· ταὐτὸν δὲ εἰπεῖν, ἀπόθετον κτῆμα· ἐπεὶ
καὶ ταὐτὸν, κεῖσθαι καὶ ἀποτεθεῖσθαι. Ε. — Θάλαμος, ὁ κοι-
νὸς οἶκος, — ἡ ἀποθήκη — καὶ ὁ κοιτών. Σ. Β — Τὸ δὲ
πολέες ἠρήσαντο, πολυέραστον εἶναι δηλοῖ τὸν ῥηθέντα ἐλέ-
φαντα· τὸ δὲ φορέειν ἀπὸ τοῦ ἵππου μετήνεκται εἰς τὸν
ἱππότην· ἵππος γὰρ φορεῖ παρήϊον ἐξ ἐλέφαντος, οὐ μὴν ὁ
ἱππεύς. Ε.

Σ. 144. Ἄγαλμα] Ἄγαλμα δὲ πανταχοῦ παρὰ τῷ ποιη-
τῇ πᾶν ἐφ' ᾧ τις ἀγάλλεται, εἰ καὶ οἱ μεταγενέστεροι ἐπὶ
ξοάνου τὴν λέξιν τεθείκασι. Ε. — Ἄγαλμα] Καλλώπισμα πᾶν,
ἐφ' ᾧ τις ἀγάλλεται καὶ χαίρει. Ε.

Σ. 145. Ἐλατῆρι] Τῷ ἡνιόχῳ. Σ.

Σ. 146. Τοῖοί τοι] Οὕτως σοι. Σ. — Μιάνθην] Τὸ δὲ μιάνθην
μηροὶ, δυϊκόν ἐστι ῥῆμα ἀπὸ τοῦ μιανθήτην γεγονὸς κατὰ συγ-
κοπήν· εἰ δέ τις ὑπολάβῃ χρῆναι γράφεσθαι μιάνθην αἵματι
μηροὶ, τουτέστιν ἐμιάνθησαν, ἔχοι ἂν ἴσως προϊστάμενον τῇ
τοιαύτῃ ἐννοίᾳ, τὸν μετρικὸν ποδισμόν. Ε.

Σ. 147. Εὐφυέες] Εὐφυεῖς δὲ μηροὶ, οἱ εὖ πεφυκότες,
καὶ τῷ ὅλῳ σύμμετροι. Ε. (ἴδ. Α, 115.) — Ὅρα δὲ καὶ,
ὅτι ἄλλο μὲν τὰ καλὰ σφυρὰ ἔχειν, ἄλλο δὲ τὸ καλλίσφυ-
ρος· τὸ μὲν γὰρ σύνθετον, γυναικὸς ἐπίθετον· καλὰ δὲ
σφυρὰ ἰδοὺ καὶ ἐπὶ ἥρωος εἴρηται. Σφυρὰ δὲ λέγεται τὰ
ἀπολήγοντα πρὸς τῷ ἀστραγάλῳ καὶ ἐκ πλαγίου ἐξέχοντα,
καθ' ὁμοιότητα τῶν χαλκευτικῶν σφυρῶν. Ἰστέον δὲ, ὅτι ἐν-
ταῦθα σαφῶς καὶ εὐτάκτως Ὅμηρος τὴν τῶν σφυρῶν τάξιν
δηλοῖ. Ε. (ἴδ. Χ. 396.).

Σ. 151. Νευρόν τε καὶ ὄγκους] Νεῦρον μὲν, ἐν ᾧ δέδεται

НБ ОНУ імені І.І. Мечникова

τὸ σίδηρον τοῦ βέλους πρὸς τὸν κάλαμον· ὄγκους δὲ τὰς ἀκίδας καὶ ἐξοχὰς τοῦ βέλους, ἔξωθεν τοῦ βέλους ὁρωμένας. Σ.

Σ. 152. Ἄψοῤῥόν οἱ θυμὸς . . . ἀγέρθη] Ἰστέον δὲ καὶ ὅτι τὸ θυμὸς ἀγέρθη, ὅ ἐστι συνήχθη, συντίθησι παρ' Ὁμήρῳ τὸ θυμηγερέειν· δῆλον δὲ, ὡς ὁ συναγερθεὶς θυμὸς φθάσας ἐξέλιπε, τοῦτο δὴ τὸ παρ' Ὁμήρῳ μὲν ὀλιγηπελέειν, παρὰ δὲ τοῖς ὕστερον, ὀλιγοθυμεῖν καὶ λειποψυχεῖν, ὃ καὶ ὁ βασιλεὺς παθὼν διὰ τὸν ἀδελφὸν, εἶτα συνήγαγε θυμόν. Ε.

Σ. 153. Βαρυστενάχων] Βαρὺ στενάχων. Β.

Σ. 154. Ἔχων] Ἄφελε τὸν στίχον, καὶ τὴν σαφήνειαν μὲν οὐ βλάψεις, ἀπολέσεις δὲ τὴν ἐνάργειαν, ἥτις ἐμφαίνει τὴν Ἀγαμέμνονος συμπάθειαν, καὶ τὴν τῶν συναχθησομένων ἑταίρων διάθεσιν· ἠθικὸν γάρ ἐστι τοῦτο καὶ περιπαθὲς, καὶ τὸ βαρὺ τῆς λύπης ηὔξηται δι' αὐτοῦ. Σ. Β.

Σ. 155. Ἔταμνον] Τὸ δὲ ἔταμνον, πρώτου προσώπου ἐστὶ λέγοντος τοῦ βασιλέως, ὅτι θάνατόν σοι ἔθυσα τοὺς γενομένους ὅρκους. Ε.

Σ. 156. Οἶον] Τὸ εἰς ἐπικίνδυνον μονομαχίαν ἐναγαγεῖν οἶον, ἤγουν μόνον, προστῆσαι φησίν. — Προστήσας] Τὸ δὲ προστήσας ἔοικεν ἀπὸ ἱερείου ἐνταῦθα ληφθῆναι, ὃ πρὸ ἑτέρων ζώων ἵσταται ἀγόμενον ἐπὶ σφαγήν. Ε.

Σ. 157. Πάτησαν] Ὅπερ ἔφη πρὸ τούτου πημῆναι ὅρκια, καὶ δηλήσασθαι, ἐνταῦθα ὅρκια πιστὰ πατῆσαί φησι, δριμύτερον δὲ τοῦτο ἐκείνων· πολλὴν γὰρ δηλοῖ καταφρόνησιν τὸ πατῆσαι. Ε.

Σ. 159. Καὶ δεξιαὶ, ἧς ἐπέπιθμεν] Ἤγουν αἷς ἐπείσθημεν. — Σημείωσαι δ' ἐντεῦθεν, ὅτι ἐν τοῖς ὅρκοις καὶ δεξιῶν ἥπτοντο, εἰ καὶ Ὅμηρος οἰκείῳ νόμῳ τοῦτο ἐσίγησεν ἐν τοῖς φθάσασιν, κατὰ σχῆμα ἀποσιωπήσεως. Ε.

Σ. 161. Σύν τε μεγάλῳ] Ἑρμηνεύων, τί δηλοῖ τὸ σὺν μεγάλῳ, φησὶ, σὺν σφῇσι κεφαλῇσι, κ. τ. λ. — Ὅρα δὲ καὶ ὅτι ἐν τῷ ἔκ τε, καὶ ὀψὲ τελεῖ, καὶ ἐν τῷ, σύν τε μεγάλῳ ἀπέτισαν χρόνοι ἀντὶ χρόνων συνήθως λαμβάνονται, ἤγουν ἐνεστὼς καὶ παρῳχημένος ἀντὶ ἀληθοῦς μέλλοντος. — Παροιμιακή τις τροπικὴ ἔννοιά ἐστι μετηνεγμένη ἀπὸ ἀκολουθίας χρέους· δηλοῦσα, ὅτι τὸ χρέος ὃ λαβόντες οἱ Τρῶες ἔχουσι πολλοὺς ἤδη ἐνιαυτοὺς, ὅπερ ἐστὶν ἡ ἡρπασμένη Ἑλένη, ὀψέ ποτε ἀποτίσουσιν, ὡς οἷά τι ἀρχαῖον, ἤγουν κεφάλαιον ὀφειλῆς, καὶ οὐχ ἁ-

НБ ОНУ імені І.І.Мечникова

πλῶς, ἀλλὰ σὺν μεγάλῳ καὶ τόκῳ καὶ ποινῇ, τουτέστι προστί-
μῳ· τάδε εἰσιν αἱ κεφαλαὶ τῶν ἁρπασάντων καὶ ἡ τῶν αὐτοῖς
φιλτάτων αἰχμαλωσία. Ε.

Σ. 164. Ἔσσεται ἦμαρ] Ἰστέον δὲ, ὅτι οὐ παρέργως, ἀλλὰ
καὶ λίαν περιέργως εἶπεν ὁ ποιητὴς, τὸ ἔσται καιρὸς, ὅτε
ὀλεῖται ἡ Τροία. Κατὰ γὰρ τὸν Γεωγράφον (ΙΓ, σελ. 412.
1. 49.) καὶ ἑτέρους, οὐδὲν ἴχνος ἐστὶ τῆς ἀρχαίας πόλεως.
Ἐκπεπορθημένων γάρ φησι τῶν κύκλῳ, οὐ μὴν κατεσπασμένων
τελέως, ταύτης δ' ἐκ βάθρων ἀνατραπείσης, οἱ λίθοι πάντες εἰς
τὴν ἐκείνων ἀνάκτισιν μετηνέχθησαν· εἰ καὶ οἱ Ἰλιεῖς λέγου-
σιν οὐ τελέως ἠφανίσθαι αὐτὴν μετὰ τὴν ἅλωσιν· ὁ δ' αὐτὸς
λέγει, καὶ ὅτι Ἰλιέων κώμη, ἔνθα ἡ παλαιὰ Ἴλιος, τριάκον-
τα σχεδὸν σταδίων ἀνωτέρω πρὸς τὴν ὕστερον· εἰ καὶ Ἰλιεῖς
φιλοδοξοῦντες ἤθελον ταύτην εἶναι τὴν παλαιάν. Ἡ δὲ τοιαύτη
κώμη Ἀθηνᾶς ἔσχε, φησὶν, ἱερὸν μικρὸν καὶ εὐτελές. Ἀλέ-
ξανδρος δὲ ὁ Μακεδὼν μετὰ τὴν ἐν Γρανίκῳ νίκην ἀναβὰς
ἀναθήμασί τε ἐκόσμησε καὶ πόλιν ἀντὶ κώμης προσηγόρευσε,
καὶ ἐλευθέραν ἔκρινε, καὶ ἄφορον· ὑπέσχετο δὲ καὶ πόλιν ποιῆ-
σαι μεγάλην, καὶ ἱερὸν ἐπισημότατον. Λέγεται δὲ μετὰ τὴν
ὑπὸ Ἑλλήνων κατασκαφὴν πλείους μεταβεβληκέναι τόπους. Λέγει
δὲ καὶ ὅτι τὸ ὕστερον Ἴλιον οὕτω ποτὲ ὠλιγωρήθη, ὡς μηδὲ
κεραμωτὰς ἔχειν στέγας, ὕστερον δὲ ἐπανορθωθεῖσα, ἑάλω, φη-
σὶν, ὑπὸ Φιμβρίου Ῥωμαίου ἐνδεκαταία, τῶν Ἰλιέων μὴ δε-
χομένων αὐτὸν, ὡς λῃστήν. Ἐπεὶ δὲ ἐκαυχᾶτο, ὅτι τὴν πόλιν,
ἣν Ἀγαμέμνων δέκα ἔτη μόλις εἷλε, χιλιόναυν στόλον ἔχων,
αὐτὸς ἕνδεκα ἡμέραις χειρώσαιτο, εἶπέ τις Ἰλιεὺς, οὐ γὰρ ἦν
Ἕκτωρ ὑπερμαχῶν τῆς πόλεως. Καῖσαρ δὲ ὁ Θεὸς, πάνυ
αὐτῆς προυνόησε ζηλώσας Ἀλέξανδρον· ἦν γὰρ, ὥσπερ Ἀλέ-
ξανδρος Φιλόμηρος, οὕτω Καῖσαρ Φιλαλέξανδρος. Συνάγεται
γοῦν ἐκ τῶν τοῦ Γεωγράφου, παντελῶς ἀπολωλέναι τὴν πα-
λαιὰν Ἴλιον· ὅς καὶ ῥητῶς φησιν, ὅτι Ὅμηρος ἀφανισμὸν δη-
λοῖ ἔν τε ἄλλοις, καὶ ἐν τῷ, ὅτάν ποτ' ὀλώλῃ Ἴλιος ἱρή· δῆλον
δὲ, ὅτι καὶ ἠλαζονεύοντο Ἰλιεῖς, μὴ ἀφανισθῆναι τὴν κατ'
αὐτοὺς πόλιν· ὅθεν καὶ ὁ Δίων ἐπηγωνίσατο ἀνασκευάσαι τὰ
Τρωϊκά· καὶ αὐτοὶ, τάχ' ἂν, ἔχαιρον τοῖς λεγομένοις ὑπὸ τοῦ
Δίωνος. Ἑλλάνικος δέ φασι χαριζόμενος αὐτοῖς, συνηγορεῖ τὴν
αὐτὴν εἶναι πόλιν τὴν νῦν τῇ τότε· ὅτι δὲ τοῦτο οὐκ ἀλη-
θὲς, καὶ ἐν τοῖς ἑξῆς που δηλωθήσεται. Φησὶ δὲ καὶ Λυκοῦργος

НБ ОНУ імені І.І.Мечникова

ὁ ῥήτωρ οὕτω περὶ τῆς Ἰλίου· τίς οὐκ ἀκήκοεν, ὡς ἅπαξ ὑπὸ τῶν Ἑλλήνων κατεσκάφη, ὕστερον δέ τινες ἀνακτίσαι μὲν διενοήσαντο, οἰωνισάμενοι δὲ ἐπαύσαντο, εἴτε διὰ τὰς συμφορὰς, εἴτε καταρασαμένου τοῦ Ἀγαμέμνονος κατά τι παλαιὸν ἔθος· ὥσπερ καὶ Κροῖσος ἐξελών φασι τὴν Σαρδιανὴν, ἀρὰς ἔθετο κατὰ τῶν τειχιούντων τὸν τόπον. — Ἰστέον δὲ, ὅτι οὐκ αὐτὸς ἐλπίζει ὁ βασιλεὺς, ἑλεῖν τὴν Τροίαν· ἀλλὰ διὰ τὴν ἐπιορκίαν τῶν Τρώων ἀπολωλέναι αὐτήν ποτε λέγει, περὶ γὰρ ἑαυτοῦ δυσελπιστεῖ· διὸ καὶ ἐπάγει· ἀλλά μοι αἰνὸν ἄχος σέθεν ἔσσεται. κ. τ. λ. Ε. — Ὅτ' ἄν. Β.

Σ. 166. Ὑψίζυγος] Ὁ ἐπὶ ὑψηλοῦ θρόνου καθεζόμενος, ὁ τὴν ἀνωτάτω ἔχων καθέδραν· ἡ μεταφορὰ ἀπὸ τῶν ἐν ναυσὶ ζυγῶν, ἐφ' ὧν καθέζονται οἱ ἐρέσσοντες· ἢ ὁ ἐν ὕψει ζυγοστατῶν καὶ ἀπονέμων ἑκάστῳ τὸ πεπρωμένον. Σ.

Σ. 167. Ἐπισσείῃσιν] Τὸ δὲ ἐπισείῃ, σειστὸν Διὸς ὅπλον τὴν αἰγίδα εἶναι δηλοῖ, οὐ μὴν βλητικόν· οὐ γὰρ βάλλει· σειομένη δὲ ἐκφοβεῖ. — Ὅτι τὸ ἐρεμνὸν τῆς αἰγίδος νέφος ὑπεμφαίνει, αὐτὴν εἶναι πυκνὸν καὶ καταιγιδῶδες. Ε.

Σ. 171. Πολυδίψιον] Ἄνυδρον οὖσαν τὴν Πελοπόννησον, ἔνυδρον ἐποίησε Δαναὸς ἐξελθὼν ἀπὸ τῆς Αἰγύπτου καὶ οἰκήσας αὐτήν· τῶν δὲ θυγατέρων αὐτοῦ ζητουσῶν ὑδρεύσασθαι, μιᾶς αὐτῶν, τῆς Ἀμυμώνης, ἠράσθη Ποσειδῶν, καὶ ἔδειξεν αὐτῇ, τριαίνῃ πλήξας, τὰς ἐν Λέρνῃ πηγάς. Οἱ δὲ, ὅτι τὸ Ἄργος Ἀθηνᾶς ὑποθήκαις διὰ τῶν Δαναοῦ θυγατέρων ἔνυδρον ἐγένετο· ἐκεῖναι γὰρ ὄρυξιν φρεάτων ἐπενόησαν. (Ἴδ. Ἀπολλόν. Β, 1. 4. σελ. 83.)· — ἢ πολυπόθητον. Σ. — Ἔτι σημείωσαι καὶ ὅτι πολυδίψιον εἰπεῖν καὶ Λειψύδριον ταὐτά πως φαίνεται· καὶ ἔοικεν ἐκεῖνο ἐκ τοῦ Ὁμηρικοῦ πολυδιψίου ληφθῆναι. Ἦν δὲ Λειψύδριον χωρίον, φασίν, ὑπὲρ τῆς Σπάρτης (ἀνάγν. Πάρνηθος; Ἴδ. Σουΐδ. ἐπὶ Λειψυδρίῳ μάχη), ὃ ἐτείχισαν οἱ φυγάδες τῶν τυράννων, ὧν οἱ Ἀλκμαιωνίδαι προειστήκεισαν· ἐκπολιορκηθέντων δ' αὐτῶν ὑπὸ τῶν περὶ Πεισίστρατον, σκολιὸν εἰς αὐτοὺς ᾔδετο, ἤγουν μέλος τι παροίνιον — ἦν δὲ καὶ παροιμιαζομένη ἡ ἐπὶ Λειψυδρίῳ μάχη. Ε.

Σ. 174. Πύσει] Σήψει. Σ.

Σ. 181. Λιπὼν ἀγαθὸν Μενέλαον] Τοῦτο δὲ καὶ οἷον ἐπίγραμμά τι ποιεῖ ἐπὶ τῷ τοῦ ἀδελφοῦ τύμβῳ περιπαθῶς —

κενὰς τὰς νῆας λέγει, ἐν αἷς οὐ πλεύσει ὁ ἀδελφὸς Μενέλαος· καὶ τὸ, ἀγαθὸν δὲ Μενέλαον, καὶ τὸ Μενελάου κυδαλίμοιο, οὕτω λέγει, ὡς εἴ τις θάψας πατέρα, εἴποι, ὅτι ἀγαθὸν καὶ κύδιστον πατέρα ἀπώλεσα· οὕτω μονῳδεῖ, ὡς ἐπὶ τεθνεῶτι τῷ ἀδελφῷ. Ε.

Σ. 182. Εὐρεῖα χθών] Τότε με γῆ χάσματι δεχθείη· οὐ γὰρ ἐπιθετικῶς λέγει αὐτὴν εὐρεῖαν, ἀλλὰ τὴν εὐρὺ τῇ διαστάσει χάσμα ποιοῦσαν. Σ.

Σ. 184. Μὴ δειδίσσεο] Ἀντὶ τοῦ, μὴ εἰς φυγὴν παρακάλει διὰ τοῦ ἐμοῦ θανάτου. Σ. Β.

Σ. 185. Οὐκ ἐν καιρίῳ] Οὐκ ἐν τῷ πρὸς ἀναίρεσιν τόπῳ τοῦ σώματος, ὅ ἐστιν, οὐκ ἐν ἐπικινδύνῳ. Σ.

Σ. 187. Ζῶμα] Ὁ ζωστὸς χιτών. Σ.

Σ. 190. Ἐπιμάσσεται] Ἐπιμάσσεσθαι λέγει τὸ ἀποσπογγίζειν· — καὶ ἄλλως δὲ ἐνταῦθα ἐπιμάσσασθαι, τὸ διὰ ἐπαφῆς θεραπεῦσαι· μάσσεσθαι γὰρ καὶ τὸ ἅπτεσθαι· δοκεῖ δὲ οὐ φαῦλον εἶναι εἰπεῖν τὸ ἐπιμάσσεται καὶ ἀντὶ τοῦ ἐκμυζήσει, ὃ κεῖται μετ᾽ ὀλίγα ἐν τῷ αἷμ᾽ ἐκμυζήσας — ἕλκος δὲ οὐ κατὰ τοὺς ὕστερον ἰδιωτικοὺς τὸ πύον, ὃ οὐδὲ ὁ ποιητὴς οἶδεν, ἀλλὰ τὴν κατὰ τραῦμα λύσιν τῆς συνεχείας· ἅμα γοῦν βάλλεταί τις ἢ τιτρώσκεται, καὶ εὐθὺς ἕλκος γενέσθαι τῷ τοιούτῳ φησί. Ε.

Σ. 191. Μελαινάων ὀδυνάων] Μέλαιναι δὲ ὀδύναι αἱ θανατηραί. Ε.

Σ. 193. Μαχάονα] Υἱὸν Ἀσκληπιοῦ καὶ Ἀρσινόης, ἢ Κορωνίδος· κατὰ δέ τινας, Ἡσιόνης τῆς Μέροπος· κατὰ δὲ Ἡσίοδον, Ξανθινόης. Σ. — Δύο ὄντων ἐπιφανῶν Ἕλλησιν ἰατρῶν, Ποδαλείριος μὲν περὶ δίαιταν ἐπονεῖτο, Μαχάων δὲ περὶ τραύματα εἶχε. — Ἀσκληπιὸς δὲ Χείρωνος μαθητής. Χείρων δὲ εὑρετὴς ἰατρικῆς καὶ λυρικῆς· υἱὸς Φιλύρας καὶ Κρόνου, εἷς τῶν Κενταύρων. Ε. — Ὅτι. Β.

Σ. 202. Τρίκης] Τρίκκης;

Σ. 207. Τρώων ἢ Λυκίων] Τὸ δὲ Λυκίων ἀπὸ μέρους πάντας δηλοῖ τοὺς ἐπικούρους τῶν Τρώων· ἄξιοι δὲ λόγου οἱ Λύκιοι, ὡς πολλοὶ καὶ ζαχρηεῖς ὄντες καθάπου αὐτὸς ἐρεῖ ὁ ποιητής· (Μ, 347.) Λυκίους δὲ, οὐ τοὺς ὑπὸ τῷ Πανδάρῳ λέγει ὁ βασιλεὺς, οἳ καὶ αὐτοὶ Τρῶες ἦσαν, ἀλλὰ

НБ ОНУ імені І.І. Мечникова

τοὺς ἐκ τῆς μεγάλης Λυκίας, οἵπερ ἦσαν ὑπὸ τῷ Σαρπηδόνι. Ε. (Ἴδ. Β, 126. καὶ 136.).

Σ. 214. Πάλιν ἄγεν] Ἀντὶ τοῦ εἰς τὸ ἔμπαλιν ἐκλάσθησαν — καὶ ἔστιν ὥσπερ τραφεὶς τραφέντος τράφεν, ὅ ἐστιν ἐτράφησαν· οὕτω καὶ ἀγεὶς ἀγέντος ἄγεν. Ε. — Εἰς τοὐπίσω ἀνεκάμφθησαν· εἰ δὲ στίξομεν εἰς τὸ πάλιν, δύναται οὕτως εἶναι, τούτου εἰς τοὐπίσω ἑλκομένου, καὶ διὰ τῆς αὐτῆς ἀνακαμπτομένου ἐμπήξεως συνεθλάσθησαν. Σ. Β. Ἐξελκομένοιο πάλιν, ἄγεν. Β.

Σ. 218. Αἷμ' ἐκμυζήσας] Τὸ ἐκπιέσαι τὸ τοῦ ῥηθέντος ἕλκους αἷμα, ἐκμυζῆσαι λέγει· ἐγένετο δέ φασι τοῦτο, ἵνα μὴ πυώσῃ σαπὲν καὶ βλάψῃ τὴν ἀπούλωσιν· — ἀλλ' οἷον μὲν τὸ Ὁμηρικὸν τοῦτο ἐκμυζῆσαι, ᾔδεισαν οἱ τότε τὰ τοιαῦτα ἕλκη μεταχειριζόμενοι· οἱ δὲ νῦν βλέπουσι πολλοὺς καὶ μάλιστα τῶν βαρβαρικωτέρων ὁπηνίκα τραῦμά τινι ἐν τριβῇ, τῷ στόματι ἐκμυζῶντας τὸ αἷμα τοῦ ἕλκους. Ε.

Σ. 219. Πάσσε] Τρεῖς φαρμάκων ἰδέαι παρ' Ὁμήρῳ· ἐπίπαστα, ὡς νῦν ἐπὶ Μενελάου· ᾧπερ ἤπια φάρμακα εἰδὼς πάσσεν ὁ Μαχάων· καὶ χριστὰ, οἷον, ἰοὺς χριέσθαι, (Ὀδυσσ. Α, 262.) καὶ πιστὰ κατὰ τὸν Αἰσχύλον, (Ἴδ. στ. 480.) τουτέστι ποτὰ ἢ πότιμα, ὡς ἐπὶ Ἑλένης ἐν Ὀδυσσείᾳ (Δ, 220.) τῷ κρατῆρι ἀναμιγνύσης φάρμακα· ἐκ δὲ τῆς τοιαύτης λέξεως, οὐ μόνον τὸ φαρμακεύειν ἰατρικὴ λέξις, ἀλλὰ καὶ φαρμάσσειν, τὸ στομοῦν σίδηρον ἐκ βαφῆς· καὶ τὸ ἁπλῶς βάπτειν, καὶ τὰ βαφεῖα, φαρμακῶνες παρὰ τοῖς παλαιοῖς. Οἶδε δὲ καὶ τρεῖς βελουλκίας Ὅμηρος· ἐκτομὴν ἐπὶ Εὐρυπύλου, (Λ, 843.) καὶ διωσμὸν ἐν τοῖς ἑξῆς ἐπὶ Διομήδους (Ε, 112.) καὶ ἐξολκὴν, ὡς νῦν ἐπὶ Μενελάου. Ε.

Σ. 223 Βρίζοντα] Ἔστι δὲ βρίζειν τὸ ἀπονυστάζειν· κυρίως δὲ τὸ βαρέως ἢ μετὰ τὴν βορὰν ἵζειν· ἡ δὲ λέξις καὶ ἐν Ὀδυσσείᾳ (Ι, 151.). Τῶν δὲ ῥηθέντων τὸ μὲν βρίζειν τὴν παντελῆ ἀμέλειαν ἀποφάσκει τοῦ βασιλέως· τὸ δὲ πτώσσειν, τὴν δειλίαν· τὸ δὲ οὐκ ἐθέλειν, τὴν ὀκνηρίαν καὶ τὸ ἀπρόθυμον. Ε. — Βρίζειν, τὸ ἀναπαύεσθαι· κυρίως, τὸ μετὰ βάρους τροφῆς ἀπονυστάξαι, Σ. Β.

Σ. 227. Φυσιόωντας] Πνευστιῶντας, ἀσθμαίνοντας. Σ.

Σ. 234. Μήπω τι] Τὸ δὲ μήπω τι ἀργὴν ἔχει τὴν παραπλήρωσιν· ἔστι γὰρ ἀντὶ τοῦ μή τι· περιττοῦ κειμένου τοῦ



НБОНУ імені І.І.Мечникова

πώ· παρὰ δέ γε τοῖς ὕστερον χρονικὴν σημασίαν ἔχει τὸ μήπω, καθὰ καὶ τὸ οὔπω· παρέλκει δὲ ὁμοίως καὶ τὸ, τί· καθὰ καὶ ἐν τῷ, οὔτι· ὅλον γὰρ τὸ, μήπω τι μεθίετε, ταὐτόν ἐστι τῷ, μὴ ἀμελεῖτε. Ε.

Σ. 235. Οὐ γὰρ ἐπὶ ψευδέσσι] Τὸ δὲ οὐκ ἐπιψευδέσσι πατὴρ ἔσσεται ἀρωγὸς, οἱ μὲν παροξύνουσιν, ἵνα λέγῃ, ὅτι οὐκ ἔσται βοηθὸς ὁ πατὴρ τοῖς ψεύσταις Τρωσίν· οἱ δὲ προπαροξύνουσι κατὰ γένος οὐδέτερον, νοοῦντες, ὅτι οὐ ψεύσεται τὴν βοήθειαν. Ε. — Ὁ δὲ νοῦς· οὐδὲ γὰρ ἐπιβοηθῆσαι ὁ Ζεὺς τοῖς ψεύσταις. Σ.

Σ. 236. Ὑπὲρ ὅρκια] Ὑπερόρκια. Β.

Σ. 242. Ἰόμωροι] Οἱ περὶ ἰοὺς καὶ τόξα μεμορημένοι, ὅ ἐστι κάμνοντες. Σ. — Νῦν ἀπὸ μέρους, οἱ ἁπλῶς πολεμισταί. Ε. (Ἴδ. Β, 692.) — Οὔ νυ σέβεσθε] Σέβεσθε ἀντὶ τοῦ αἰδεῖσθε ἢ καὶ ἐκπλήττεσθε, ἐφ' οἷς δηλαδὴ ποιεῖτε· οὔπω γὰρ ἐπὶ τιμῆς τότε ἡ λέξις ἔκειτο· ὅθεν καὶ σέβας ἡ ἔκπληξις ἔν τε ἄλλοις, καὶ ἐν τῷ· σέβας μ' ἔχει εἰσορόωντα (Ὀδυσσ. Γ, 123.)

Σ. 244. Ἐπεὶ οὖν] Τὸ δὲ ἐπεὶ οὖν, ἀργοῦ κειμένου τοῦ οὖν, ταὐτόν ἐστι τῷ ἐπειδή. Ε.

Σ. 249. Ὕμμιν . . . Κρονίων] Τὸ ὕμμιν ὑπερσχῇ χεῖρα Κρονίων, ἀντὶ τοῦ ὑπεράνω θήσει, σκεπάσει ὑμᾶς· οὕτω δέ φασι καὶ οἱ μεθ' Ὅμηρον, οἷον ὑπερέσχε ὑμῶν τὴν χεῖρα θεός. Ε.

Σ. 250. Στίχας ἀνδρῶν] Τὸ στὶξ μὲν, ἐξ ἀνδρῶν πεντακοσίων κατὰ τοὺς παλαιούς· οὐλαμὸς δὲ τάξις ἐκ τεσσαράκοντα ἀνδρῶν· φάλαγξ δὲ ἀπὸ ἑκατὸν καὶ εἴκοσι· πύργος δὲ, ἐκ τριακοσίων καὶ ἑξήκοντα τάξις αὕτη τετραγωνοειδῶς πυκνουμένη. Ὅμηρος δὲ ἐν τῇ ἐπιπωλήσει ταύτῃ χρᾶται μὲν ταύταις ταῖς λέξεσι, λαμβάνει δὲ αὐτὰς ἐπὶ τῆς ἁπλῶς κατὰ πληθύν τινα τάξεως, ἐν οἷς λέγει στίχας ἀνδρῶν, καὶ οὐλαμὸν ἀνδρῶν καὶ πυκινὰς φάλαγγας, καὶ πύργους Ἀχαιῶν. Ε. — Φάλαγγας τάξεις στρατιωτῶν εἶπεν ὁ ποιητής, ἐπειδὴ τὸ παλαιὸν ξύλοις ἐμάχοντο· φάλαγγας δὲ ξύλα ἐκάλουν οἱ ἀρχαῖοι· ἔτι γοῦν καὶ ὑμεῖς τὰ ἐκ τῶν ξύλων οἰκοδομήματα φάλαγγας καλοῦμεν. Σ.

Σ. 254. Πυμάτας ὤτρυνε φάλαγγας] Οὐραγὸς δηλονότι ὤν· οὐρὰ γὰρ καὶ κατὰ Ξενοφῶντα (Κυρ. παιδ. Β, 3, 21.) τὸ ὀπί-

НБ ОНУ імені І.І. Мечникова

τῳ τῆς φάλαγγος, ὥσπερ στόμα καθ' Ὅμηρον ὁ τόπος τῶν προμάχων. Ε.

Σ. 256. Μειλιχίοισιν] Ἔπεσι δηλαδή· ἀναμνήσας, ὡς τιμᾷ αὐτὸν ἔν τε πολέμῳ, τὸ δεξιὸν τυχὸν κέρας αὐτῷ διδοὺς, ἤ τι τοιοῦτον ἄλλο ποιῶν· τιμᾷ δὲ καὶ ἀλλοίῳ ἐπὶ ἔργῳ, οἷον ἐν βουλῇ καὶ θυσίαις καὶ δημηγορίᾳ· τιμᾷ δὲ καὶ ἐν δαιτὶ, ὅτε πέρ τε γερούσιον κ. τ. λ. —Ἐτίθεντο δὲ καὶ τὰ τοιαῦτα ἐν τιμῇ οἱ παλαιοί· ὡς καὶ μετ' ὀλίγα φανήσεται (στ. 343.) Ε.

Σ. 258. Ἡ μὲν] Ἦ μὲν. Β.

Σ. 259. Αἴθοπα οἶνον] Οἶνος δὲ καὶ νῦν γερούσιος, ὁ τοῖς γέρουσιν ἤτοι τοῖς ἐντίμοις διδόμενος ἐν συμποσίῳ κοινῷ. Ε. — Κατελείπετο γάρ τι τῶν λαφύρων εἰς τὰς κοινὰς εὐωχίας. Σ. Β. — Ἐν δαιτὶ. Β.

Σ. 261. Καρηκομόωντες] Κάρη κομόωντας. Β.

Σ. 262. Δαιτρὸν πίνωσι] Δαιτρὸν δὲ πίνειν, ἐπιῤῥηματικῶς ἀντὶ τοῦ μεμερισμένως· ἡ δὲ μεταφορὰ ἐκ τοῦ τὰ κρέα μερίζοντος δαιτροῦ (Ὀδυσσ. Ρ, 331.)· ἐν δὲ τῷ, σὺν δὲ πλεῖον δέπας, ὁ δὲ σύνδεσμος, ὁ αὐτός ἐστι τῷ δὴ ἢ τῷ ἀλλά. Τὸ δὲ πλεῖον, τὸ γέμον δηλοῖ τὸ παρὰ τοῖς ὕστερον ἔμπλεων. Ε.—Ὅτι διὰ παντὸς αἱ τράπεζαι παρέκειντο, καὶ πλήρη τὰ ποτήρια τοῖς ἐν τιμῇ ἔκειτο, τοῖς δὲ ἄλλοις πρὸς μέρος ἐνεχεῖτο. Σ. Β.

Σ. 266. Ἐρίηρος ἑταῖρος] Ἰστέον δὲ ὅτι ἐρίηρος ἑταῖρος οὐ μόνον ὁ ἄγαν ἐράσμιος, ἀλλὰ καὶ μάλιστα ὁ ἄγαν ἀραρὼς καὶ ἡρμοσμένος τῷ φίλῳ καὶ μὴ δυαζόμενος. Ε.

Σ. 267. Ὑπέστην] Τὸ δὲ ὑπέστην καὶ νῦν ἀντὶ τοῦ ὑπεσχόμην, ἀνεδεξάμην· ἐκ μεταφορᾶς κίονος ὑποκάτου στάντος καὶ ἀνέχοντος τὰ ἐπικείμενα. Ε.— Τὸ πρῶτον. Β.

Σ. 269. Ἐπεὶ σὺν γ' ὅρκι' ἔχευαν] Τὸ παραβῆναι ὅρκους φθάσας εἰπεῖν δηλήσασθαι καὶ πημᾶναι καὶ καταπατῆσαι, τὸ αὐτὸ καὶ συγχέαι φησίν· — εἴληπται δὲ ἡ λέξις ἐκ μεταφορᾶς τῶν πρώην μὲν εὐκρινῶς ἐχόντων, εἶτα συνταραχθέντων, ὁποῖα καὶ τὰ χαλώμενα καὶ καταπατούμενα καὶ συμφυρόμενα καὶ πτυρόμενα. Ε. (ἴδ. Ο, 364.)

Σ. 274. Νέφος . . . πεζῶν] Ὅρα οὖν ὅτι πρὸς τὸ πυκνὸν καὶ πάνυ μέλαν τῆς πεζικῆς τάξεως εἴληφε τὴν ἐκ τοῦ νέφους παραβολήν· ὡς γὰρ τὸ ἐν νέφει μέλαν πυκνόν ἐστι, οὕτω καὶ αἱ τῶν πεζῶν φάλαγγες πυκιναὶ ἐκινοῦντο κυάνεαι. — Ἔχει καὶ ἡ εἰρημένη παραβολὴ πολυμάθειάν τινα· Φύσιν τε γὰρ νέφους ὑπο-

НБ ОНУ імені І.І. Мечникова

δηλοῖ, καὶ διδάσκει, ὅτι τὸ πελάγιον νέφος τὸ οὕτω μέλαν καὶ πυκνὸν, ὄμβρον ἐπάγει, καὶ μάλιστα ζεφύρῳ διωκόμενον· αὐτὸς μὲν γὰρ τὰ νέφη συνάγων χειμῶνα ποιεῖ· εὖρος δὲ καὶ νότος παύουσι διαλύοντες τὰ συνιστάμενα. Ε.

Σ. 275. Σκοπιῆς] Ἰστέον, ὅτι σκοπιὰ μὲν ἡ τοῦ ὄρους κορυφὴ, δι' ἧς διασκοπεῖν ἐστι τὰ πόῤῥω· ἡ δ' αὐτὴ καὶ περιωπὴ λέγοιτ' ἂν, καὶ χῶρος περίσκεπτος. Ε.

Σ. 276. Ἰωῆς] Ἰωὴ δὲ ἡ τοῦ ἀνέμου πνοὴ, ἀπὸ τοῦ ἴω. Ε.

Σ. 277. Μελάντερον ἠΰτε πίσσα] Τὸ δὲ μελάντερον ἠΰτε πίσσα ἁπλῶς ἀντὶ τοῦ μέλαν κατὰ τὴν πίσσαν· οὐ γὰρ εἶχεν εἰπεῖν τι πίσσης μελάντερον. Ε. — Ἀντὶ τοῦ μέλαν· συγκριτικὸν ἀντὶ τοῦ ὑπερθετικοῦ. Σ.

Σ. 280. Ἀρηϊθόων] Διοτρεφέων. — Αἰζῶν] Νεανιῶν.

Σ. 282. Πεφρικυῖαι] Τὸ δὲ πεφρικυῖαι ἀντὶ τοῦ ὀρθούμεναι· πᾶν δὲ τὸ φρίσσον τινὶ φρίσσει τῷ λόγῳ τῶν πρός τι κατὰ Ὁμηρικὴν συνήθειαν· τὸ λήϊον ἀσταχύεσσιν, ὁ κάπρος τῇ λοφιᾷ, ὁ ἄνθρωπος ταῖς θριξὶν, ἡ μάχη ταῖς ἐγχείαις, ἡ θάλασσα τοῖς κύμασιν· οὕτω γοῦν καὶ νῦν αἱ φάλαγγες φρίσσουσι, σάκεσί τε καὶ ἔγχεσιν, ἤγουν ὀρθὰ ἔχουσιν ἔτι πρὸ τῆς συμβολῆς, τὰ σάκεα καὶ τὰ ἔγχεα. Ε. — Τῇ ἀνατάσει τῶν δοράτων πεπυκνωμέναι. Σ. — Σάκεσι] Ταῖς ἀσπίσιρΔ. — Ἔγχεσι] Δόρασι. Δ.

Σ. 290. Ἠμύσειε] Τὸ δὲ ἠμύσειε, λέξις μέν ἐστι ποιηταῖς φιλουμένη, γίνεται δὲ ἀπὸ τοῦ μύειν, δηλοῖ δὲ τὸ κατακλιθείη, σμικρυνθείη, καθ' ὁμοιότητα τῶν μυόντων, εἴτε ὀμμάτων, εἴτε λοιπῶν σωμάτων. Ε.

Σ. 293. Ἔτετμε] Τὸ δὲ ἔτετμε, ποιητικὴ λέξις, ὑποδύσκολος λαμβανομένη ἀντὶ τοῦ κατέλαβε· καὶ γίνεται ἀπὸ τοῦ τέμνω. — Δηλοῖ οὖν σπουδὴν ἡ λέξις. Ε.

Σ. 294. Στέλλοντα] Στέλλειν μέν ἐστι τὸ ἐπιτέλλεσθαι, ὃ καὶ μετ' ὀλίγα κεῖται. Ε. — Ἑτοιμάζοντα, διατάσσοντα. Σ.

Σ. 295. Ἀλάστορα] Ἀλάστωρ ἐνταῦθα ὑποστράτηγός τις Νέστορος, ὡς οἱονεὶ ἄλαστος, ἤγουν μὴ πάσχων λήθην· παρὰ δὲ τοῖς ὕστερον καὶ Ζεὺς ἀλάστωρ, ὃν ἐλάνθανεν οὐδέν· ἢ ὁ τοῖς ἄλαστα πάσχουσιν ἐπαμύνων, κατὰ τοὺς παλαιούς. Κοινῶς μέντοι ἀλάστωρ, φασὶν, ὁ ἁμαρτωλὸς, ἢ κατὰ Χρύσιππον, ὁ φονεύς· βαρύτερον δὲ ἡ λέξις καὶ ἐπί τινων δαιμόνων κεῖται· δαίμονες γὰρ ἀλάστορες, οἱ κακύνοντες. Ε.

НБ ОНУ імені І.І.Мечникова

Σ. 297. Ἵπποισι] Ἵπποισιν. — Ὄχεσφι] Ὄχεσφιν. Β.

Σ. 298. Πεζοὺς δ' ἐξόπιθεν] Ἵνα δηλονότι τοὺς ἱππεῖς ὑποχωροῦντας οἱ πεζοὶ δέχωνται οἱά τινες πύλαι τείχους, ἢ καθ' Ὅμηρον εἰπεῖν, πολέμου γέφυραι· καὶ αὖθις οἱ αὐτοὶ πεζοὶ, ἐκ διαστάσεως συναγόμενοι καὶ ἑνούμενοι, ὡσεὶ πύργος καὶ οἷον ἕρκος πολέμου, ὑπομένωσι τοὺς πολεμίους ἐπιόντας· κακοὺς δέ φησιν ἐς μέσον ἔλασε, καὶ ἱππότας δηλαδὴ καὶ πεζούς· διατί; ἵνα, τίς φησι, καὶ οὐκ ἐθέλων κατ' ἀνάγκην πολεμίζῃ, τοῖς μὲν ὄπισθεν, ὠθούμενος, ἑπόμενος δὲ τοῖς ἐπὶ τοῦ μετώπου. Ε. — Στῆσεν. Β.

Σ. 300. Πολεμίζῃ] Πολεμίζοι. Β.

Σ. 301. Τοὺς γὰρ ἀνώγει] Τοὺς μὲν ἀνώγει. Β.

Σ. 302. Ἐχέμεν] Ἤγουν ἐπέχειν τοὺς ἰδίους ἵππους· μηδὲ κλονέεσθαι ὁμίλῳ ἀτάκτως δηλαδή· μηδέ τίς φησιν ἱπποσύνῃ καὶ ἠνορέηφι πεποιθὼς οἶος πρόσθ' ἄλλων μεμάτω Τρώεσσι μάχεσθαι· μηδ' ἀναχωρείτω, μόνος δηλονότι πρὸ τῶν ἄλλων· διατί; ἀλαπαδνότεροι γάρ φησιν ἔσεσθε· λύεται γὰρ οὕτως ἡ τάξις· καὶ λειποταξίου γραφῇ ἐνέχεται ὁ πρόσθε τῶν ἄλλων ἐθέλων μάχεσθαι, ὡς καὶ ὁ πρὸ τῶν ἄλλων ἀναχωρῶν· τὸν δὲ λειποτακτοῦντα καὶ θανάτῳ ἐν τοῖς πρὸ τούτων ἐδικαίου ὁ Νέστωρ τε καὶ ὁ βασιλεύς. Ε.

Σ. 303. Ἱπποσύνῃ] Ἱπποσύνην δὲ λέγει τὴν ἱππικὴν ἀρετὴν, ἤτοι τὴν ἡνιοχικὴν, ἄλλο οὖσαν παρὰ τὴν ἠνορέην, ἤτοι τὴν ἀνδρίαν. Ε.

Σ. 305. Ἀλαπαδνότεροι] Ἀλαπαδνότεροι δὲ, ἀντὶ τοῦ εὐκαταφρόνητοι, εὐπόρθητοι, ἐκ τοῦ ἀλαπάζω, τὸ πορθῶ. Ε. — ἀσθενέστεροι καὶ εὐχείρωτοι ἔσεσθε. Σ.

Σ. 307. Ὀρεξάσθω] Οἱ μέν φασι, παραγγέλλειν αὐτὸν, ἵνα ὃς ἂν πολεμίου ἅρματος ἐπιβῇ, μάχηται, καὶ μὴ ἐξελαύνειν σπουδάζῃ· οἱ δὲ οὕτως· ὅστις δ' ἄν, φησι, ἀποπέσῃ τοῦ ἰδίου ἅρματος, καὶ ἐπὶ τοῦ πλησίον παραγένηται, μὴ ἡνιοχείτω, διὰ τὸ εἶναι αὐτὸν ἐν ἀγνοίᾳ τοῦ ἤθους τῶν ἵππων· δόρατι δὲ μᾶλλον ἀμυνάσθω τοὺς πολεμίους, ὅ ἐστι πολεμείτω. Σ. — Οὕτω.

Σ. 308. Πόλιας] Πόλεας. — Ἐπόρθουν] Ἐπόρθεον. Β.

Σ. 315. Ὁμοίϊον] Τὸ ὁμοίως πᾶσι χαλεπόν· ἰστέον δὲ, ὅτι ὁ ποιητὴς πανταχοῦ τὸ ὁμοίϊον ἐπὶ τοῦ φαύλου λαμβάνει. Σ. (ἴδ. Ο, 670.).

НБ ОНУ імені І.І. Мечникова

Σ. 325. Ὁπλότεροι] Ὁπλότεροι δὲ, οὐ μόνον οἱ νεώτεροι, ἀλλὰ μάλιστα οἱ μάχιμοι καὶ ὅπλα αἴρειν δυνάμενοι· ἔτι δὲ καὶ οἱ ἁπλῶς ἐργατικοὶ καὶ ἐνεργεῖς· ὅπλα γὰρ πάσης τέχνης τὰ ἐργαλεῖα· καὶ ὁπλίζεσθαι, τὸ εἰς ἔργον ἑτοιμάζεσθαι. Ε. — Πύλιοι καὶ Ἀρκάδες περὶ γῆς ὅρων ἐπολέμουν περὶ τὸ καλούμενον ὄρος Ἀγκαῖον. Νέστωρ δὲ μονομαχήσας ἐκ προκλήσεως, Ἐρευθαλίωνα τὸν Ἱππομέδοντος, ἢ, ὥς ἔνιοι, Ἀφείδαντος ἀνεῖλε, καὶ ὑπὸ χαρᾶς τὸ περιορισθὲν χωρίον παρεξῆλθεν. Οἱ δὲ Ἀρκάδες ἔτι σκαρίζοντος τοῦ Ἐρευθαλίωνος ἐφορμήσαντες τοῖς Πυλίοις συνέβαλον, καὶ οὕτως ἐνίκησαν. Σ.

Σ. 330. Οὐκ ἀλαπαδναί] Οὐκ ἀλαπαδνάς φησιν, ἀλλὰ δηλαδὴ ἐξ ἐναντίου ἀνδρειοτάτας· ὥσπερ ἀλλαχοῦ (Ο, 11.) τὸν Αἴαντα λέγει οὐκ ἀφαυρότατον Ἀχαιῶν, ἀντὶ τοῦ ἀνδρειότατον. Ε. (ἴδ. Α, 330.).

Σ. 333. Οἱ δὲ μένοντες] Τουτέστιν ἀνέμενον συντεταγμένοι οἱ Ἀθηναῖοι καὶ οἱ Κεφαλλῆνες, ὁπότε πύργος, ἤτοι τάξις, Ἀχαιῶν ἄλλος ἑλληνικὸς δηλαδὴ κατὰ Τρώων ὁρμήσει. (ἴδ. Β. 340.) Ε.

Σ. 339. Κερδαλεόφρον] Κερδαλεόφρονα ἐνταῦθα τὸν Ὀδυσσέα ὁ βασιλεὺς καλεῖ, ὡς δῆθεν πραγματευόμενον τὸ ἔξω κινδύνων ἑστάναι. Ε.

Σ. 342. Ἀντιβολῆσαι] Ἀντιβολεῖν δὲ ἀεὶ παρ' Ὁμήρῳ τὸ συναντᾶν, καὶ ὡς εἰπεῖν ἄντην βάλλειν καὶ ἐπιτυγχάνειν· παρὰ δὲ τοῖς νεωτέροις καὶ τὸ παρακαλεῖν· — διαφορεῖται δὲ κατὰ σύνταξιν ἡ λέξις, ἐνταῦθα μὲν γὰρ, μάχης ἀντιβολῆσαί φησιν, ἀντὶ τοῦ τυχεῖν, καὶ ἄντην γενέσθαι, ἀλλαχοῦ δὲ, (Π, 847.) εἴπερ μοι ἀντιβόλησαν ἐείκοσί φησιν, ἀντὶ τοῦ συνήντησαν· τὸ μέν τοι κοινότερον ἀντιβολεῖν αἰτιατικὴν πτῶσιν φιλεῖ, ἀντιβολῶ σε γάρ φαμεν. Ε.

Σ. 343. Ἀκουάζεσθον] Τὸ δὲ ἀκουάζεσθον παράγωγον μέν ἐστι τοῦ ἀκούω, δηλεῖ δὲ συγκλήτους εἶναι εἰς δαῖτα τοὺς οὕτως ἀκουαζομένους· δῆλον γὰρ, ὡς καλοῦνται οἱ ἀκουαζόμενοι κατὰ τὸν Ὅμηρον δαιτός. Ε.

Σ. 347. Ὁρόωτε] Τὸ δὲ ὁρόωτε, ὅπερ οἱ μεθ' Ὅμηρον ὀρῴητέ φασιν, ἐκ τοῦ ὁράοιτε ὁρῷτε γίνεται, πλεονασμῷ Ἰωνικῷ τοῦ προπαραλήγοντος ο, πρῶτον δὲ αὐτοῦ πρόσωπον

НБ ОНУ імені І.І. Мечникова

τὸ ὁρώομι, οὐ κοινὸν τὸ ὁράοιμι ὁρῷμι· ἔστι δὲ τὸ φίλως χ' ὁρόωτε ταὐτὸν τῷ, ἡδέως ἂν βλέποιτε. — Πύργος δὲ, ὡς καὶ πρὸ μικροῦ ἐῤῥέθη, τάξις στρατιωτικὴ, καθὰ καὶ τὸ πλινθίον· πεπύκνωτο δὲ τετραγωνοειδῶς κατὰ σχῆμα πύργου. Ε.

Σ. 350. Ἕρκος ὀδόντων] Ἕρκος φησὶ τὸ περίφραγμα τῶν ὀδόντων, τὰ χείλη περιφραστικῶς. Σ.

Σ. 352. Ὀξὺν Ἄρηα] Ὀξὺς δὲ Ἄρης ὁ τῶν ἤδη συμβεβληκότων εἰς μάχην. Ε.

Σ. 353. Ἢν ἐθέλησθα] Ἢν κ' ἐθέλησθα. Β. Μεταμώνια. Β.

Σ. 355. Ἀνεμώλια] Τὸ δὲ ἀνεμώλια βάζεις, ταὐτόν ἐστι τῷ, ψευδῆ λέγεις· ὁ μὲν γὰρ ἀληθὴς λόγος πράγμασιν ἐγκαθήμενος οὐκ ἂν ἀνέμοις λέγοιτο φέρεσθαι· ὁ δὲ ψευδὴς, κενεμβατῶν, ἀέρος μόνον ἐστὶ πληγὴ καὶ πλέον οὐδέν· Σημείωσαι δὲ, ὅπως ὁ μὲν συνετὸς ῥήτωρ, Ὀδυσσεὺς, ἀνεμώλια βάζειν τὸν βασιλέα λέγει, οὐ πάνυ τραχύνων τὸ σκῶμμα. Σθένελος δὲ ἐν τοῖς ἑξῆς ἀπαιδευτότερον λαλῶν, μὴ ψεύδεό φησιν, ἐπιστάμενος σάφα εἰπεῖν. Ε. — Ἀνεμόφθορα, μάταια. Σ.

Σ. 356. Τὸν δ' ἐπιμειδήσας] Ὁ βασιλεὺς γνοὺς, εὐλόγως αὐτὸν ὀργιζόμενον, ἐπιμειδήσας καὶ ἀγαλλιάματι κεράσας τὸ σκυθρωπὸν, συγγνώμην τε αἰτεῖ καὶ μειλίχια προσφωνεῖ. — Τὸ δὲ ἐπιμειδήσας καίριον ἐν τοῖς παροῦσιν· οὐ γὰρ ἐχρῆν τὸν βασιλέα οὕτω θυμωθέντα, ὡς καὶ ὑβρίσαι, ταχὺ μεταβληθῆναι τοῦ χόλου, ὡς καὶ χανδὸν γελάσαι· ἀρκεῖ δὲ μόνον σεμνῶς γαληνιάσαι ὡς εἰς μειδίαμα, καὶ οὕτω καταστορέσαι τὴν κύμανσιν τῆς ψυχῆς. Ε.

Σ. 357. Πάλιν δ' ὅγε λάζετο μῦθον] Τουτέστιν ἀνέλαβε τὸν λόγον ἀνάπαλιν. Ε.

Σ. 359. Περιώσιον] Περισσῶς, παρὰ τὸ προσῆκον. Σ.

Σ. 361. Δήνεα] Δήνεα δὲ τὰ βουλεύματα. Ε.

Σ. 362. Ἀρεσσόμεθ'] Ἀρέσασθαι ἤτοι συναρμοσθῆναι φιλικῶς. Ε. — Θεραπεύσομεν. Σ.

Σ. 363. Μετὰ μώλια] Μεταμώνια (Εὐστ.) δὲ τὰ μάταια, καὶ μὴ ὀνοῦντα, ὅ ἐστιν ὠφελοῦντα· — εἰ δὲ καὶ μεταμώλια γράφεται, εἴη ἂν ὁ σχηματισμὸς Ἀττικός· Ἀθηναῖοι γὰρ ἀντὶ τοῦ ν, ἔστιν ὅτε λ τιθέασι. Ε.

Σ. 368. Καὶ μὲν τὸν] Καὶ τὸν μέν. Β.

Σ. 371. Ὀπιπτεύεις] Ὀπιπεύεις. Β.

НБ ОНУ імені І.І. Мечникова

Σ. 372. Οὐ μὲν Τυδέϊ] Εὐμηχάνως καὶ ἐνταῦθα παρεισοδιάζει ὁ ποιητὴς πλατεῖαν Ἑλληνικὴν ἱστορίαν περὶ τοῦ ᾀδομένου Θηβαϊκοῦ πολέμου, ἐν τῷ τὸν βασιλέα κατασμικρύνειν μὲν τὸν Διομήδην, ἐξαίρειν δὲ τὸν ἐκείνου πατέρα, ὡς καὶ θαρσαλέον, καὶ ἀνδρεῖον, ὅπερ βαρύ ἐστι. Ε. — Οἰδίπους ἀποβαλὼν Ἰοκάστην, ἐπέγημεν Ἀστυμέδουσαν, ἥτις διέβαλε τοὺς προγόνους, ὡς πειράσαντας αὐτήν· ἀγανακτήσας δὲ ἐκεῖνος ἐπηράσατο αὐτῶν, δι' αἵματος παραλαβεῖν τὴν χώραν, καὶ παρέδωκε τὴν βασιλείαν τῷ Ἐτεοκλῇ· ὃς ἐξέβαλε Πολυνείκην τὸν ἀδελφὸν αὐτοῦ, ὡς πρεσβύτερος. Παραγενόμενος δὲ οὗτος εἰς Ἄργος, εὗρε Τυδέα φυγάδα· βοηθῶν γὰρ κἀκεῖνος τῷ πατρὶ, καὶ τὸν ἐναντιούμενον ἀποκτείνας ἀνεψιὸν, ἔφυγεν. Ἄδραστος δὲ θεασάμενος αὐτοὺς ἠμφιεσμένους θηρῶν δοραῖς, Τυδέα μὲν συὸς, Πολυνείκην δὲ λέοντος, συνέβαλε τὸν χρησμόν· ἦν γὰρ αὐτῷ δεδομένος, κάπρῳ καὶ λέοντι ζεῦξαι τὰς θυγατέρας· καὶ δίδωσι Τυδεῖ μὲν Δηϊπύλην, Ἀργείαν δὲ Πολυνείκει· πέμψας δὲ εἰς Μυκήνας συμμαχίαν ᾔτει ἐπὶ Θηβαίους· Θυέστης μὲν οὖν ἑτοίμως ἐδίδου, σημεῖα δὲ αὐτὸν ἐκώλυσε φαῦλα. Ἐπελθόντες οὖν εἰς τὰς Θήβας Ἀργεῖοι πέμπουσι πρεσβύτην Τυδέα, ὃς καταβαλὼν γυμνικὸν ἀγῶνα, καὶ συμμαχούσης Ἀθηνᾶς νικᾷ τὰ πάντα· ὑποστρέφων δὲ πεντήκοντα νεανίας ἐνεδρεύοντας συλλαβεῖν αὐτὸν, ἀναιρεῖ. Ε. — Πτωκαζέμεν] Πτωσκαζέμεν. Β.

Σ. 376. Ἄτερ πολέμου] Χωρὶς πολεμικῆς παρατάξεως. Σ. (Ἴδ. στ. 388.)

Σ. 377. Ξεῖνος] Ἰστέον δὲ, ὅτι τὸ, ξεῖνος, διασαφητικόν ἐστι τοῦ, ἄτερ πολέμου, ἵνα μὴ νοοῖτο κατ' ἐμπορίαν, ἢ ἐκ παρόδου ὁ Τυδεὺς εἰς Μυκήνας ἐλθεῖν, ἀλλὰ διὰ πρεσβείαν, ἧς χάριν ἐπεξενώθη ἐκεῖ. Ε.

Σ. 378. Οἵ ρα τότ'] Οἵ δὲ τοτ'. Β.

Σ. 380. Ἐπήνεον] Ἴδ. Φ, 290.

Σ. 381. Ζεὺς ἔτρεψε] Ἤγουν παρέτρεψεν, ἐκώλυσε, παραίσια σήματα φαίνων, παραδηλοῖ ἐξ ἀέρος τινὰ καὶ τότε συμβῆναι σύμβολα, ὡς εἰκὸς, δι' ὧν ἐκωλύθησαν οἱ Μυκηναῖοι συμμαχίαν δοῦναι τοῖς Ἀργείοις. — Παραίσια] Παραίσια δὲ τὰ παρὰ τοῖς ὕστερον ἀπαίσια· πολλάκις γὰρ ἡ παρὰ πρόθεσις ταὐτὸν τῇ ἀπὸ προθέσει δύναται. Ε.

Σ. 382. Πρὸ ὁδοῦ ἐγένοντο] Τὸ δὲ πρὸ ὁδοῦ ἐγένοντο περίφρασίς ἐστι τοῦ προώδευσαν. Ε.

Σ. 384. Ἀγγελίην] Τουτέστιν ἐπὶ ἀγγελίαν ἔπεμψαν τὸν Τυ-
δέα. Ε. (ἴδ. Λ, 140.).
Σ. 389. Πάντα δ' ἐνίκα] Ἀντὶ τοῦ ἐν παντὶ ἀγωνίσματι. Ε.
Σ. 392. Λόχον] Ὅρα δ' ἐν τούτοις, ὅτι τοὺς πεντήκοντα ἄν-
δρας λόχον εἶπε· καὶ μὴν τινες λόχον φασὶ, τῶν ἐξ εἰκοσιτεσ-
σάρων ἀνδρῶν· (Ξενοφ. Κυρ. παιδ. ς, 3, 21.) ἴσως δὲ καὶ ὁ ποιητὴς
νῦν τοῦτο ἐμφαίνει, εἰπὼν, ὅτι κοῦροι πεντήκοντα, δύο δ' ἡγή-
τορες ἦσαν· εἰκοσιτέσσαρες γὰρ ἄνδρες καὶ αὖ πάλιν τοσοῦτοι,
ἀνὰ ἕνα εἶχον ἡγήτορα· ἡ δὲ τραγῳδία καὶ ἄλλοι λόχον φασὶ
τὸ ἁπλῶς στρατιωτικὸν σύνταγμα. Ε. — Λόχον] Ἐνέδραν. Σ.
— Ἂψ οἱ ἀνερχομένῳ] Ἂψ ἀναερχομένῳ. Β.
Σ. 395. Αὐτοφόνοιο] Ὁ δὲ αὐτοφόνος ἀνδρείου κλῆσίς ἐστιν, ὃς
οὐχ ἑτέροις ἐπιτάσσων ἀριστεύει, ἀλλ' αὐτὸς φονεύων καὶ αὐτόχειρ
τῆς ἀριστείας γενόμενος. Ε. — Λυκοφόντης] Πολυφόντης. Β.
Σ. 396. Ἐφῆκε] Ἐφ' ἧκε. Β.
Σ. 400. Ἀγορῇ δέ τ' ἀμείνω] Ἐν δὲ τῷ δημηγορεῖν· πάνυ
γὰρ συνετὸν πανταχοῦ ὑποτίθεται τὸν Διομήδη ὁ ποιητὴς ἐν
τοῖς νέοις. Σ. — Οὐ γὰρ μετεῖχε λόγου Τυδεύς. Ἀντίμαχος
δέ φησι, ὅτι παρὰ συφορβοῖς ἐτράφη· καὶ Εὐριπίδης, οὐδ' ἐν
λόγοις ἦν δεινὸς, ἀλλ' ἐν ἀσπίδι· πιθανῶς δὲ προφυλαξάμενον
ἀγορητὴν αὐτόν φησιν, ἵνα πρὸς τὴν ἀπολογίαν ὀκνήσῃ· διὸ
οὐδὲν προσφθέγγεται ὁ Διομήδης. Σ. — Ἀμείνων. Β.
Σ. 402. Ἐνιπήν] Ἤγουν τὴν διὰ λόγων ἐπίπληξιν καὶ
κακολογίαν· ἐνίπτω γὰρ τὸ κακολογῶ. Ε. (ἴδ. Ι, 34).
Σ. 405. Ἡμεῖς τοι κ. τ. λ.] Περὶ ἑαυτοῦ λέγει Σθένελος καὶ
Διομήδης· οὗτοι γὰρ μόνοι τῶν ἐπιγόνων ἐστρατεύκεισαν ἐπὶ
Ἴλιον· ἐπίγονοι δὲ ἐκλήθησαν τῶν ἐπὶ Θήβας στρατευσαμέ-
νων οἱ παῖδες. Σ. (ἴδ. Ἀπολλόδ. σελ. 640.).
Σ. 412. Τέττα] Τὸ δὲ τέττα προσφώνησίς ἐστι καὶ νῦν
φιλεταιρικὴ νέου πρὸς μείζονα. Ε. — Ἧσο, ἀντὶ τοῦ δίαγε
καὶ μένε κεῖται· ἄλλως γὰρ οὐκ ἦν ἐν τοιαύτῃ μάχῃ κα-
θέζεσθαί τινα. Ε. — Τέτγα. Β.
Σ. 422. Πολυηχέϊ κῦμα θαλλάσσης] Μιμούμενος ὁ ποιη-
τὴς ἐν παραβολῇ θαλασσείᾳ τραχύτητα κυμάτων ἠχοῦ, ὁμοίαις
πως λέξεσι φράζει τὸ ὑποκείμενον συνεκτραχύνων δι' ὅλου
τῷ λεγομένῳ καὶ τὴν φωνήν. Λέγει γὰρ ὡς δ' ὅτ' ἐν αἰγια-
λῷ κ. τ. λ. — Ζεφύρου ὑποκινήσαντος, ἤγουν ἠρέμα τὸ πρῶ-
τον εἰς φρίκα διασαλεύσαντος, Ε.

НБ ОНУ імені І.І. Мечникова

Σ. 423. Ὑποκινήσαντος] Ὑπὸ κινήσαντος. Β.

Σ. 424. Πόντῳ] Πόντον μὲν κἀνταῦθα συνήθως ἔφη τὸ τῆς θαλάσσης πελαγίζον. Ε. — Κορύσσεται] Κορυφοῦται, αὔξεται, εἰς ὕψος ἐπαίρεται. Σ.

Σ. 425. Χέρσῳ] Χέρσον λέγει τὸν ἀνωτέρω αἰγιαλόν. — Ὅτι τὸ βρέμει προσαρμόττον καὶ πυρὶ καὶ ἀνέμοις, ἰδοὺ κεῖται καὶ ἐπὶ κύματος, καὶ ὅτι ἄκρας τὰ ἀκρωτήρια λέγει, ἐν οἷς μάλιστα βρέμει τὰ κύματα. Ε.

Σ. 426. Κυρτόν] Μετέωρον, ὑψηλόν. Σ. — Ἀποπτύει δ' ἁλὸς ἄχνην ἤγουν ἀφρὸν ἢ φυκίον, ἃ πτύελον ὥσπερ ἤτοι ἀπόπτυσμα θαλάσσης εἰσὶν ἐρευγομένης ἔξω, ὡς ἐν ἄλλοις φησίν. (Ρ, 265.) Ε.

Σ. 433. Τρῶες δ'] Ὅτι σεμνύνας τοὺς Ἕλληνας ἐπὶ εὐταξίᾳ διὰ τὴν ῥηθεῖσαν σιγὴν, εὐθὺς ἐκ τοῦ ἐναντίου ὑπογράφει τὸν κατὰ Τρῶας πολὺν θόρυβον παραβολικῶς οὐ κατὰ γεράνους, ὡς πρὸ τούτων, ἄλλα κατὰ συχνὰ ποίμνια γινόμενον. — Πολυπάμμονος] Πολυθρέμμονος· πλουσίου· πάμματα γὰρ καλεῖται παρὰ Δωριεῦσι τὰ κτήματα· καὶ πάσασθαι, τὸ κτήσασθαι, ἐκτεινομένου τοῦ ά. Σ. — Πολυπάμονες. Β.

Σ. 435. Ἀζηχές] Τὸ δὲ ἀζηχὲς ἐκ τοῦ ἀδιεχὲς γίνεται, ὃ ἐναντίον ἐστὶ τῷ συνεχεῖ. Ε. — Ἀδιαλείπτως, συνεχῶς. Σ. — Ἀκούουσαι. Ε.

Σ. 438. Πολύκλητοι] Ἤγουν ἐκ πολλῶν συγκληθέντες γλωσσῶν· οἱ γὰρ Ἕλληνες, ὡς ὁμόγλωσσοι, οὐ πολύκλητοι· βραχύ τι κατὰ τὰς διαλέκτους διαφέροντες, καὶ οὐδὲ τοῖς τόποις πολυσπερέες καὶ πάνυ μακρὰν διεστῶτες. Ε. (Ἴδ. Β, 804).

Σ. 439. Ὦρσε . . . Ἀθήνη] Τοὺς μὲν Ἕλληνας Ἀθηνᾶ ὀτρύνει εἰς μάχην· Ἄρης δὲ τοὺς Τρῶας, θυμὸς δηλαδὴ ἄλογος. Ε.

Σ. 440. Δεῖμός τ', ἠδὲ Φόβος, καὶ Ἔρις] Συμπαραμίγνυσι δὲ Ὅμηρος τῷ Ἄρει καὶ τῇ Ἀθηνᾷ τόντε Δεῖμον, τόντε φόβον· — ἔτι δὲ τὴν Ἔριν εἰς (Ι, ἧς. Βασιλ.) ἄνευ οὐκ ἄν ποτε συσταίη πόλεμος. — Εἰ καί τινες ἵππους Ἄρεως τὸν Δεῖμόν φασι καὶ τὸν Φόβον, ἀλλ' ἐνταῦθα θεράποντες αὐτοὶ καὶ ὀπαδοὶ φαίνονται Ἄρεος. Ἔστι δὲ Δεῖμον μὲν, τὸ δεδιέναι· Φόβος δὲ, ἡ φυγή. Ε. — Ἄρεος καὶ Ἀφροδίτης παῖδες, κατὰ δέ τινας οὐχ υἱοὶ, ἀλλ' ἵπποι. Σ.

Σ. 442. Ὀλίγη — ἐστήριξε] Προσεπέλασεν, ἤγγισε. Σ. — αἰνίττεται δὲ διὰ τούτων τὸ τῆς ἔριδος ἴδιον· μικρᾶς γὰρ πολ-

λάκις εἰς ἔριν προϋπαρξάσης αἰτίας, ἀκρίδος τυχὸν ἢ περδίκος κατὰ τὰς ἱστορίας, γυναικὸς γὰρ εἰπεῖν, ἢ τοιούτου τινὸς, πλείων ὁ λόγος, μέγιστος ἐκεῖθεν ἐκκορυφοῦται αὐξανόμενος πόλεμος. Ε.

Σ. 444. Μέσσῳ] Μεταξὺ Τρώων καὶ Ἑλλήνων. Σ.

Σ. 448. Ὀμφαλόεσσαι] Ὀμφαλοὶ δὲ ἀσπίδος βοῦλλαί τινες εἰς κόσμον ἐπικείμεναι· καὶ μάλιστα περὶ τὸ μέσον, ὅθεν καὶ εἴρηνται καθ᾽ ὁμοιότητά τινα τοῦ ζωϊκοῦ ὀμφαλοῦ. Ε.

Σ. 450. Οἰμωγή] Τῶν ἡττωμένων δηλονότι — Εὐχωλή] Καύχησις δηλονότι τῶν νικώντων. Σ.

Σ. 451. Ὀλλύντων τε, καὶ ὀλλυμένων] Τῶν τε φονευόντων καὶ τῶν πεφονευμένων. Δ. — Ῥέε] Ἰστέον δὲ ὅτι γενικὸν μὲν ὄνομα τὸ, ποταμοὶ, ἰδικὸν δὲ τὸ χείμαῤῥοι· ἰστέον δὲ, καὶ ὅτι ἀπὸ τοῦ πλεονάζοντος λέγεται ὁ χείμαῤῥος· κἂν γὰρ μὴ ἐν χειμῶνι ῥέῃ, ὅμως χείμαῤῥος καλεῖται, ὡς τὰ πολλὰ ἐν καιρῷ χείματος ῥέων, καὶ ὅτι ὁπηνίκα λέγομεν χείμαῤῥον, ἐλλιπῶς λέγομεν, τὸ γὰρ τέλειον, ποταμὸς χείμαῤῥος. — Δῆλον δ᾽ ὅτι χειμάῤῥους ποτὲ καὶ ὁ τόπος λέγεται, κἂν ξηρὸς ᾖ, ὁ σχὼν ποτε τοιοῦτον ποταμόν. Ε.

Σ. 453. Μισγάγκειαν] Ἄγκος διὰ τοῦ κ, ὁ βαθὺς καὶ φαραγγώδης καὶ κοῖλος τόπος, — ἐὰν δὲ εἰς τοιοῦτον ἄγκος πολλὰ συμβάλλωσιν ὕδατα, μισγάγκεια τοῦτο λέγεται. Ε.

Σ. 454. Κρουνῶν] Ὅτι κρουνοὶ αἱ τῶν χειμάῤῥων ἀρχαὶ, ὥσπερ πηγαὶ αἱ τῶν ἀεννάων· καὶ ὅτι χαράδρα κυρίως ἐπὶ χειμάῤῥου, ὃς ῥέων χαράττει δραστηρίως τὴν γῆν. Ε.

Σ. 457. Πρῶτος . . . κορυστήν] Πολυειδὴς ὢν ὁ ποιητὴς πανταχοῦ τὰ ἐς ῥητορείαν καὶ πόριμος, τοιοῦτός ἐστι καὶ ἐν ταῖς τῶν ἀριστέων βολαῖς καὶ ἐν τοῖς πίπτουσιν, ἀμύθητον ἐξευρίσκων εὐπορίαν, καὶ ἐν αὐτοῖς ἐκεῖνον μὲν τοιῶς δε βεβλῆσθαι λέγων ἢ πίπτειν, τὸν δὲ τοιῶς δὲ καὶ ἄλλον ἄλλως. Ε.

Σ. 461. Ὄσσ᾽ ἐκάλυψεν] Ὄσσε κάλυψεν. Β.

Σ. 465. Λελιημένος] Προθυμούμενος, ἐσπουδακώς. Σ.

Σ. 472. Ἐδνοπάλιζεν] Ὅ ἐστιν ἐδόνει καὶ ἔπαλεν· ἢ ἐδόνει ταῖς παλάμαις. Ε.

Σ. 474. Ἠίθεον[ Ἠίθεος δὲ εἴδους ἐστὶν ἀνδρώδους ἡλικίας νεωτερικῆς· κατὰ δὲ τοὺς ἀκριβεστέρους, ὁ μήπω εἰς γάμον ἐλθών. Ε. — Ἄγαν νέον. Σ.

Σ. 478. Θρέπτρα] Τὰ ὑπὲρ τῆς ἀναστροφῆς (ἀνάγνωθ. ἀνατροφῆς) χαριστήρια. Ε. (Ἰδ. Θεόφρ. σελ. 312.) — Ἰστέον καὶ

НБ ОНУ імені І.І.Мечникова

ὡς ἐπί τινος πρὸ ὥρας τελευτήσαντος οἰκεῖον ῥηθῆναι τὸ, οὐδὲ θοκεῦσι θρέπτα (Εὐστάθ. θρέπτρα) φίλοις ἀπέδωκε. — Λέγει δὲ θρέπτα, τὰ τροφεῖα, ἐκ τοῦ θρεπτήρια, κατὰ συγκοπὴν, ὡς λυτήρια λύτρα, σωτήρια σῶστρα. Ε. — Ὅτι Ζηνόδοτος γράφει χωρὶς τοῦ ρ· λέγεται δὲ θρεπτὰ, τὰ τεθραμμένα, θρέπτρα δὲ σὺν τῷ ρ, τὰ θρεπτήρια, ὥσπερ λύτρα, τὰ λυτήρια. Σ. Β.

Σ. 484. Λείη] Λεῖα καὶ ἄοζος, καὶ δι' αὐτὰ ταῦτα εἰς ἅρματος περιφέρειαν χρησιμεύει. Ε.

Σ. 486. Ἴτυν] Ἴτυν δὲ λέγει τὴν περιφέρειαν, ἀπὸ τοῦ ἰέναι, ὅ ἐστι προϊέναι καὶ περιάγεσθαι. Ε.

Σ. 487. Ἀζομένη] Ξηραινομένη. Σ.

Σ. 499. Υἱὸν Πριάμοιο νόθον βάλε] Τὸν οὐ γνήσιον, ἀλλ' ἐκ παλλακίδος ὄντα· αἱ γὰρ παιδοποιίαι παρὰ τῷ ποιητῇ τετραχῶς λέγονται· ὁ μὲν γὰρ γνήσιος, ὁ δὲ νόθος καλεῖται παῖς· ὁ δὲ σκότιος, καὶ ἄλλος παρθένιος. Γνήσιος μὲν οὖν καλεῖται, ὁ ἐκ νομίμων γάμων· νόθος δὲ, ὁ ἐκ παλλακίδος· σκότιος, ὁ τὸν πατέρα ἀγνοῶν· σκότιον δ' ἐγείνατο μήτηρ (Ζ, 24.)· παρθένιος δὲ, ὁ ἐκ παρθένου ἔτι νομιζομένης γενόμενος· ὡς τὸ παρθένιος, τὸν ἔτικτε χορῷ καλὴ Πολυμήλη (Π, 180.) Σ.

Σ. 500. Παρ' ἵππων ὠκειάων] Ἐξ ἐκείνου τοῦ τόπου, ἐν ᾧ ἵπποι ἐγεννῶντο ταχεῖς. Εἶπε δὲ, ὅτι ἐκεῖ ἐτρέφοντο καὶ οἱ ἵπποι τοῦ Πριάμου. Σ. — Ἀβυδόθεν] Ἐν Ἀβύδῳ Πριάμου ἦσαν ἱπποφόρβια ἢ ἱπποστάσια. Ε.

Σ. 502. Κόρσην] Τὸν κρόταφον λέγει· ἐπίκορσα γάρ φασιν Ἀττικοὶ τὰ ὑπεράνω τῶν γνάθων· ὡς οὖν ἔλος ἔλαφος, οὕτω κόρση, κόρταφος, κρόταφος. Σ. Β.

Σ. 506. Μέγα ἴαχον] Μέγ' ἴαχον. Β.

Σ. 508. Περγάμου] Ὅμηρος μὲν μόνην τὴν τῆς Ἰλίου ἀκρόπολιν Πέργαμον ὀνομάζει θηλυκῶς· οἱ δὲ νεώτεροι πάσας τὰς ἀκροπόλεις οὕτω καλοῦσιν, οἳ καὶ οὐδετέρως τὰ Πέργαμά φασιν· — ἔθος δὲ τοῖς παλαιοῖς κτίσταις τῶν πόλεων, ἀκροπόλεις ἱστᾶν ἐν τοῖς ὑψηλοῖς τῶν τόπων, ἄλλης τε ἀσφαλείας χάριν, καὶ φόβῳ κατακλυσμοῦ. Ε.

Σ. 511. Ταμεσίχροα] Τὰ μεσίχροα. Β.

Σ. 513. Χόλον θυμαλγέα πέσσει] Τὸν Ἀχιλλέα χόλον θυμαλγέα φησὶ πέσσειν, ὅ ἐστι κατέχειν ἔσω· οὕτω δὲ καὶ γέρα πέσσειν ἀλλαχοῦ, τὸ συνέχειν καὶ περιέπειν (Α, 237.) Ε.

Σ. 515. Τριτογένεια] Ἡ Ἀθηνᾶ, ἢ τὸ τρεῖν καὶ φοβεῖ-

НБ ОНУ імені І.І.Мечникова

σθαι γεννῶσα τοῖς πολεμίοις· ἢ ἡ ἐπὶ τῷ Τρίτωνι ποταμῷ τῆς Λιβύης γεννηθεῖσα. Σ.

Σ. 520. Αἰνόθεν] Ἤτοι ἐκ τῆς Αἴνου, ἐπίκουροι ἦσαν τοῖς Τρωσί· καθὰ καὶ ἐκ τῆς λοιπῆς Θρᾴκης· καί ἐστιν ἐκ τῶν ἐν τῇ Βοιωτίᾳ γραφέντων συναγαγεῖν, Κικόνων μοῖράν τινα καὶ τούτους εἶναι. Ε.

Σ. 521. Ἀναιδὴς] Τὸ δὲ ἀναιδὴς ἐκ τῶν λογικῶν παρῆκται εἰς τὸν λίθον, καθὰ καὶ τὸ ἀνηλεὴς εἰς τὸν σίδηρον. Ε.—Ὁ ταχύς. Σ.

Σ. 522. Ἄχρις] Τὸ ἄχρις ἐνταῦθα κεῖται κατὰ τοὺς παλαιοὺς, ἀντὶ τοῦ διόλου. Ε. — Ἀπηλοίησεν] Ἀπέκοψε. Σ.

Σ. 525. Οὖτα] Τὸ δὲ οὖτα ἐκ τοῦ οὐτάζω γίνεται· οὗ ἀόριστος οὔτασα, τὸ τρίτον οὔτασε, καὶ κατὰ ἀποκοπὴν οὖτα· διὸ καὶ συστέλλει παρὰ τῷ ποιητῇ τὸ δίχρονον καὶ προπερισπᾶται. Ε.

Σ. 526. Χολάδες] Χολάδας τὰ ἔντερα λέγει, ἐπεὶ εἰς αὐτὰ συῤῥεῖ ξανθὴ χολή. Ε.

Σ. 532. Περίστησαν] Ταὐτὸν τῷ περιέβησαν, ὅ ἐστιν ὑπερεμάχησαν. Ε.

Σ. 533. Ἀκρόκομοι] Ὅ ἐστιν ἄκρως κομῶντας· καὶ δόλιχά φησιν ἔχειν αὐτοὺς ἔγχεα· ἴσως γὰρ ταῦτα ἦσαν αὐτοῖς παράσημα· — τινὲς δὲ οἴονται ἀκροκόμους λέγειν, τοὺς ἐν ἄκρῳ τῆς κεφαλῆς κομῶντας, οὐ μὴν καθειμένας εἰς βάθος τὰς τρίχας ἔχοντας. Ε.

Σ. 535. Πελεμίχθη] Πελεμίζειν πολλαχοῦ παρὰ τῷ ποιητῇ τὸ κινεῖν ἢ μετακινεῖν· — μετακινηθεὶς ὑπεχώρησε· καὶ ἔστι καὶ τοῦτο πρωθύστερον σχῆμα· — κἀκεῖνο δὲ ἰστέον, ὡς ἐπεὶ καὶ ἄμφω κινήσεις εἰσὶ καὶ τὸ πελεμιχθῆναι καὶ τὸ χάσασθαι, ἀδιάφορον ὁ ποιητὴς ἡγεῖται οὕτως ἢ ἐκείνως εἰπεῖν. Ε.

Σ. 537. Ἐπειῶν] Ἠλείων· ἀπὸ Ἐπειοῦ τοῦ Ἠλείου, βασιλέως αὐτῶν. Σ.

Σ. 539. Ἔργον] Νῦν τὸν πόλεμον. — Ὀνόσαιτο] Ἐκφαυλίσειε, μέμψαιτο. Σ.

Σ. 540. Ἄβλητος καὶ ἀνούτατος] Λέγεται ὅ ἐστι μήτε ἀπὸ διαστήματος τρωθεὶς δόρατι ἢ ὀϊστῷ, μήτε δὲ ἐκ τοῦ ἐγγὺς ξίφει· τοῦτο γὰρ διαφέρει βολὴ τρώσεως. Σ.

Σ. 541. Δινεύοι] Περὶ αὐτὸν ἀναστρέφοιτο· ὅθεν καὶ αἱ συστροφαὶ τῶν ἀνέμων δῖναι λέγονται. Σ.

НБ ОНУ імені І.І.Мечникова

# ΣΧΟΛΙΑ

## ΕΙΣ ΤΗΝ

## ΤΟΥ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ.

## ΡΑΨΩΙΔΙΑ, Ἢ ΓΡΑΜΜΑ Ε.

Σ. 1. Διομήδεϊ] Ποιεῖ δὲ Ὅμηρος ἐν τῇ ῥαψῳδίᾳ ταύτῃ τὸν Διομήδην ὑπὲρ πάντας Ἀχαιοὺς ἀριστεύοντα κατ᾽ ἐξαίρετον· ἀνεπτέρωται γὰρ ἤδη ἐρεθισθεὶς ὁ ἥρως τοῖς τοῦ βασιλέως λόγοις, καὶ ἄλλως ὀξὺς ὢν καὶ Φιλότιμος. Ὅλως γὰρ, ὡς ἐῤῥέθη, δραςικὸς παρ᾽ Ὁμήρῳ πᾶς λόγος, καὶ οὐκ ἂν εὕροις τινὰ παρὰ τῷ ποιητῇ ὀνειδισθέντα, ἢ κελευσθέντα, ἢ ἄλλως λόγοις ἐρεθισθέντα, καὶ μὴ οὐκ ἀνύσαντά τι καλὸν, καὶ ἑαυτοῦ κρείττω γενόμενον· ὅπουγε καὶ ἐν τοῖς ἑξῆς ὁ Ἀλέξανδρος ἐρεθισθεὶς τοῖς τοῦ Ἕκτορος λόγοις, ἀριστεύει καὶ πρὸ αὐτοῦ Ἕκτορος. Ε.

Σ. 2. Μένος καὶ θάρσος] Μένος μὲν κατὰ σῶμα, θάρσος δὲ κατὰ ψυχὴν, οὐχ, ὡς πρότερον μὴ ἔχοντι, ἀλλὰ τὰ ἔμφυτα ἐπαυξάνουσα, ὧν ἑκάτερον θατέρου χωρὶς, ἀλυσιτελές. — Θάρσος μέν ἐςι, φασὶ, τὸ εὔλογον (ἴσ. ἔλλογον, θάρσος, ἀλόγῳ.) παράστημα τῆς ψυχῆς, — θράσος δὲ τὸ ἀνάπαλιν. — Ἔκδηλος] Ἤγουν τῶν Ἀργείων ἐκδηλότατος πάντων· τὰ γὰρ πρὸ τούτου ἐπεσκοτεῖτο οἷον ὑπὸ τῆς Ἀχιλλέως ἀρετῆς. Ε. — Τὸ δὲ μετὰ πᾶσιν, ἀντὶ τοῦ, ἐν πᾶσιν. Σ. Β.

Σ. 4. Δαῖέ οἱ] Τουτέστιν ἀνέκαιε τῷ Διομήδει. — Σημειῶσαι δὲ, ὅτι καὶ ἐξ εἰκότων ὁ περὶ τοῦ πυρὸς τούτου ἐνταῦθα λόγος πέπλασται τῷ ποιητῇ· ὡς πολλάκις καὶ τοιούτων τινῶν γινομένων· καθὰ καὶ ἐπὶ τοῦ μεγάλου Ἀλεξάνδρου συνέπεσε. Κινδυνεύων γὰρ ἐκεῖνός που ἐν Ἰνδίᾳ ἐτινάξατο τοῖς ὅπλοις

НБ ОНУ імені І.І.Мечникова

κατὰ τὴν ἱστορίαν· οἱ δὲ βάρβαροι σέλας τι καὶ φάσμα πρὸ τοῦ σώματος ἔδοξαν φέρεσθαι. Καὶ Ὅμηρος μὲν ὡς μῦθον εἰπὼν συμβιβάζεται ἀλληγορικῶς· ἡ δέ γε ἱστορία πολλὰ σώματα πυροβολῆσαι διδάσκει. Τιβερίου τε γὰρ ἵππος σπινθῆρας ὑφίει ποτὲ τοῦ στόματος. — Καί τις δὲ σοφὸς παλαιός φησι περὶ ἑαυτοῦ, ὅτι ἐνδυομένου ποτὲ καὶ ἐκδυομένου αὐτοῦ, σπινθῆρες ἀπεπήδων ἐξαίσιοι· ἔστιν ὅτε καὶ κτυποῦντες· ἐνίοτε δὲ καὶ φλόγες ὅλαι κατέλαμπόν φασι τὸ ἱμάτιον μὴ καίουσαι. Β.

Σ. 5. Ἀστέρ'] Ὁ μὲν ἀστὴρ, ἓν σῶμά ἐστι· τὸ δὲ ἄστρον ὡς περιεκτικόν. Ἄστρον γὰρ τὸ ἐκ πολλῶν ἀστέρων συγκείμενον ἀςροτέθημα μιᾷ φαντασίᾳ ὄψεως ὑποπίπτον, μετά τινος μυθολογίας ἀποδιδόμενον, ὡς ἐν τοῖς Ἀράτου φαίνεται· καὶ οὕτω μὲν κατὰ τοὺς παλαιούς· οἱ δὲ ὕστερον συνέχεαν τὰς λέξεις, ὡς εἶναι παρ' αὐτοῖς ταὐτὸν ἄστρον καὶ ἀστέρα. — Ὀπωρινῷ] Ἴδ. Χ, 27. — λέγει δὲ ἀστέρα ὀπωρινὸν, τὸν κύνα, ὃν ἡ κοινὴ λαλιὰ διὰ τὸ σαφέστερον, κύναστρον λέγει. Ε.

Σ. 6. Παμφαίνῃσι] Εὐστάθ. Σ. παμφαίνησι. — Λελουμένος Ὠκεανοῖο] Τὸ δὲ λελουμένος Ὠκεανοῖο, ἐλλέλειπται προθέσεως, ἵνα ᾖ, λελουμένος ἐπὶ Ὠκεανοῦ. Ε. — Νεωστὶ ἀνατέλλων ἐξ Ὠκεανοῦ· τὰς γὰρ ἀνατολὰς τῶν ἄστρων ἐντεῦθεν ὁ ποιητὴς συνιστᾷ. Ὠκεανὸς δὲ ποταμὸς, καθ' Ὅμηρον, περιῤῥέων κύκλῳ τὴν γῆν, ποταμῶν πάντων πατὴρ ὤν. Σ.

Σ. 8. Κατὰ μέσσον] Κατὰ τὸ μέσον τῆς μάχης. Σ. — Κλονέοντο] Διεταράσσοντο. Σ.

Σ. 9. Ἦν δέ τις] Τοῦτο τὸ εἶδος διήγησις· τρεῖς γὰρ ἀρεταὶ διηγήσεως, σαφήνεια, συντομία καὶ πιθανότης· ἅπερ ἐνέθηκε τὸ ἔθνος, τὸ ὄνομα, τὴν τύχην, τὸν τρόπον, τὴν ἀρχὴν, τῶν παίδων τὰ ὀνόματα καὶ τὴν ἀρετήν. Σ.

Σ. 12. Ἀποκρινθέντε] Λέγει δὲ ἀποκρινθῆναι, τὸ χωρισθῆναι τοῦ ὁμίλου. Β.

Σ. 14. Σχεδὸν] Τὸ σχεδὸν ἀεὶ παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἐγγὺς λαμβάνεται. Ε.

Σ. 15. Πρότερος προΐει] Ἀεὶ δὲ τοὺς πρώτους εἰσάγει τὸ πλεῖστον ὀλλυμένους. Σ. Β.

Σ. 17. Οὐδ' ἔβαλ' αὐτὸν] Ἴδ. Α, 52.

Σ. 19. Μεταμάζιον] Μεταξὺ τῶν μαζῶν. Σ.

Σ. 20. Λιπὼν] Ἵνα ἀσχολία Διομήδει τὸ λάφυρον γένηται. Σ. Β.



НБ ОНУ імені І.І.Мечникова

Σ. 21. Περιβῆναι] Ἔστι δὲ καὶ νῦν περιβῆναι, τὸ ἐπάνω τοῦ νεκροῦ στάντα ὑπερμαχῆσαι, ὃ καὶ ἀμφιβῆναι λέγεται.

Σ. 22. Οὐδὲ γὰρ] Τὸ οὐδὲ γὰρ οὐδέ κεν αὐτὸς ὑπέκφυγε κῆρα μέλαιναν, καὶ τὸ οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱὸς (Ζ, 130.) καὶ ὅσα τοιαῦτα, περιττὴν ἔχουσι τὴν μίαν ἀπόφασιν, κατὰ Ἀττικὴν συνήθειαν. Ἔστι δὲ τῶν δύο ἀρνήσεων ἡ μὲν μία, τοῦ ῥηματικοῦ πράγματος, ἡ ἑτέρα δὲ τοῦ προσώπου, ἵνα λέγῃ, ὅτι οὐδὲ ὑπεξέφυγεν ἂν οὐδὲ αὐτὸς, καὶ ἐνδείκνυνται τὴν παντελῆ ἄρνησιν τοῦ πράγματος. Ε.

Σ. 23. Νυκτὶ καλύψας] Ἀντὶ τοῦ ἀορασίᾳ κρύψας. — Ταὐτὸν δέ ἐστιν εἰπεῖν, νυκτὶ καλύψαι, καὶ ἠέρι· ἄμφω γὰρ ἀορασίαν δηλοῖ. Ε.

Σ. 28. Ἀλευάμενον] Ἐκκλίνοντα, φεύγοντα. Σ. (Ἴδ. Ὀδυσσ. Μ, 157.)

Σ. 31. Τειχεσιπλῆτα] Ἰστέον δὲ, ὅτι τὸ τειχεσιπλῆτα τινὲς διὰ τοῦ β γράφουσιν· ἀμφοτέρων δὲ μία ἔννοια· ἔστι γὰρ τειχεσιπλήτης μὲν, ὡς ἄν τις εἴπῃ πολιορκητὴς, ὁ τοῖς τείχεσι πλησιάζων ἐπὶ πορθήσει· τειχεσιβλήτης δὲ, ὁ καταβάλλων τὰ τείχη. Ε. — Ποσειδῶνος δὲ ἔργον, τὸ ἐκ θεμελίων καταβάλλειν, καὶ τὰ ἐπίγεια σείειν· Ἄρεως δὲ, τοῖς τείχεσι προσπελάζειν. Σ. Β. — Μιαιφόνε] Σημείωσαι δὲ καὶ ὅτι τὸ μιαιφόνος οὐδ' ἐνταῦθα ἐπὶ ὕβρει κεῖται· τί γὰρ ἔδει μάτην οὕτω καὶ οὐκ ἐν καιρῷ λοίδορον εἶναι τὴν Ἀθηνᾶν· δηλοῖ δὲ ἁπλῶς οὕτως ὡς ἐν μετρίῳ σκώμματι τὸν αἱμοβαφῆ· ἔστι γὰρ μιαίνεσθαι μὲν τὸ βάπτεσθαι. Ε.

Σ. 33. Ὀρέξῃ] Ὀρέξαι καὶ ἐνταῦθα τὸ δοῦναι. — Ὀρέξῃ, ἤγουν ἐκτείνας τὴν χεῖρα δώσει· κυρίως γὰρ ὀρέγειν, τὸ ἐκτείνειν.

Σ. 36. Ἐπ' ἠϊόεντι Σκαμάνδρῳ] Τὸν Σκάμανδρον ἠϊόεντα λέγει διὰ τὰ περὶ αὐτὸν, ὡς εἰκὸς, ὀχθώδη αἰγιαλοῦ δίκην· ἵνα εἴη συγκοπεὶς ἐκ τοῦ ἠϊονόεις· ἠϊόνες γὰρ οἱ αἰγιαλοί. Ε.

Σ. 37. Ἕλε] Νῦν ἀνεῖλεν. Σ.

Σ. 39. Ἁλιζώνων] Ἁλιζώνους οἱ μὲν τοὺς Παφλαγόνας φασί· οἱ δὲ τοὺς περὶ τὴν ἀγκάλην τοῦ Πόντου, τὴν μεταξὺ Τραπεζοῦντος καὶ Παφλαγονίας, παρὰ τὸ τῇ ἁλὶ ζώννυσθαι, ἤτοι περιέχεσθαι· ἄλλοι δὲ θέλουσι, περὶ τὴν Καρικὴν αὐτοὺς κεῖσθαι θάλασσαν· τολμῶσι δέ τινες καὶ ἔθνος αὐτοὺς καλεῖν Θρακικόν. Ε. (Ἴδ. Β, 856.).

Σ. 40. Στρεφθέντι] Εἰς φυγὴν τραπέντι, φεύγοντι. Σ. —

НБ ОНУ імені І.І. Мечникова

Μεταφρένῳ] Διασαφῶν ὁ ποιητὴς ποῖον λέγει μετάφρενον ἐπάγει γνώρισμα σαφές· ὅτι τὸ μεταξὺ μὲν τῶν ὤμων, ἀντικρὺ δὲ τοῦ στήθους. Ε. (Ἴδ. Β, 265.).

Σ. 43. Φαῖστον] Φαιστὸς μὲν ὀξυτόνως πόλις Κρήτης· Φαῖστος δὲ βαρυτόνως, κύριον ὄνομα, ὃν Ἰδομενεὺς ἀναιρεῖ. Ε.

Σ. 44. Τάρνης] Τάρνη δὲ Μηόνων, ἤτοι Λυδῶν πόλις, ἐπίκουρος Τρώων· ὁ δὲ γράφων τὰ ἐθνικὰ καὶ πόλιν Ἀχαΐας Τάρνην φησί. Ε. — Πόλις Λυδίας, ἡ νῦν Σάρδεις λεγομένη. Σ.

Σ. 45. Δουρικλυτός] Δουρὶ κλυτός.

Σ. 49. Αἵμονα θήρης] Ἐπιστήμονα κυνηγετικῆς. Σ. (Ἴδ. Β, 827.) — Ἔστι δὲ αἵμων, οἱονεὶ δαίμων, ἤτοι δαήμων, τουτέστι, μεμαθηκώς· οὗ τὸ ἐναντίον ἀδαήμων, οἷον μάχης ἀδαήμονι φωτί. (Ἴδ. 634.) Ε.

Σ. 50. Ὀξυόεντι] Ὀξεῖ, ἢ ἀπὸ ὀξύας, εἴδους δένδρου, κατεσκευασμένον. Σ. (Ἴδ. Ἀπολλών. σελ. 503.).

Σ. 63. Ἀρχεκάκους] Ἀρχὴν τῶν κακῶν παρασχούσας. Σ.

Σ. 64. Ἐκθέσφατα] Λακεδαιμόνιοι λιμῷ κρατηθέντες ἐμαντεύοντο περὶ ἀπαλλαγῆς· ὁ δὲ Θεὸς αὐτοῖς ἔχρησεν, ἐξιλάσκεσθαι τοὺς Τεύκρων δαίμονας· οὕτως δὲ πρότερον οἱ Ἰλιεῖς ἐκαλοῦντο. Μενέλαος οὖν ἀφικόμενος εἰς Ἴλιον, τὸ προσταχθὲν ἔπραστε· κἀκεῖθεν εἰς Δελφοὺς παρεγένετο, περὶ παίδων γενέσεως χρησμὸν ληψόμενος. Συνείπετο δὲ τῷ καὶ Ἀλέξανδρος, περὶ γυναικὸς μαντευσόμενος. Γενομένων οὖν ἀμφοτέρων ἐπὶ τὸ μαντεῖον, λέγεται χρῆσαι τὴν Πυθίαν τάδε· Τίπτε δύο βασιλῆες, ὁ μὲν Τρώων, ὁ δ' Ἀχαιῶν, Οὐκέθ' ὁμοφρονέοντες ἐμὸν δόμον εἰσανέβητε, Ἤτοι ὁ μὲν πώλοιο γόνον διζήμενος εὑρεῖν, αὐτὰρ ὁ πῶλον ἑλεῖν. Τί νυ μήσεαι, ὦ μεγάλε Ζεῦ; τοὺς δὲ μὴ νοήσαντας τὸ λόγιον, χωρισθῆναι· ὁ δὲ λόγος, ἐπεὶ οὐκ ἤδη τὰ ἐκ θεῶν μαντεύματα. Ἑλλάνικος δέ φησι, χρησμὸν δοθῆναι τοῖς Τρωσὶν, ἀπέχεσθαι μὲν ναυτιλίας, γεωργίᾳ δὲ προσανέχειν· μὴ τῇ θαλάσσῃ χρώμενοι ἀπολέσωσιν αὐτοὺς καὶ τὴν πόλιν. Σ. — Λακεδαιμονίους φασὶ λοιμῷ πιεζομένους, τὸ αἴτιον ἀνακρίνειν τὸν Θεόν· τὸν δὲ εἰπεῖν ἐξιλάσκεσθαι τοὺς ἐν Τροίᾳ χρονίους δαίμονας, Χιμαιρέα τε καὶ Λύκον· τὸν δὲ Μενέλαον ἀπελθόντα εἰς Ἴλιον ἐπιτελεῖν τὰ προσταχθέντα· συμμίξαντα δὲ Ἀλεξάνδρῳ ἅμα αὐτῷ ἀπιέναι εἰς θεοὺς (ἴσως Δελφοὺς) ἐρησόμενον περὶ παίδων γονῆς· ἐρωτᾶν δὲ καὶ Ἀλέξανδρον, ὅπως ἂν ἁρπάσοι τὴν Ἑλένην· τὸν δὲ θεὸν εἰπεῖν·



НБ ОНУ імені І.І.Мечникова

Τίπτε δύω βασιλῆες, ὁ μὲν Τρώων, ὁ δ' Ἀχαιῶν, Οὐκέθ' ὁμὰ φρονέοντες, ἐμὸν ποτὶ νῆον ἔβητε. Ἤτοι ὁ μὲν γενεὴν ἵππου διζήμενος εὑρεῖν, Αὐτὰρ ὁ ἄκοιτιν ἄγειν; τί νυ μήσεαι, ὦ μάκαρ ὦ Ζεῦ, τοὺς δὲ μὴ νοήσαντας ὑποστρέψαι. Σ. Β.

Σ. 66. Γλουτόν] Γλουτὸς κατὰ τοὺς παλαιοὺς τὸ σφαίρωμα τῆς κοτύλης κατὰ τὸν μηρόν· Ῥοῦφος δὲ τὰ μετὰ τὴν ὀσφὺν σαρκώδη, ἐφ' ὧν καθίζομεν, πυγὰς εἰπών, ἐπάγει· ἄλλοι δὲ γλουτοὺς καλοῦσι. — Ὅμηρος δὲ καθὰ πρὸ βραχέων διεσάφησε τὸ μετάφρενον ἐκ τοῦ ἀντικρὺ τόπου, ὅς ἐςι τὰ ςήθη, οὕτω πως καὶ τὸν γλουτόν, εἰπών, βεβλήκει γλουτὸν κ. τ. λ. δοκεῖ γὰρ λέγειν ἀντικρὺ ἑτέρωθεν τοῦ ῥηθέντος γλουτοῦ κεῖσθαι τὴν κύςιν. — Πολλὰς ἐν τοῖς παροῦσι Τρωϊκὰς ἱςορίας ὁ ποιητὴς παραπλέκει· ἕκαςον γὰρ τῶν πιπτόντων ὑπὸ τοῖς Ἕλλησι Τρώων γενεαλογεῖ. — Ποιεῖ δὲ ταῦτα καὶ πυκναῖς ἱςορίαις ἀρτύει τὸν τόπον τοῦτον, ἅμα καὶ τοὺς ἀκροατὰς ἐνάγων εἰς πολυμάθειαν, καὶ τοὺς ἀριςέας τῶν Ἀχαιῶν σεμνύνων, ὡς ἀξιολόγων Τρώων περιγινομένους, καὶ τὴν ποίησιν καταποικίλλων· καὶ τὸ ὕπτιον δὲ τῆς διηγήσεως ἀνιςῶν εἰς γοργότητα τῇ παρεμπλοκῇ τῶν ἱςοριῶν, καὶ ἑαυτὸν δὲ δεικνύων ἐν ἱςορίαις πολυΐδριν· — σημείωσαι δὲ καὶ ὅτι πολλαχῶς καὶ ἐνταῦθα σχηματίζει τὰ πράγματα· τῶν γὰρ πιπτόντων, ὁ μὲν ἐκβάλλεται τοῦ δίφρου, ὁ δὲ νήττεται ἔγχει, ἵππων ἐπιβησόμενος, κ. τ. λ. διαπρό. Β.

Σ. 68. Ἀμφεκάλυψε] Ἀμφ' ἐκάλυψε. Β.

Σ. 73. Βεβλήκει] Ἔνθα ὅρα τὸ βεβλήκει ῥηθὲν ἀντὶ τοῦ ἔκρουσεν, ἔτυψεν, ἔτρωσεν· οὐ γὰρ πόῤῥωθεν, ἀλλ' ἐγγὺς ἐλθὼν ἔβαλε κατὰ τοὺς οὐτάζοντας. — Ἰνίον λέγεται τὸ μετὰ κορυφὴν ὄπισθεν τῆς κεφαλῆς. — Οἱ δὲ ἰνίον φασὶ τὸ κοῖλον τοῦ τένοντος, ἢ τὸ πλατὺ καὶ παχὺ νεῦρον τὸ καθῆκον ἀπὸ τῆς κεφαλῆς ἐπὶ τὸν αὐχένα. Ε.

Σ. 75. Κονίῃ] Κονίης. Β.

Σ. 80. Μεταδρομάδην] Τὸ μὲν ἐπιτροχάδην, ἐπὶ γλώσσης, τὸ δὲ μεταδρομάδην, ἐπὶ ποδῶν, ὡς ἐνταῦθα. Ε. — Ἐπιδραμών, ἐπιδιώξας. Σ.

Σ. 81. Ἀπέξεσεν] Ἀντὶ τοῦ ῥᾷςα ἀπέκοψεν εἴληπται· ῥᾷον γὰρ τὸ ξέειν τοῦ κόπτειν. Ε.

Σ. 83. Πορφύρεος θάνατος] Λέγει δὲ πορφύρεον τὸν μέλα-

НБ ОНУ імені І.І.Мечникова

να. — Πορφύρεον δ' ἄρα κῦμα (Φ, 326.) ἀναλόγως τῷ, μέλαν δὲ ἑ κῦμα κάλυψεν (Ψ, 693.) Σ. Β.

Σ. 85. Τυδείδην δ' οὐκ ἂν γνοίης] Ὅτι ὁ λόγος οὗτος ἐνθουσιῶν τὸν στρατηγὸν δηλοῖ καὶ εἰς βάθος ἔρχεσθαι· ποτὲ μὲν τῶν Τρωϊκῶν τάξεων, ὡς δοκεῖν καὶ αὐτὸν Τρωϊκὸν εἶναι, ποτὲ δὲ τῶν Ἑλληνικῶν, ὀτρύνοντα πάντας εἰς πόλεμον. Ε.

Σ. 88. Χειμάῤῥῳ] Ἴδ. Δ, 452.

Σ. 89. Γέφυραι ἐεργμέναι] Ἤγουν κατησφαλισμέναι, ἰσχανόωσιν, ἤτοι ἐπέχουσι, κωλύουσιν. Ε.

Σ. 99. Θώρηκος δὲ γύαλον] Ἤγουν κοίλωμα λέγει τὸ περὶ τοὺς ὤμους καὶ τὰ στήθη· πρὸς ἀντιδιαστολὴν τῆς τῶν χειρίδων στενότητος. Οὐ θώρακι δὲ μόνον ᾠκείωται τὸ γύαλον, ἀλλὰ καὶ τισιν ἄλλοις· ὡς δῆλον καὶ ἐκ τοῦ ὦ κοίλης πέτρας γύαλον (Σοφοκλ. Φιλοκτ. 1081.) Ε.

Σ. 100. Ἀντικρὺ δὲ διέσχε] Τὸ δὲ ἀντικρὺ διέσχεν, ἀντὶ τοῦ, διέσχισε καὶ διῆλθεν· ὁποῖον καὶ τὸ διασχὼν τὴν νεφέλην· παλάσσεσθαι δὲ λέγει τὸ μολύνεσθαι. Ε. — Ἐβρέχετο, ἐμολύνετο. Σ. (ἴδ. Ἀπολλών. παλάξαι).

Σ. 101. 102. Λυκάονος ἀγλαὸς υἱός] Πάνυ ἀλαζὼν ὁ Πάνδαρος, ὅς, ἀχρεῖον βαλών, εἶτα μακρὸν ἐφώνησεν εὐχόμενος, ἤτοι καυχώμενος, ὡς εἴπερ καιρίαν ἔβαλεν· ὄρνυσθε γάρ, φησι, Τρῶες. κ. τ. λ. — Κέντορες ἵππων] Τὸ δὲ κέντορες ἵππων ταὐτόν ἐστι τῷ ἐλατῆρες, ἢ ἱππόδαμοι. Ε.

Σ. 103. Ἄριστος Ἀχαιῶν] Σημείωσαι δέ, ὅτι ἄριστον Ἀχαιῶν τὸν Διομήδην λέγει ὁ Πάνδαρος, οὐχ ἁπλῶς, ἀλλὰ καὶ τὸ ἑαυτοῦ σεμνολογῶν ἀρίστευμα. Ε.

Σ. 104. Ἀνσχήσεσθαι] Σημείωσαι, ὅτι ἀνασχήσεσθαι εἶπε τὸ ὑπομεῖναι, καὶ μὴ πληγέντα θανεῖν. Ε.

Σ. 109. Ὄρσο] Οὐδὲν ἀποιμώζει πρὸς τὴν πληγήν, ἀλλὰ φέρει γενναίως, καὶ μόνην τὴν χρείαν ἀποζητεῖ. Σ. Β. ὄρσεο. Β.

Σ. 113. Στρεπτοῖο χιτῶνος] Ἴδ. Φ, 31. — Ἀντὶ τοῦ εὐκλώστου· ἐνήθετο γὰρ καὶ ἡ κρόκη διὰ στρεπτοῖο χιτῶνος, οὐδέποτε δὲ ἐγινώσκετο τὸ ῥοδανίζειν, ἀλλὰ νήθειν. Σ. Β.

Σ. 122. Ἐλαφρά] Οἰκείως· τρωθεὶς γὰρ ἐβεβάρητο· οὐκ ἔχομεν οὖν εἰπεῖν, πῶς ἀριστεύει πάλιν. Σ. Β.

Σ. 126. Ἄτρομον, οἷον ἔχεσκε] Τυδεὺς ὁ Οἰνέως ἐν τῷ Θηβαϊκῷ πολέμῳ ὑπὸ Μελανίππου τοῦ Ἀστακοῦ ἐτρώθη. Ἀμφιάρεως δὲ κτείνας τὸν Μελάνιππον, τὴν κεφαλὴν ἐκόμισε· καὶ

ἀνοίξας αὐτὴν ὁ Τυδεὺς τὸν ἐγκέφαλον ἐῤῥόφει ὑπὸ θυμοῦ. Ἀθηνᾶ δὲ κομίζουσα Τυδεῖ ἀθανασίαν, ἰδοῦσα τὸ μίασμα, ἀπεστράφη αὐτόν. Τυδεὺς δὲ γνοὺς, ἐδεήθη τῆς θεοῦ, ἵνα κἂν τῷ παιδὶ αὐτοῦ παράσχῃ τὴν ἀθανασίαν. Σ. (ἴδ. Ἀπολλόδ. σελ. 630.)

Σ. 127. Ἀχλὺν δ' . . . ἕλον] Ὅτι ἐν τῷ ἀχλὺν αὖ τοι ἀπ' ὀφθαλμῶν ἕλον, ἀπορίαν λύει ὁ ποιητὴς τὴν λέγουσαν, πῶς εἶχεν ὁ Διομήδης διακρίνειν, ὅτι αὕτη μέν ἐστιν Ἀφροδίτη, οὗτος δὲ Ἄρης· ἢ γὰρ ἀσώματοί εἰσι, καὶ πῶς αὐτοὺς ἑώρα· ἢ ἐν σώματι, καὶ πῶς αὐτοὺς θεοὺς εἶναι διέκρινε· λύει οὖν μυθικῶς τὸ μυθικόν. Ε. — Πῶς οὖν, φησὶν, ἐν τοῖς ἑξῆς, ἀγνοεῖ τὸν Γλαῦκον ὁ Διομήδης, λέγων· τίς δὲ σύ ἐσσι φέριστε (Ζ, 123.); καὶ φαμὲν, ὅτι πρὸς καιρὸν ἀφῄρηται τὴν ἀχλὺν ὑπὸ τῆς Ἀθηνᾶς, ἵνα τρώσῃ τὴν Ἀφροδίτην, καὶ Ἄρεα. Τρωθέντων δὲ τούτων, πάλιν κατὰ τὰ σιωπώμενα ἀποδίδοται ἡ οἰκεία ἀχλύς· δι' ἣν αἰτίαν ἀγνοεῖ καὶ τὸν Γλαῦκον. Σ.

Σ. 128. Γινώσκῃς] Γινώσκοις. Β.

Σ. 136. Ἕλε μένος] Εἷλε μένος, ἤτοι κατέσχεν· — ἰστέον δὲ, ὅτι τὸ τρὶς τόσσον οὐκ αὐτόχρημα δηλοῖ τὸ τριπλοῦν, ἀλλὰ τὸ πολλαπλοῦν, ὡς καὶ ἐν τῷ τρὶς μακάριος καὶ τρισάθλιος· — Τὸν Διομήδην μετὰ τὴν τοῦ Πανδάρου πληγὴν ἐπιπλέον θρασυνθέντα λέοντι παραβάλλει, ὃν ποιμὴν βάλλει μὲν, οὐ βλάψει δὲ, καὶ διὰ τοῦτο εἰς πλείονα ἐρεθίσει θυμόν. Ε. ἕλεν. Β.

Σ. 137. Ἀγρῷ ἐπ' εἰροπόκοις] Ἐν μὲν τοῖς ἀγροῖς τὰς οἰκοδομὰς οὕτω καταλέγουσιν· αὐλὴ, καὶ ἐν ταύτῃ σταθμοὶ, ἔνθα ἕστηκε τὰ ζῶα, καὶ κλισίαι, ἔνθα καθεύδουσιν οἱ ἄνθρωποι, καὶ σηκοὶ, ἔνθα ἐγκλείουσι τὰ νεογνὰ, ὅταν τὰς μητέρας ἀμέλγωσιν, ἢ εἰς νομὴν ἐκπέμπωσι· καὶ ἐπὶ μὲν τῆς αὐλῆς· ὅν ῥά τε ποιμὴν — οὐδὲ δαμάσσῃ· λέγει δὲ καὶ μέσαυλον, ὅτι ὁ τῆς αὐλῆς τόπος ἐν μέσῳ ἐστὶ τῶν βοῶν, ἀπὸ μεσαύλοιο αὐλῆς. — περὶ δὲ τῶν σταθμῶν, ἀλλὰ κατὰ σταθμοὺς δύεται, τὰ δ' ἐρῆμα φοβεῖται, δηλονότι εἰς τόπον ἐνδοτέρω τῆς αὐλῆς, ὃν σταθμὸν προσηγόρευον ἀπὸ τῶν ἑστώτων ἐν αὐτῷ ζώων. Σ. Β.

Σ. 138. Χραύσῃ] Ἀμύξῃ ἐπ' ὀλίγον, τὸν χρῶτα ἐπιξύσῃ. Σ. ὑπὲρ ἅλμενον. Β.

Σ. 140. Σταθμοί] Τὰ ἐν τοῖς ἀγροῖς ζωοστάσια, αἱ ἐπαύλεις, (ἴδε Β, 470.) — Ἐρῆμα] Ὤφειλε μὲν εἰπεῖν, αἱ δ'

НБ ОНУ імені І.І. Мечникова

ἐρῆμαι φοβοῦνται, τουτέστιν αἱ εἰροπόκοι ὄϊες· ὁ δὲ ἐσχη-
μάτισεν ὡς πρὸς ποίμνια ἢ πρόβατα ἢ θρέμματα· — τὸ δὲ
ἐρῆμα προπερισπῶσιν οἱ παλαιοί. Ε. — Τὰ δὲ βοσκήματα
ἠρημωμένα τῆς τοῦ ποιμένος βοηθείας, φεύγει· τινὲς δὲ, ὅπερ
ἐστὶ βέλτιον, ἐπὶ τοῦ ποιμένος τοῦτο νοοῦσιν, ὅτι καταδύε-
ται εἰς τὴν ἔπαυλιν, φοβούμενος τὴν ἐρημίαν· οὐδέποτε γὰρ
ὁ ποιητὴς οὐδετέρως λέγει τὰ πρόβατα, εἰ μὴ ἀναφέροιτο ἐπὶ
τὰ μῆλα, ἢ θρέμματα. Σ.

Σ. 141. Ἀγχιστῖναι] Τὸ δὲ ἀγχηστῆναι δηλοῖ μὲν τὸ
πυκναί· γίνεται δὲ παρὰ τὸ ἄγχι ἑστάναι, ὃ ποιοῦσιν αἱ ὄϊες
διὰ φόβον πυκνούμεναι, ὡς ἐπὶ συνασπισμῷ· — γράφεται δὲ
διὰ τοῦ η ἡ προπαραλήγουσα τοῦ ἀγχηστῆναι· — ἄλλως δὲ
τὰ ἀπὸ τοῦ ἄγχι ἐπιῤῥήματος πάντα διὰ τοῦ ι γράφεται, ἐν
οἷς καὶ ὁ ἄγχιστος, ὅθεν τὸ ἀγχιστεύειν καὶ τὰ ἐξ αὐτοῦ.
— Κέχυνται] Κεῖνται ἀθρόαι. Σ. — Ἤτοι δὲ τὰς ζώσας φησὶν,
ἢ τὰς καταβαλλομένας. Σ. Β. (ἴδ. Ὀδυσσ. Χ, 387.) ἀγχη-
στῖναι. Β.

Σ. 142. Ἐξάλλεται αὐλῆς] Τὸ δὲ ἐξάλλεσθαι τῆς αὐλῆς,
ταὐτόν ἐστι τῷ ὑπεράλλεσθαι, ὡς ὁ ποιητὴς ἐδήλωσεν· ἡ γὰρ
ἐξ πρόθεσις οὐ μόνον τὴν ἔξω δηλοῖ σχέσιν, ἀλλὰ καὶ ὕψω-
μα πολλάκις σημαίνει· ὡς καὶ ἐν τῷ ἐξωγκῶσθαι καὶ ἐν τῷ ἐκ-
νομίμως ᾐσχύνετο, καὶ ἐν ἄλλοις πολλοῖς. Ε. — Ἀντὶ τοῦ, εἰσάλ-
λεται εἰς τὴν βαθεῖαν ἔπαυλιν ἔνδον, ἤτοι ὑπεράλλεται. Σ. — Ἔμ-
φασις δὲ ἦγε· καὶ ὑψηλῆς οὔσης τῆς αὐλῆς, ἅλλεται αὐτήν. Σ. Β.

Σ. 144. Ὑπείνορα] Ὑπείρονα. Β.

Σ. 146. Κληῖδα] Τὴν κατακλεῖδα· παρὰ τὸ κατακλείεσθαι
ὑπ᾽ αὐτῆς τόν τε αὐχένα, καὶ τὸν ὦμον. Σ.

Σ. 147. Ἐέργαθεν] Ἐχώρησεν, ἀπέκοψε. Σ.

Σ. 148. Πολύειδον] Πολύϊδον. Β.

Σ. 149. Ὀνειροπόλοιο] Τοῦ δὲ ὀνειροπόλου τὸ ῥῆμα οὐ κρί-
νειν ὀνείρων δηλοῖ παρὰ τοῖς μεθ᾽ Ὅμηρον· ἀλλ᾽ ἢ σκῶμμα ἔχει·
ὀνειροπολεῖν γὰρ τὸ ὡς ἐν φαντασίᾳ μάτην ἐλπιδοκοπεῖσθαι, ἢ τὸ
βλέπειν ὄνειρον σημαίνει· ὡς τὸ ὀνειροπολεῖ γὰρ καὶ καθεύδων
ἱππικήν. Ε. (Ἀριστοφ. Νεφ. 27. ἴδε καὶ Ἰλ. Α, 63. καὶ Θεοφρ.
Χαρακτ. κεφ. 16. σελ. 472).

Σ. 150. Τοῖς οὐκ ἐρχομένοις] Ἐρχομένοις εἰς τὴν μάχην οὐκ
ἐμαντεύσατο· — ἕν τι τῶν ἀμφιβόλων· ἤτοι γε ἐμαντεύσατο ὡς οὐκ
ἀνερχομένοις, ἢ ἐν ἤθει λέλεκται· οὐ προσεῖπε διὰ τῶν ὀνείρων, ὅτι

НБОНУ імені І. І. Мечникова

ἀναιρεθήσονται· οὐχ ὅτι οὐδαμῶς ἔκρινεν αὐτοῖς ἐρχομένοις ὁ πατὴρ τοὺς ὀνείρους καὶ τὰ συμβησόμενα ἐμαντεύσατο, ἀλλ' ὅτι οὐκ ἐπανήξουσιν ἀπὸ τοῦ πολέμου, ἔκρινεν αὐτοῖς τοὺς ὀνείρους. Σ. Β.

Σ. 153. Τηλυγέτω] Ἴδ. Γ, 175.—Ὁ δ' ἐτείρετο] Δὲ τείρετο. Β.

Σ. 156. Ἀμφοτέροιν] Ἀμφοτέρω. Β.

Σ. 158. Χηρωσταί] Οἱ ἀλλότριοι τοῦ γένους κληρονόμοι, οἱ τὸν χῆρον οἶκον διανεμόμενοι κληρονόμοι·— προληπτικῶς δὲ τοῦτό φησιν· οὔπω γὰρ ἀπέθανεν ὁ γέρων. Σ. Β.

Σ. 160. Ἐχήμονα] Ἐχέμμονα. Β.

Σ. 161. Ὡς δὲ λέων ἐν βουσί] Ἡ δὲ παραβολὴ αὕτη οὐ μόνον ἐξευτελίζει τούτους τοὺς Πριαμίδας, ἀλλὰ καὶ ἰδιότητα λέοντος ἱστορεῖ· ἔθος γὰρ τῷ λέοντι, πρῶτον καταγνύειν τοὺς αὐχένας τοῖς τοιούτοις ζώοις, ἵνα μὴ τοῖς κέρασιν ἀμύνοιντο· εἶτα ἐν ἀδείᾳ ἐπικεῖσθαι αὐτοῖς. Ε.

Σ. 162. Πόρτιος] Ἡ δὲ πόρτις, ἀφ' ἧς ἐν ἄλλοις ὑποκοριστικῶς ἡ πόρταξ, δηλοῖ μὲν δάμαλιν, τὴν ἄρτι πορεύεσθαι δυναμένην· καθ' ὁμοιότητά τινα τοῦ νεβροῦ· γράφεται δέ ποτε καὶ χωρὶς τοῦ τ, πόρις Ε. (ἴδ. Ἀπολλόν. πόρτις).

Σ. 166. Ἀλαπάζοντα] Κενοῦντα· διὸ καὶ Ἀθηναῖοι τὰ κενώματα ἀλάπαθα καλοῦσι. Σ. Β.

Σ. 169. Λυκάονος υἱόν] Οὐ γὰρ ἐθέλει κινδυνεύειν Αἰνείας. Σ. Β.

Σ. 173. Ἐν Λυκίῃ] Ἰστέον δὲ ὅτι καὶ ἐνταῦθα Λυκίας μέμνηται Ὅμηρος τῆς μικρᾶς, τῆς περὶ Ζέλειαν· ἥτις, ὥσπερ μικρὰ Λυκία, οὕτω καὶ μικρὰ Τροία ἐλέγετο. Ε. (ἴδ. Β, 876. 77.).

Σ. 182. Αὐλώπιδί τε] Αὐλῶπίς τε τρυφάλειά ἐστι περικεφαλαία αὐλίσκον ἔχουσα, καθ' ὃν πήγνυται ὁ λόφος· τρυφάλεια δὲ, ἡ φάλους ἔχουσα τρεῖς· φάλοι δέ εἰσιν οἱ κατὰ τὸ μέτωπον τῆς περικεφαλαίας χρυσοῖ ἧλοι, ἢ ἀστερίσκοι. Σ. Β.

Σ. 185. Μαίνεται] Ἴδ. Φ, 5.

Σ. 187. Ἔτραπεν ἄλλῃ] Οὐ λέγει δὲ, ὅτι καθόλου ἀπέτυχεν, ἀλλ' ὅτι ἐπὶ καίριον τόπον φερόμενον παρέτρεψεν. Σ. Β.

Σ. 193. Ἕνδεκα δίφροι] Κερτομεῖ τὸ ἑαυτοῦ φιλάργυρον, ὡς ἀμελοῦντος τῆς ἰδίας σωτηρίας χρημάτων φειδοῖ. Σ. Β.

Σ. 195. Δίζυγες ἵπποι] Δίζυγες δὲ ἵπποι, ἀντὶ τοῦ ἀνὰ

НБ ОНУ імені І.І. Мечникова

δύο εἰς ἕκαστον ζυγόν· ὡς εἶναι τοὺς τοῦ Πανδάρου ἵππους κβ'. Ε.

Σ. 196. Κρῖ λευκὸν] Τὸ δὲ κρῖ, ἀποκοπὴν ἔπαθεν οὐκ ἐκ τῆς κριθῆς, ἣν γὰρ ἂν θηλυκὸν καὶ αὐτὸ, καθὰ καὶ ἡ κριθή· ἀλλ' ἐκ τοῦ κρίμνον οὐδέτερον· λευκὸν δὲ αὐτὸ εἶπεν, ὥς μέν τινες οἴονται, πρὸς ἀντιδιαστολὴν μελαίνης τινὸς τὴν ἐπιφάνειαν κριθῆς, ὁποῖαι πολλαχοῦ γίνονται. — Ὀλύρας] Αἱ δὲ ὀλύραι, σπόριμον μέλαν μικρότερον τοῦ λεγομένου βίκου, καὶ τοῦ ὀρόβου· — τὸ δὲ ἐρέπτεσθαι ἀλόγοις ζώοις οἰκεῖον. Ε. (ἴδ. Β, 776.).

Σ. 200. Τρώεσσι] Ὅτι οἱ τὴν Ζέλειαν οἰκοῦντες ὑπὸ τὴν Ἴδην καὶ ὑπὸ Πάνδαρον, Τρῶες ἐλέγοντο. Σ. Β. (ἴδ. στ. 173.).

Σ. 202. Ἵππων φειδόμενος] Διομήδης εἰς χρῆμα στρατιωτικὸν δεῖται τῶν ἵππων, καὶ οὐ φείδεται οὐδὲ τῆς εἰς αὐτοὺς δαπάνης. Πάνδαρος δὲ ὡς κτῆμα τούτους αὐχεῖ, καὶ οἴκοι ἀποθέτους φυλάττει, διὰ φειδωλίαν, ὡς ἂν μὴ δαπανᾷ πολλὰ εἰς αὐτοὺς ἐν τῇ Τρωϊκῇ πολιορκίᾳ· — καὶ ὡς οἱ παλαιοί φασιν, ἀναλωμάτων φειδοῖ τοῦ συμφέροντος ἀμελεῖ. Ε.

Σ. 208. Ἀτρεκὲς αἷμ'] Ἀτρεκὲς αἷμα, τὸ ἀληθὲς καὶ μὴ ψεῦδον τὴν ὄψιν κατὰ τὰ ἐρυθροβαφῆ, ἃ φορήματα ἦσαν Λακώνων ἐπικρύπτοντα τὴν ἐν πολέμῳ ῥύσιν τοῦ αἵματος· χρῆσις δὲ αὐτοῦ, τὸ ἀτρεκὲς αἷμα ἔσσευα, ὅ ἐστιν, ἐκίνησα βαλών· ἤγειρα δὲ μᾶλλον, ἤτοι ἠρέθισα, παρώξυνα. Ε.

Σ. 209. Ἀπὸ πασσάλου] Πάσσαλος, ξύλον ἐπίμηκες, ἐμπηγνύμενον πρὸς τὸ κρεμάσαι, ἅπερ δεῖ. Σ. Ἡ ὕστερον παροιμίᾳ ἐπὶ πραγμάτων ἄλλως τὸ νόημα ἔθετο· λέγουσα πασσάλῳ μὲν ἀνακρεμάσαι, τὸ ἀμελῆσαι· ἀπὸ πασσάλου δὲ λαβεῖν, τὸ ἐπιμεληθῆναι. Ε.

Σ. 214. Ἀλλότριος φὼς] Ὅρα δὲ τὸ ἀλλότριος φὼς ἀντὶ τοῦ πολέμιος. Ε.

Σ. 215. Τάδε τόξα] Ἔστι δὲ ἐν τῷ χωρίῳ τούτῳ μαθεῖν, καὶ ὅτι ἀφεὶς ὁ Πάνδαρος ἑαυτὸν μέμφεσθαι, κατὰ τῶν τόξων τρέπει τὴν ὀργὴν, βαρβαρικῶς θυμομαχῶν κατὰ τῶν οὐδὲν αἰτίων. Ε.

Σ. 216. Ἀνεμώλια] Τὰ δὲ ἀνεμώλια πάνυ ἀστείως εἴρηται ὡς τῶν πτεροέντων ὀϊστῶν, ἀξίων ὄντων ἀνέμοις ὀλέσθαι διὰ τὰ ἄπρακτον, καὶ ἀνενέργητον· — ὅτι δὲ καθὰ προόρα πρώρα,

καὶ τὰ ὅμοια, οὕτω καὶ ἀνεμοδλια, καὶ κατὰ κρᾶσιν ἀνεμώλια. Ε. — μάταια. Σ.

Σ. 222. Τρώϊοι ἵπποι] Ἀπόγονοι τῶν Τρωὸς ἵππων, ἢ οἱ τῷ Τρωῒ κεχαρισμένοι, ἀντὶ τῆς ἁρπαγῆς Γανυμήδους. Σ.

Σ. 226. Σιγαλόεντα] Τὰ τεχνικῶς καὶ εἰς κάλλος εἰργασμένα. Ε. (Ἴδ. Χ, 468.).

Σ. 227. Ἵππων ἀποβήσομαι] Τὸ πεζεῦσαι τοῦ ἅρματος, ἵππων ἀποβῆναι λέγει· οὕτω δέ τις ἀποβαίνει καὶ νηός. Ε.

Σ. 228. Δέδεξο] Δέξασθαι οὐ μόνον τὸ λαβεῖν, οἷον μάστιγα — δέξαι, ἀλλὰ καὶ τὸ ὑπαντῆσαι καὶ ἀντιστῆναι, οἷον, ἠὲ σὺ τόν γε δέδεξο, κ. τ. λ. Ε. δ' ἐμοί. Β.

Σ. 231. Μᾶλλον ὑφ' ἡνιόχῳ] Ὅρα δὲ ὅπως καὶ ὁ Πάνδαρος οἰωνιζόμενος ἑαυτῷ κακά, οὐκ ἀγαθὰ καραδοκεῖ, ἀλλὰ τὰ πρὸς τὸ φεύγειν λαλεῖ, καθὰ καὶ ὁ Αἰνείας. Ε.

Σ. 233. Ματήσετον] Ματᾷν δὲ νῦν ἐπὶ ἵππων λέγεται τὸ ματαιοπραγεῖν καὶ ἀργοὺς ἵστασθαι, ἐξ οὗ καὶ ματίη ἐν τοῖς ἑξῆς (Ὀδυσσ. Κ, 79.) ἐπὶ ἀνθρώπων, ἡ ματαιοπραγία. Ε. — Ματαίαν ἔχωσι τὴν προθυμίαν. Σ.

Σ. 236. Ἐλάσσῃ] Τὸ δὲ ἐλάσῃ ἀντὶ τοῦ ἀπελάσῃ, ἀπαγάγῃ. Ε.

Σ. 240. Ἐπὶ Τυδείδῃ] Ἔστι δὲ τὸ ἐπὶ Τυδείδῃ εἶχον, ἀντὶ τοῦ, ἤλαυνον κατὰ τοῦ Τυδείδου. Ε.

Σ. 245. Ἀπέλεθρον] Ἀντὶ τοῦ ἄμετρον, πολλήν. Σ. Β. (Ἴδ. Φ, 407.).

Σ. 247. Δ' υἱὸς μεγαλήτορος] Δ' υἱὸς μὲν ἀμύμονος. Β.

Σ. 249. Χαζώμεθ' ἐφ' ἵππων] Οὐκ ἀναχωρεῖν αὐτῷ τῆς μάχης ἐπὶ τῶν ἵππων κελεύει, ἀλλ' ἀναβῆναι ἐπὶ τὸ ἅρμα, καὶ μὴ πεζὸν πρὸς ἱππέας ἀγωνίζεσθαι· ἐπικίνδυνον γάρ. Σ. Β.

Σ. 253. Γενναῖον] Ἤτοι εὐγενές, ἢ ἐκ γένους παρεπόμενον. Σ. — Τὸ δὲ ἀλυσκάζοντι ἢ ἀλυσκάζοντα μάχεσθαι· ἄμφω γὰρ ἀσόλοικα· τὸ ἐν σχήματι φυγῆς, ὅμως πάλιν μάχεσθαι· ὅπερ καὶ λέοντός ἐστιν ἴδιον. Ε.

Σ. 254. Καταπτώσσειν] Πτώσσειν τὸ προτροπάδην φεύγειν· ἐξ οὗ καὶ πτὼξ λαγωός. Ε. (Ἴδ. Φ, 14. Χ, 310.).

Σ. 262. Ἐρυκακέειν[ Ἤγουν κάτασχε· ἐξ ἄντυγος τῆς τοῦ ἅρματος δηλαδὴ ἡνία τείνας, ἵνα δοκοῦντες ἄγχεσθαι καὶ ὑπό τινος ἐπέχεσθαι ἡσυχάζωσιν. Ε. — ἐξάρας τὰς ἡνίας τῆς σοῦ

ἅρματος περιφερείας· λέγει δὲ τοῦ κύκλου τοῦ παραπεπηγότος ἐν τῷ ἅρματι πρὸς τὸ ἀνατείνειν τῷ ἐπιβάτῃ. Β.

Σ. 264. Ἐκ δ' ἐλάσαι] Ἐξελάσαι. Β.

Σ. 266. Ποινὴν] Τὸ δὲ ποινὴν ἀντὶ τοῦ ἀντάλλαγμα κεῖται· ὥστε σημειωτέον, ὅτι ποινὴ οὐ μόνον λέγεται τὸ ὑπὲρ φόνου, ἀλλὰ καὶ τὸ ἁπλῶς ἀντισήκωμα. Ε. — ἀντέκτισιν, δωρεάν. Σ.

Σ. 269. Ὑποσχὼν θήλεας ἵππους] Ὅρα δὲ καὶ τὸ ὑποσχὼν θήλεας ἵππους καιρίως φρασθὲν ἀντὶ τοῦ ὑποβαλὼν καὶ ὑποθέμενος τοῖς ἄῤῥεσιν ἵπποις εἰς ὀχείαν·—ἔστι δὲ τὸ ὑποσχὼν θήλεας ἵππους καὶ διασαφητικὸν τοῦ ἔκλεψεν· οὐ γὰρ ἵππους φησὶν ὑφείλετο Ἀγχίσης· ἀλλ' ἐσοφίσατο γονὴν ἐξ ἐκείνων λαθεῖν, διὰ λαθρέας (ἀνάγνωθ. λαθραίας) ὀχείας· καὶ ἔστι κλοπή τις καὶ τοῦτο οἰκονομικὴ καὶ δόλον οὐ πάνυ τι μωμητὸν ἔχουσα. Ε.—Ὑποσχὼν] Ὑποβαλών. Σ. λάθρῃ. Β.

Σ. 270. Γενέθλης] Γενέθλῃ. Β.

Σ. 271. Ἀτίταλλ'] Ἀτιτάλλειν δὲ τὸ ἀναπαύειν καὶ ἁπαλῶς τρέφειν ὡς μὴ ταλάσσειν·—Ἵνα ᾖ πρῶτον τὸ ἀτάλλειν, εἶτα κατὰ ἀναδιπλασιασμὸν, τὸ ἀτιτάλλειν. Ε.—ἀνέτρεφε. Σ.

Σ. 273. Ἀροίμεθα κᾶν] Ἀροίμ. κε. Β.

Σ. 279. Τύχοιμι] Τύχωμι. Β.

Σ. 284. Βέβληαι] Πολὺ τὸ τοῦ Πανδάρου ἀλαζονικὸν καὶ ἐνταῦθα, ὃς μετὰ τὴν βολὴν ἀβλαβῆ, ἑστῶτος τοῦ Διομήδους, μέγα κομπάζει, καὶ τόπον ὁρίζει, περὶ ὃν δῆθεν ἐκεῖνον ἔπληξε, λέγων, ὅτι βέβληαι κενεῶνα διαμπερές· ὅ ἐστι τὴν λαγόνα, ἤγουν τὴν λαπάραν·—παρὰ τὸ κενὸς εἶναι ὀστῶν. Ε.

Σ. 287. Ἤμβροτες, οὐδ' ἔτυχες] Παροιμιῶδές ἐστιν, ἐπὶ τῶν ἁμαρτανόντων τῆς προθέσεως· δηλοῦσιν ἄμφω τὰ ῥήματα ἐκ παραλλήλου τὸ αὐτὸ νόημα. Ε.

Σ. 288. Ἀποπαύσεσθαι] Ἀποπαύσασθαι. Β.

Σ. 289. Αἵματος ἆσαι] Τὸ αἵματος ἆσαι, ἤτοι κορέσαι Ἄρηα ταλαύρινον πολεμιστὴν, ἀστείως καὶ ἀλληγορικῶς δηλοῖ τὸ εἰς αἷμα πολὺ βάψαι τὸν Ἄρην, ἤγουν τὸ ξίφος. — Ἔστι δὲ τὸ ταλαύρινος κατὰ τοὺς παλαιοὺς ἀντὶ τοῦ εὔτολμος, ἰσχυρός. Ε.—Ὑπομονητικόν. Σ.

Σ. 290. Προέηκε] Πρὸ ἧκε. Β.

Σ. 291. Λευκοὺς δ' ἐπέρησεν ὀδόντας] Λευκοὶ δὲ ὀδόντες, κατ' ἰδιότητα, ὡς καὶ ὀστέα λευκὰ, καὶ γάλα λευκὸν, καὶ κρῖ λευκὸν, καὶ χιὼν λευκή. Ε.

НБ ОНУ імені І.І.Мечникова

Σ. 292. Πρυμνὴν] Πρυμνὸν δὲ τὸ ἔσχατον, ὡς ἀπὸ τοῦ πέρας. Ε. — Ἐξέκοψε αὐτοῦ τὴν γλῶσσαν, δι᾽ ἧς ἐπιόρκησεν. Σ.

Σ. 293. Ἀνθερεῶνα] Ἀνθερεὼν δὲ φανερῶς ἐνταῦθα ὁ ὑπὸ τὸ πρυμνὸν τῆς γλώττης ὤν· οὗ ἥπτοντο οἱ ἱκέται· — σαφέστερον δὲ εἰπεῖν, ἀνθερεὼν, τὸ τέλος τοῦ ὑπογενείου. Ε. (Ἴδ. Α, 501. Γ, 372.) — Ἐξελύθη] Οὕτως Ἀρίσαρχος· ἄλλοι δὲ, ἐξεσύθη. Σ. Β. (Ἀπολλον. ἐξεχύθη. σελ. 58.) καὶ Σ. ἐξεχύθη· ἐξώρμησε, διῆλθε.

Σ. 297. Ἀπόρουσε] Ἀφώρμησεν. Σ.

Σ. 301. Ἀντίον] Ἀντίος. Β.

Σ. 303. Μέγα ἔργον] Τὸ δὲ μέγα ἔργον ταὐτόν ἐςι τῷ, μέγα βάρος· — μάλιςα δὲ ἔργον λέγοι ἂν, τὸ παρὰ τοῖς ὕςερον δύσεργον· ἐξ οὗ καὶ ἐργῶδες τὸ δυσχερὲς καὶ δυσμεταχείριςον. Ε.

Σ. 306. Κοτύλην] Ἴδ. Χ, 494. — Ἰσχίον] Τὸ ὑπὸ τὴν ὀσφὺν ὀστέον, εἰς ὃ ἔγκειται τὸ ἱερὸν ὀςοῦν, ὅπερ καὶ γλουτὸς καλεῖται, καὶ κοτύλη παρὰ τὴν κοιλότητα. Σ. (Ἴδ. ςτ. 66.)

Σ. 309. Ἔςη γνὺξ ἐριπὼν κ. τ. λ.] Τὸ ἔστη γνὺξ ἐριπὼν κ. τ. λ. δηλοῖ μὴ πεσεῖν τινα εἰς γῆν ὅλῳ τῷ σώματι, ἀλλὰ μετεωρίζεσθαι γόνασι καὶ χερσί. Ε.

Σ. 311. Αἰνείας] Ἐὰν ὑπὸ ἱστορίας ἐβοηθεῖτο, εἶχεν ἂν ὁ ποιητὴς ἐνταῦθα τὸν Αἰνείαν ὑπὸ τῷ Διομήδῃ ἀνελεῖν· διό φησι καὶ νύ κεν ἔνθ᾽ ἀπόλοιτο καὶ ἑξῆς· ἐπεὶ δὲ οὐκ ἔχει τοῦτο ἱςορούμενον· καὶ γὰρ καθ᾽ ἱςορίαν καὶ μετὰ τὴν ἅλωσιν τῆς Τροίας περίεςιν ὁ Αἰνείας· ῥίπτει μὲν αὐτὸν ἐνταῦθα εἰς κίνδυνον, ἐξαιρεῖται δὲ αὖθις μεθόδῳ ποιητικῇ, δι᾽ ἐπεισοδίου θείων προσώπων· — ἡ δὲ θεραπεία τοῦ μύθου ἐν τούτοις, βούλεται νέους τινὰς ἡλικιώτας ὀλίγην ἑταιρίαν οὐ πάνυ μαχίμους, ἀλλὰ, ὡς ἄν τις εἴπῃ, ἐπαφροδίτους καὶ ἀβληχροὺς καὶ ἁπαλοὺς, καὶ, ὡς εἰπεῖν, θηλύχειρας ἐπαρῆξαι κειμένῳ τῷ Αἰνείᾳ· καὶ κατά τι πεπρωμένον, εὐτυχῶς ἀφαρπάσαι ἐκεῖνον, ὁποῖόν τι καὶ πρὸ τούτου ἐπὶ τῆς μονομαχίας τοῦ Ἀλεξάνδρου ἐγένετο· ἀλλ᾽ ἐκεῖνοι μὲν, οὔπω ἔπαθον οὐδὲν, οἱ τὸν Πάριν ὑποκλέψαντες, τούτους δὲ βλάψας ὁ Διομήδης λέγεται τὴν τῆς Ἀφροδίτης χεῖρα βαλεῖν τὴν τὸν Αἰνείαν σκέπουσαν· ὅτι δὲ πεπρωμένη τις ὁ Ἀπόλλων εἶναι ἀλληγορεῖται, δῆλόν ἐςιν. Ε.

Σ 313. Βουκολέοντι] Σημείωσαι δὲ, ὅτι, ὥσπερ ποιμαί-

НБ ОНУ імені І.І.Мечникова

νειν, οὕτω καὶ βουκολεῖν ἐξῆν τοῖς βασιλικοῖς παισίν· οὐ μὴν καὶ συφορβεῖν· τοῦτο γὰρ πάνυ ἀγεννὲς, διὰ τὸ τῶν συῶν οὐ μόνον γεωχαρὲς, ἀλλὰ καὶ ἄλλως οὐκ εὐγενές. Ε.

Σ. 314. Ἐχεύατο] Τὸ ἐχεύατο τρυφερότητα καὶ ἁπαλότητα δηλοῖ γυναικείων χειρῶν, περιπλοκὴν δὲ φράζει εὐνοϊκὴν τὸ ῥηθὲν ἔπος. Ε. δν Β.

Σ. 315. Πτύγμ'] Πτύγμα δὲ λέγει τὸ περίττευμα καὶ δίπλωμα τοῦ τὴν χεῖρα σκέποντος μέρους τοῦ πέπλου, ᾧ τὸν Αἰνείαν ἡ Ἀφροδίτη καλύψασα ὥςε ἕρκος ἔμεν βελέων, οὔτε ἐκεῖνον ὤνησε, καὶ αὐτὴ ἐτρώθη ἀντιτορηθεῖσα διὰ τοῦ πέπλου. Ε.

Σ. 317. Ἀπὸ θυμὸν] Ἐκ θυμόν. Β.

Σ. 319. Συνθεσιάων] Τὰς φιλικὰς παραινέσεις ἐνταῦθα συνθεσίας φησίν. Ε. — Ἐντολῶν. Σ.

Σ. 326. Ἄρτια ᾔδη] Ἤγουν, ὅτι τὰς φρένας ἀραρὼς ἦν, ὅ ἐςι συνθέτως εἰπεῖν, φρενήρης· ἢ ὅτι ἐκεῖνα ἐφρόνει, ἃ καὶ τῷ Σθενέλῳ ἐν φρεσὶν ἄρηρε (ἴσ. ἀρήρει) καὶ ἥρμοσο· ἤγουν ἃ ἤθελεν ὁ Σθένελος· ὡς καὶ ἐν ἄλλοις περί τινος λέγει αἰτίαν φιλίας, ὅτι τὰ γὰρ φρονέεις ἅπερ ἐγώ· (Δ, 361.) Ε. — Ἄρτια] Ὑγιῆ, ἡρμοσμένα. Σ.

Σ. 333. Ἐνυώ] Ἡ Ἐνυώ, δαίμων ἐςὶ πολεμική· ἧς οἱ νεώτεροι ποιηταὶ υἱὸν εἶναί φασι τὸν Ἄρεα· καὶ διὰ τοῦτο καλεῖσθαι Ἐνυάλιον μητρωνυμικῶς. Σ.

Σ. 334. Ὀπάζων] Ὅ ἐςι κατόπιν διώκων. Ε. — ἡ λέξις αὕτη πλείονα σημαίνει· ποτὲ μὲν τὸ περιποιεῖν καὶ διδόναι· ὡς ἐκεῖ· Τρωσὶ μὲν καὶ Ἕκτορι κῦδος ὀπάζει (Θ, 141.) ποτὲ δὲ τὸ καταφέρεσθαι, ὡς ἐν ἐκείνοις, χειμάῤῥους κατ' ὄρεσφιν ὀπαζόμενος Διὸς ὄμβρῳ· (Χ, 493.) ποτὲ δὲ τὸ ἐπιλέγεσθαι, ὡς ἐκεῖ· ἢ καὶ νεώτερον υἱὸν ὀπάσσατο Κυδαλίμοιο (Τ, 238.) ποτὲ δὲ τὸ διώκειν, ὡς ἐνθάδε. Σ.

Σ. 336. Οὔτασε χεῖρα] Τὸ μὲν ἀφιέμενον δόρυ βέλος λέγεται, τὸ δὲ ἐκ χειρὸς ὀρεγομένης, ὡς νῦν γίνεται, ἤτοι ἐκτεινομένης οὐτάζον, ὀρεκτόν. Ε.

Σ. 337. Ἀβληχρὴν] Ἀβληχρὴ δὲ χεὶρ ἢ ἡ ἀριςερὰ κατά τινας, ἢ μᾶλλον ἡ ἀσθενής. Ε. — ἀσθενῆ, ἁπαλήν. Σ. — Εἶθαρ] Τὸ δὲ εἶθαρ ταυτόν ἐςι τῷ εὐθύς· — ποιηταῖς δὲ μόνοις καὶ ἡ λέξις αὕτη φιλεῖται· — τὸ δὲ ἀντιτορεῖν ὠνοματοπεποίηται μὲν κυρίως ἐπὶ ξύλων, ἃ τρυπῶνται τερέτρῳ· δηλοῖ δὲ τὸ

НБ ОНУ імені І.І. Мечникова

ἄντην ἐτόρησε, καὶ διόλου ἐτρύπησεν· ἐρεῖ δέ που ὁ ποιητὴς καὶ ὅτι κλέπτων τις, οἰκίαν ἀντετόρησεν (Κ, 267.) Ε.

Σ. 338. Ὃν Χάριτες] Τὸ δὲ ὃν Χάριτες ἔκαμον αὐταὶ, ἔπαινος χαρίεντός ἐςι πέπλου, ἤτοι γυναικείου ἱματίου· ὡς δῆθεν καὶ τῶν Χαρίτων ὑφαινουσῶν· ὀπαδοὶ δὲ αὗται τῇ Ἀφροδίτῃ πλάττονται καὶ ὑπουργοί. — Ἕτεραι δὲ Χάριτες αὗται ἴσως παρὰ τὰς τρεῖς, ἃς ἡ τοῦ Ἡσιόδου θεογονία σεμνύνει, καὶ οὐκ ἀναντιῤῥήτως αἱ αὐταί. Ε.

Σ. 339. Ὑπὲρ θέναρος] Φασὶν οἱ παλαιοὶ, ὅτι θέναρ λέγεται τὸ μεταξὺ τῶν δακτύλων καὶ τοῦ καρποῦ, ἤγουν τὸ κοῖλον τῆς χειρός· ἢ κατὰ Εὔδημον τὸ μεταξὺ τοῦ λιχανοῦ καὶ τοῦ ἀντίχειρος, ἤγουν τοῦ μεγάλου δακτύλου σαρκῶδες καὶ κοῖλον· ἰστέον δὲ καὶ, ὅτι τὸ πρυμνὸν ὑπὲρ θέναρος ἑρμηνεύων ἐν τοῖς ἑξῆς ὁ ποιητὴς, φησὶ τρωθῆναι τὴν Ἀφροδίτην χεῖρα σχεδὸν ἐπὶ καρπῷ (στ. 358.) ὅθεν ἐοίκασιν ὀρθότερον νοεῖν, οἱ τὸ μεταξὺ τῶν δακτύλων καὶ τοῦ καρποῦ θέναρ λέγοντες, οὗ τὸ ἄκρον ἐςὶν ἐπὶ τῷ καρπῷ. Ε. — Αἷμα εἰπὼν ῥέειν τῆς χειρὸς τῆς Ἀφροδίτης οὐ πάνυ φιλεῖν δοκεῖ τὴν λέξιν ὁ ποιητής· ἐπὶ ζώων γὰρ θνητῶν τὸ αἷμα, τοὺς δὲ θεοὺς ἀναίμονας λέγει· ὀνομάζει τοίνυν αὐτὸ καὶ ἰχῶρα, πλὴν οὐ τὸν σεσηπότα, ἀλλὰ τὸν κατὰ φύσιν μετὰ τροφὴν χυλὸν, ὃς ἀνάλογόν ἐςιν αἵματι κατὰ Ἀριστοτέλην, καὶ εἰς αἷμα μεταβάλλεται. Ἐπεὶ δὲ οὐδὲ τοῦτο καίριον ἐπὶ θείας φύσεως διὰ τὸ τοῦ ἰχῶρος τούτου ἀτελὲς καὶ οὐδὲ τοῖς πολλοῖς γνώριμον εἰς σαφήνειαν, κάλλιον δὲ ἦν εἰπεῖν αἷμα, διὰ τὸ καὶ τελειότερον εἶναι αὐτὸ τοῦ ἰχῶρος καὶ σαφέςερον εἰς νόησιν, διὰ τοῦτο ἐν τοῖς ἑξῆς ἐπὶ τοῦ Ἄρεος ἀνακάμπτει πάλιν εἰς μόνον τὸ αἷμα, λέγων ἄμβροτον αἷμα καταῤῥέειν ἐξ ὠτειλῆς (στ. 870.), ἀπὸ τῶν ἀνθρωπίνων ἐξ ἀνάγκης τῇ λέξει χρησάμενος. — Ἐπεὶ δὲ ὁ ἰχὼρ οὐδ' αὐτὸς ἐπὶ θεῶν κυριολεκτεῖται, ζωϊκὴ γάρ ἐςι καὶ αὕτη λέξις, ἐπιφέρει, οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσι, τουτέςιν ὑγρότης θεοῖς πρέπουσα τοῖς μὴ ἔχουσιν οὔτε τὸν ἀληθῶς ἰχῶρα, οὔτε τὸ κατὰ τὸν ποιητὴν ἀτρεκὲς αἷμα· εἶτα καὶ συλλογίζεται τὸ μὴ ἔχειν αἷμα τοὺς θεοὺς, διὰ μέσου τοῦ μήτε σῖτον ἔδειν αὐτοὺς, μήτε οἶνον πίνειν· φράσας οὕτω, οὐ γὰρ σῖτον ἔδουσι κ. τ. λ. τοὔνεκ' ἀναίμονές εἰσι καὶ ἀθάνατοι καλέονται. Σημείωσαι, ὅτι ἐν τῷ, οὐ γὰρ σῖτον ἔδουσι, δεῖ κατὰ τὸν Πορφύριον προσυ-

πακούειν τὸ, ἀλλ' ἀμβροσίαν, εἰ καὶ λείπει, διὰ τὸ φανερὸν εἶναι· ἐν δὲ τῷ, οὐ πίνουσιν αἴθοπα οἶνον, προσληπτέον ὁμοίως τὸ, ἀλλὰ νέκταρ· ἵνα μὴ καὶ οἱ σκώληκες ὦσι θεοὶ μήτε σῖτον ἔδοντες, μήτε οἶνον πίνοντες καὶ ὄντες ἀναίμονες. Ε. — Ἰχὼρ] Ὑγρασία τις διεφθαρμένης σαρκὸς ὕφαιμος. Σ.

Σ. 352. Ἀλύουσα] Ἀδημονοῦσα, καὶ οἷον λύσιν μὴ εὑρίσκουσα τῶν κακῶν. Σ. — Τὸ ἀλύω οὐ μόνον ἐπὶ λύπης, ὡς ἐνταῦθα, ἀλλὰ καὶ ἐπὶ χαρᾶς, ὡς ἐν Ὀδυσσείᾳ, ἐν τῷ, ἀλύεις, ὅτι Ἶρον ἐνίκησας (Σ, 332.)

Σ. 355. Εὗρε μάχης ἐπ' ἀριστερὰ θοῦρον Ἄρηα] Ὅστις ἐκεῖθεν διεγερθεὶς οἷον καὶ διαναστὰς εἰς ἄμυναν, ἐπελεύσεται τῷ Διομήδει· ὅτε καὶ γενήσεται μείζων ἢ τοῦ Διομήδους ἀριστεία· μυθικῶς μὲν Ἄρεος τρωθέντος τοῦ βροτολοιγοῦ, τῇ δὲ ἀληθείᾳ, γενναίων ἀνδρῶν ἀρειμανίων ἐπελθόντων μὲν τῷ Διομήδει πλειόνων τῷ πλήθει, ἥπερ ἐπὶ τοῦ Αἰνείου καὶ Ἀφροδίτης, ἡττηθέντων δέ· — καὶ οὕτω δοκεῖ τρωθῆναι Ἄρης, ὁ δράσας αὐτούς. Ε.

Σ. 356. Ἔγχος ἐκέκλιτο] Τὸ μὲν γὰρ ἔγχος, ἐκέκλιτο, ἤτοι ἔκειτο· οἱ δὲ ἵπποι ἐκέκλιντο, ἤγουν ἵσταντο. Ε. — Ἀντὶ τοῦ, ὀμίχλῃ δὲ αὐτοῦ ἐκεκάλυπτο τὸ δόρυ καὶ οἱ ἵπποι. Σ.

Σ. 357. Γνὺξ ἐριποῦσα] Τὸ γνὺξ ἐριποῦσα ταὐτὸν μέν ἐστι τῷ, γουνασαμένη τὸν ἀδελφὸν, πλὴν οὐχ ἁπλῶς, ἀλλὰ μετὰ πάθους, ὡς καὶ ἑαυτὴν προσρίψαι τοῖς ἐκείνου γόνασιν. (Ἴδ. στ. 370.) Ε.

Σ. 358. Χρυσάμπυκας] Ἄμπυξ ἐκαλεῖτο σειρὰ κατάχρυσος τὰς περὶ τὸ μέτωπον τῶν ἵππων τρίχας συνδέουσα. Ε. — Ἄμπυξ σημαίνει δύο, τὸ γυναικεῖον ἀνάδεμα (Χ, 469.), καὶ τὸν χαλινὸν, ὡς ἐνταῦθα. Σ. Β.

Σ. 371. Ἀγκὰς ἐλάζετο] Τὸ ἀγκὰς ἐλάζετο, ἤτοι ἔλαβε θυγατέρα ἦν· εἰ μὲν ἐπίρρημά ἐστι, συστέλλει τὸ α, ὡς τὸ ἑκὰς, ἀνδρακάς. Ε.

Σ. 372. Κατέρεξεν] Ἴδ. Α, 361..

Σ. 374. Ἐνωπῇ] Ἐνωπὴν λέγει τὴν ὄψιν καὶ τὴν ἐν φανερῷ θέαν, ὅθεν καὶ τὸ ἐνώπιος. Ε. — Ἐν ὄψει, φανερῶς. Σ. — Ἐν ὄψει ἀδικοῦσαν. Σ. Β.

Σ. 381. Διώνη] Ἡ Διώνη οὐκ ἐκ βροτοῦ ἀνδρός φησιν αὐτὴν τὸ ἕλκος παθεῖν, ἀλλά τινος τῶν οὐρανίων· λέγει δὲ καὶ κατιοῦσα, ὡς οἱ θεοὶ ἐπ' ἀλλήλοις ἄλγεα τιθέντες, ἐξ ἀνδρῶν χαλεπὰ

ἄλγεα πάσχουσι· τοῦτο δὲ καὶ παραμυθία ἐστὶ, τὸ μὴ ἐξ ἐλαττόνων, ἀλλὰ κρειττόνων, ἢ ἴσων πάσχειν τὰ κακά. Ε. — ὑπὸ ἀνθρώπων ἀλλήλους κακῶς πράσσοντες. Σ. —Τινὲς συνάπτουσιν, ἵν' ᾖ, δι' ἀνδρῶν ἀλλήλους κακοποιοῦντες. Σ. Β.

Σ. 385. Ὦτος... ἐφιάλτης] Ὦτος καὶ Ἐφιάλτης γόνῳ μὲν ἦσαν Ποσειδῶνος, ἐπίκλησιν δὲ Ἀλωέως· οὗτοι ὑπερφυεῖς κατὰ μέγεθος γενόμενοι, τὸν Ἄρην παρ' αὐτοῖς ἔδησαν. Χρόνου δὲ διελθόντος, ἡ Ἐρίβοια, μητρυιὰ μὲν τούτων, γυνὴ δὲ Ἀλωέως, ἔπεισε τὸν Ἑρμῆν, ὅπως κλέψῃ τὸν Ἄρην, κἀκείνους αὐτοὺς ἀντὶ δεσμῶν εἰσπράξηται τιμωρίαν. Ὁ δὲ πεισθεὶς τοῦτο ἐποίησεν· οἱ δὲ οὐδὲ τότε τῆς ὑπερηφάνου ἀδικίας ἐπαύσαντο, ἀλλὰ Ἥραν καὶ Ἄρτεμιν ἐπείραζον. Ἀγανακτήσασα δὲ Ἄρτεμις, κυνηγετοῦσιν αὐτοῖς ἔπεμψεν ἔλαφον, ἥτις μεταξὺ τῶν δύο εἰσελθοῦσα παραιτία τελευτῆς αὐτοῖς ἐγένετο. Προϊέμενοι γὰρ ὡς ἐπ' αὐτὴν τὰ δόρατα ἀμφότεροι, τῆς μὲν ἀπέτυχον, ἀλλήλους δὲ πλήξαντες ἀπέθανον. Ἄλλοι δὲ πιθανώτερον ἐξηγούμενοι τὰ Ὁμήρου τοὺς Ἀλωείδας τούτους φασὶ γενέσθαι βασιλεῖς τῆς Ἑλλάδος, πολλῆς δὲ καὶ βαρβάρου γῆς ἐπικρατήσαντας καταπαῦσαι τὸν πόλεμον καὶ τάξεις αὐτῶν παρασκευάς, καὶ ἐν εἰρήνῃ ποιῆσαι βιοτεύειν τοὺς ἀνθρώπους, διὰ τούτου ἔδοξαν δῆσαι τὸν Ἄρην, τουτέστι τὸν πόλεμον. Σ.

Σ. 587. Χαλκέῳ δ' ἐν κεράμῳ] Χαλκέῳ ἐν κεράμῳ· ἤγουν ἀγγείῳ, οἷον, πίθῳ· ἄλλοι δέ φασι δεσμωτηρίῳ στεῤῥῷ, λέγοντες, Κυπρίους κέραμον καλεῖν τὸ δεσμωτήριον· οἱ δὲ πόλιν Καρίας φασὶ τὸν κέραμον, χάλκεον οἷον δοκοῦσαν καὶ τροπικῶς λεχθεῖσαν, διὰ τὸ στεῤῥὸν τοῦ τειχίσματος· — τὸν δὲ Ἄρην ὑπ' αὐτῶν δεθῆναί φησιν ὁ μῦθος, διότι αὐτὸς ἀνεῖλε τὸν τοῦ Κινύρα υἱὸν Ἄδωνιν, αὐτοῖς ὑπ' Ἀφροδίτης παρατεθέντα καὶ ἐν τῷ Λιβάνῳ τῆς Ἀραβίας θηρολετοῦντα. Ε.

Σ. 388. Ἆτος πολέμοιο] Ὁ ἀπλήρωτος καὶ ἀκόρεστος τοῦ πολέμου. Σ.

Σ. 389. Εἰ μὴ μητρυιὴ κ. τ. λ.] Ἐὰν μὴ ἡ τοῦ Ἑρμοῦ μητρυιὰ ἡ Ἐρίβοια ἀπήγγειλε τῷ Ἑρμῇ, ἵνα ἐκκλέψῃ τὸν Ἄρην τοῦ δεσμοῦ. Ἐρίβοια δὲ, ἡ ἀέρια καὶ μεγάλα βοῶσα. Ἀντίμαχος δὲ ὁ Κολοφώνιος τὴν Ἐρίβοιαν μητριὰν Ὥτου καὶ Ἐφιάλτου παραδίδωσι. Σ.

Σ. 392. Τλῆ δ' Ἥρη] Ἐν Πύλῳ συμμαχοῦσα τῷ Νηλεῖ κατὰ τοῦ Ἡρακλέους. Ε. — Εὔρυτος ὁ Οἰχαλίας τῆς

НБ ОНУ імені І. І. Мечникова

ἐν Βοιωτίᾳ βασιλεὺς προέθηκε τὸν τῆς θυγατρὸς Ἰόλης γάμον τῷ κατὰ τὴν τοξικὴν αὐτὸν νικῆσαι δυναμένῳ, ἢ ὥς τινες τοὺς παῖδας. Παρὰ γὰρ Ἀπόλλωνος εἰλήφει τὴν τοξικήν. Ἡρακλέους δὲ διαγωνισαμένου ἀγανακτήσας ὁ Εὔρυτος οὐκ ἀπεδίδου τὴν κόρην. Ὀργισθεὶς δὲ Ἡρακλῆς ἐπόρθησε τὴν Οἰχαλίαν, τὴν δὲ Ἰόλην αἰχμάλωτον ἤγαγεν, οὐδὲ τῆς ὀργῆς ἐπαύσατο· ἀλλὰ καὶ Ἴφιτον τὸν Εὐρύτου, εἰς Τίρυνθα παραγενόμενον, ἐπὶ ζήτησιν ἵππων, ξενίσας, ἀπέκτεινε. Φεύγων δὲ τοῦ φόνου μῖσος, παρεγένετο πρὸς Νηλέα καθάρσεως τευξόμενος· τῶν δὲ παίδων αὐτοῦ μὴ βουλομένων ὑποδέξασθαι, ὁ Νηλεὺς ἐξέβαλεν αὐτόν. Ἡρακλῆς δὲ ἐκεῖθεν χωρισθεὶς, ἐπεξενώθη Δηϊφόβῳ, τῷ τῶν Ἀρκάδων βασιλεῖ, καὶ οὕτως ἐκαθάρθη τοῦ φόνου· καὶ ὕστερον ἐπιστρατεύσας Νηλεῖ, οὐ μόνον τὴν Πύλον ἐπόρθησεν, ἀλλὰ καὶ Ἥραν Νηλεῖ συμμαχοῦσαν, ἔτρωσεν, αὐτόν τε Νηλέα τοῖς παισὶν ἅμα κτείνει, δίχα τοῦ νεωτέρου Νέστορος· οὗτος γὰρ ἐν Γερήνοις ἀνετρέφετο, διόπερ ἐσώθη· ὅθεν αὐτὸν Γερήνιον ὁ Ποιητὴς προσηγόρευσε. Σ.

Σ. 393. Τριγλώχινι] Τρεῖς ἀκίδας ἔχοντι, τριγώνῳ. Σ.

Σ. 395. Τλῆ δ' Ἀΐδης] Ὅτε παραχωρηθεὶς ὁ ῥηθεὶς Ἡρακλῆς ὑπὸ Πλούτωνος ἄνευ ἀσπίδος καὶ σιδήρου χειρώσασθαι, εἰ οἷός τέ ἐστι, τὸν Κέρβερον· αὐτὸς τῇ μὲν λεοντῇ ἀντὶ ἀσπίδος χρησάμενος, τοῖς δὲ βέλεσι λιθίνας ἐναρμόσας ἀκίδας, ὁποῖαι πολλαχοῦ ἱστοροῦνται, τὸν κύνα κατηγωνίσατο. Μετὰ δὲ νίκην ἐναντιούμενον τὸν Ἅδην κατετόξευσε, καὶ οὕτω τὸν Κέρβερον ἀνήγαγε. Καὶ σημείωσαι, ὅτι οὐκ οἶδεν ἐνταῦθα Ὅμηρος τὸν Ἡρακλέα ῥοπάλῳ χρώμενον, ἀλλὰ τόξοις ἀνδραγαθοῦντα. Ε.

Σ. 396. Ὡυτός] Ὁ αὐτὸς ἀνήρ· δισσυλλάβως δὲ ἀναγνωστέον. Σ.

Σ. 397. Ἐν Πύλῳ] Πύλῳ. (ἴδ. Ἀπολλόδ. Β. 7.3.).

Σ. 400. Ὤμῳ ἔνι στιβαρῷ] Στιβαρὸς δὲ ὦμος, καθὰ καὶ χεὶρ στιβαρὰ, ὁ πυκνὸς, καὶ οὕτω στεῤῥός. Ε.

Σ. 401. Ὀδυνήφατα] Τὰς ὀδύνας καταπαύοντα καὶ φθείροντα. Σ. — Τὰ ὡς εἰπεῖν ἀκεσώδυνα, ὡς τοῦ ἀκέσασθαι ὀδύνην καὶ τοῦ ὀδύνην φάσαι, ἤτοι φονεῦσαι ὡς οἷά τινα πολεμίαν, ταῦτα δηλούντων· ἐνέργειαν δὲ σημαίνει τὸ ὀδυνήφατον· ἀνάπαλιν δὲ τούτου πάθος, τὸ μυλήφατον καὶ τὸ πρόσφατον ἐν τῷ πρόσφατος νεκρὸς, ὁ ἐγγὺς καὶ πρὸ ὀλίγου φονευθείς. Ε.

Σ. 403. Ὀβριμοεργός] Μεγάλοις ἔργοις ἐπιτιθέμενος,



НБ ОНУ імені І.І. Мечникова

καὶ ἰσχυρὰ διαπραττόμενος. Σ. — Οὐκ ὄθετο] Οὐκ ἐπεστρέφετό τινος ἀδικῶν. Ε. (ἴδ. Α, 181). — Αἴσυλα] Ἔστιν αἴσυλα κατὰ παράλειψιν ἑτέρου α, δηλοῦντος κειμένην (ἴσως δηλοῦντος στέρησιν, ἴδ. Ἀπολλών. σελ. 62.), ἀαίσυλα, ἐστερημένα τῆς αἴσης, τουτέστι τοῦ καθήκοντος. Σ.

Σ. 407. Οὐδέ τί μιν] Ἰστέον δὲ, ὡς, εἰ καὶ ἀφελὴς ἔννοια τὸ οὐδέ τί μιν παῖδες ποτὶ γούνασι παππάζουσιν, ἀλλ' ἔχει ἄλλως ὕψος ὁ λόγος, διὰ τὸ τῆς γνώμης ἔνδοξον· διδάσκει γὰρ, ὅτι τῶν θεομάχων οἱ παῖδες ταχὺ ὀρφανίζονται. Ὠνοματοπεποίηται δὲ τὸ παππάζειν, ὡς καὶ τὸ ποππύζειν, καὶ δηλοῖ τὸ βρεφικῶς προσφθέγγεσθαι τὸν πατέρα. Ἐκ δὲ τῆς λέξεως ταύτης καὶ ὁ πάππος· καὶ πάππας αὐτὸς ὁ πατὴρ πᾶς λεγόμενος μονοσυλλάβως κατὰ βρέφους προσφώνησιν, καθά φασιν οἱ παλαιοὶ, ὥσπερ καὶ μᾶ μήτηρ, καὶ κατὰ ἀναδιπλασιασμὸν, πάπας καὶ παπίας. — Ἰστέον δὲ καὶ ὅτι παππάζειν μὲν ἐπὶ μόνων ἀνθρώπων, ποππύζειν δὲ καὶ ἐπὶ ἀλόγων· οὐ γὰρ μόνον τροφεῖς βρέφη, ἀλλὰ καὶ ἵππους καὶ βόας οἱ τημελοῦντες ποππύζουσι· — ἐν δὲ ἐκθέσει συγγενικῶν λέξεων φερομένων ἐν ῥητορικῷ λεξικῷ, γράφεται καὶ ταῦτα· πάππαν καὶ παππίαν τὸν πατέρα οἱ Ἀττικοὶ ὑποκορίζονται· τὸν δὲ τροφέα πάππαν οὐδεὶς φησι Ἕλλην καλεῖ· καὶ ὅτι τῶν συγγενικῶν ὀνομάτων τὰ μέν ἐστι κοινὰ πάντων, οἷον πατὴρ, μήτηρ, ἀδελφὸς καὶ τὰ ὅμοια· λέγω δὲ ὅτι πᾶς ἂν εἴποι πατέρα τὸν δεῖνα τοῦ δεῖνος, καὶ υἱὸν, καὶ ἀδελφόν· τὰ δὲ ἐκ προσώπου λέγεται ἰδίως· οἷον ἄπφαν τὴν ἀδελφὴν ἀττικῶς, μόνη ἡ ἀδελφὴ εἴποι ἄν, καὶ πάππαν τὸν πατέρα μόνος ὁ παῖς, ὥσπερ καὶ μαμμίαν τὴν μητέρα, καὶ τὰ ὅμοια. — Ἰστέον δὲ, ὅτι καθὰ λόγῳ συγγενικῷ πάππος ὁ τοῦ πατρὸς πατὴρ, καὶ ἐπίπαππος πατὴρ πάππου, ὁ καὶ πρόπαππος, οὕτω καὶ τήθη βαρυτόνως ἢ τηθὴ ὀξυτόνως, ἡ τοῦ πατρὸς μήτηρ, καὶ ἡ τῆς μητρὸς δὲ, ἡ μέντοι τηθὶς ἄλλο τί ἐστιν, ἀναλογοῦσα τῷ θείῳ· — τὸ δὲ ποτὶ γούνασιν, ἐλλιπῶς ἔχει τῆς φράσεως· τὸ γὰρ ὅλον ἦν εἰπεῖν ποτὶ γούνασιν ἑζόμενοι. Ε.

Σ. 412. Μὴ δὴν Αἰγιάλεια κ. τ. λ.] Τριῶν θυγατέρων Ἀδράστου Αἰγιάλεια μὲν ἡ νεωτάτη, γυνὴ Διομήδους ἦν, Ἀργεία δὲ Πολυνείκους, Δηϊπύλη δὲ Τυδέως. Οἱ μὲν οὖν μεθ' Ὅμηρον ἐκμανῆναί τε τὴν Αἰγιάλειαν περὶ πορνείαν ἱστοροῦσιν, Ἀφροδίτης χόλῳ, διότι ὑπὸ Διομήδους ἐτρώθη, καὶ Σθενέλῳ τῷ τοῦ Κομήτου, ὃν φύλακα τοῦ Ἄργους εἴασεν ὁ Διομήδης, φασὶν αὐτὴν ἐμφύεσθαι

НБ ОНУ імені І.І. Мечникова

κατὰ ἔρωτα μοιχικόν· καὶ τὰ λοιπὰ λέγουσιν, ὅσα καὶ Λυκόφρων ἱστορεῖ. Ὅμηρος μέν τοι περίφρονα καὶ ἰφθίμην αὐτήν φησι καὶ φίλανδρον εἶναι λέγει, καὶ πενθεῖν ἐπὶ τῇ τοῦ Διομήδους ἀποδημίᾳ ἱστορεῖ. Ε.

Σ. 415. Ἰφθίμη ἄλοχος] Ἔστι δὲ πάντως τὸ ἰφθίμη ταὐτὸν τῷ ἀνδρεία, ὅπερ ἀλλαχοῦ ζαΐφρων φησί· τοῦτο δὲ πρὸς διαστολὴν ἄλλων εἴρηται αἰκῶν, αἳ φύσει ἀνάλκιδές εἰσι καὶ θηλύτεραι, ὡς καὶ ὁ ποιητὴς ἔφη· ἐν τῷ, γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις (Ἴδ. στ. 349.)· καὶ τάχα ὅσας μὲν ἡ Ἀφροδίτη ἠπεροπεύει, αὗται ἀνάλκιδες, αἱ δὲ μὴ τοιαῦται ἴφθιμαί εἰσι. Κ. Τὴν συνετήν.

Σ. 416. Ἀπ' ἰχῶρ χειρός] Ἀπ' ἰχώρ· Εὐστ. ἀνάγνωθ. ἰχῶ. Ὥσπερ τὸν ἱδρῶτα ἱδρῶ λέγει κατὰ ἀποκοπὴν ὅλης συλλαβῆς, οὕτω τὸν ἰχῶρα, ἰχῶ. — Ὀμόργνυ] Τὸ δὲ ὀμόργνυε γίνεται μὲν ἀπὸ τοῦ ὀμόργω, ὡς ἄγω ἀγνύω· δηλοῖ δὲ τὸ ἀπεπίεζε. Ε. — Ἀπέψα, ἀπέμασσεν. Σ. Ἀπ' ἰχῶ. Β.

Σ. 422. Ἢ μάλα δή τινα κτλ.] Ἀθηνᾶ καὶ Ἥρα συλλαίνουσαι ἀστείως καὶ κερτομοῦσαι τὴν τῆς ἀνάλκιδος Ἀφροδίτης πληγὴν κωμικώτερον, ὡς δῆθεν, οὔτε ἐκ δόρατος, οὔτε ἐν πολέμῳ γενομένην, φασὶν ἀμύξασθαι τὴν αὐτῆς χεῖρα περόνῃ τινὸς γυναικὸς Ἀχαιΐδος, καταψώσης ἐκείνην καὶ ἀνιείσης ἤτοι ἀναπειθούσης εἰς ἁρπαγήν, ὡς δηλαδή ποτε καὶ τὴν Ἑλένην ἠπάτησε. — Καὶ σημείωσαι, ὅπως ὁ καὶ τὰ τοιαῦτα δεξιὸς ποιητὴς ἐνταῦθα εὐφυῶς τὴν Ἀφροδίτην ἐκωμῴδησεν, οὐκ αὐτὸς ἐκ προσώπου οἰκείου, ἀλλὰ διὰ Ἀθηνᾶς καὶ Ἥρας. — Ὅρα δὲ καὶ ὅπως ἀστεῖος ὁ λόγος καὶ πολυειδής· προαγωγείαν τε γὰρ καταλέγει τῆς Κύπριδος, καὶ ψεκτὴν φιλανδρίαν αὐτῆς ὑπολαλεῖ τὴν ἐπὶ τοῖς βαρβάροις Τρωσί· καὶ ἀδικίαν αὐτῆς ἐμφαίνει τὴν ἐπὶ τῇ ἁρπαγῇ τῆς Ἑλένης· καὶ μαλακότητα δὲ κατηγορεῖ ὡς ἐπὶ πληγῇ οὐκ ἀξιολόγῳ ἀχθομένης, ἀλλ' ἐπὶ μόνῳ ξέσματι· τοῦτο γὰρ δηλοῖ τὸ ἀμύσσεσθαι. Ε.

Σ. 425. Πρὸς χρυσέῃ περόνῃ] ὥσπερ δὲ τὸν ὑπὸ ὀϊστοῦ οὐκ ἐν καιρίῳ βληθέντα σκώπτων τις εἴποι ἄν, τυχὸν ὑπὸ μυίας δεχθῆναι, οὕτω πως ἡ Ἀθηνᾶ τὴν τοῦ δόρατος ἐνταῦθα πληγὴν ἀμυχῇ περόνης εἰκάζει, ἣν ἐν τοῖς στήθεσιν ἐφόρουν αἱ παλαιαὶ γυναῖκες, δι' ἧς τὸ κεχηνὸς τοῦ πέπλου συνήγετο· Δωριέων καταρξάντων τοῦ τοιούτου ἱματισμοῦ. Φησὶ γοῦν Ἡρόδοτος (Ε, 87.), γυναικείαν ἐσθῆτα Δωρίδα, τὴν ἔχουσαν περόνας· Τοιαύτη δὲ



НБ ОНУ імені І.І. Мечникова

φησιν ἡ ἀρχαία πᾶσα ἐσθὴς τῶν γυναικῶν· τὸν δὲ λινεόν φησι χιτῶνα αἱ περὶ τὴν Καρίαν εἶχον· — ὅτι δὲ οὐκ ἀξιόλογα πάνυ τὰ τῆς πληγῆς τῆς Ἀφροδίτης, δηλοῖ καὶ τὸ μὴ δεηθῆναι αὐτὴν τοῦ Παιήονος Ε. — Ἀραιήν] Ἀσθενῆ, σημαίνει δὲ καὶ λεπτήν. Σ. Χρυσῆ. Β. Κατεμύξατο. Β.

Σ. 426. Μήδησε δὲ κ. τ. λ.] Ὁ δὲ Ζεὺς ἐπὶ τῷ σκώμματι οὐ γελᾷ· σεμνῶν γὰρ προσώπων ὁ ἐπὶ τοιούτοις γέλως ἀλλότριον, ἀλλὰ μειδιᾷ, ὃ πολλῷ τοῦ γελᾷν σεμνότερον, γέλως ὂν ἠρεμαῖος ἀνακεκραμένος συννοίᾳ. Σ.

Σ. 427. Χρυσέην] Χρυσῆν. Β.

Σ. 429. Ἔργα γάμοιο] Ὅτι ἔργα γάμου ἐνταῦθα ὁ ποιητής φησιν οὐ τὰ γυναιξὶν ἁπλῶς ἀνήκοντα, οἷον ἱστὸν, ἠλακάτην, καὶ ὅσα ἄλλα οἶδεν αὐτὸς, ὧν ψιλὴν μνείαν ἔθετο ἐν τῷ, οὔτ' ἄρ' φρένας οὔτε τι ἔργα (Α, 115.), τὰ μετὰ γάμον δηλαδὴ λόγῳ οἰκονομίας· ἀλλὰ τὰ εἰς αὐτὸν γάμον χρήσιμα, οἷον τὸν ἔρωτα, τὴν φιλότητα, τὸν ἵμερον, τὴν ὀαριστὴν πάρφασιν, καὶ τὰ τοιαῦτα, οὐκ Ἀθηνᾷ ἐργάνῃ, ἀλλ' Ἀφροδίτῃ, μητρὶ ἐρώτων, ἐπιτρέποντα. Ε.

Σ. 433. Γιγνώσκων] Ὃ οἱ· ὡς πρὸ βραχέων ἐῤῥέθη τὸ, γινώσκων ὅτ' ἄναλκις ἔην θεὸς οὕτω καὶ ἐνταῦθα κεῖται τὸ, γινώσκων ὃ οἱ αὐτὸς ὑπείρεχε χεῖρας Ἀπόλλων, τουτέστιν, ὅτι ὑπερεῖχεν, ὅ ἐστι σκέπων ἄνω εἶχε τοῦ Αἰνείου τὰς χεῖρας. Ε.

Σ. 442. Χαμαὶ ἐρχομένων] Ἀντὶ τοῦ ἀποθνησκόντων· ἢ ἐπὶ γῆς βαδιζόντων, ἢ χαμαιῤῥιφῶν ἢ φθαρτῶν. Σ.

Σ. 445. Ἀπάτερθεν] Ἀπάνευθεν. Β.

Σ. 448. Ἀδύτῳ] Ναῷ· ἄδυτα γὰρ καλοῦνται οἱ τόποι τῶν ἱερῶν, εἰς οὓς οὐκ ἔξεστιν εἰσιέναι πᾶσι. — Κύδαινον] Ἐδόξαζον, πρὸς δόξαν προετρέποντο. Σ.

Σ. 449. Εἴδωλον] Τὸ τοῦ Αἰνείου εἴδωλον, ὅπερ ὁ Ἀπόλλων ἔτευξεν, ἐφ' ᾧ μάχονται Τρῶες καὶ Ἕλληνες, ἡ φαντασία ἐστὶν, ἥτις ἐκ τῆς ὑφ' ἡλίῳ ὄψεως καὶ θέας Αἰνείου ἐναπέμεινε τοῖς στρατεύμασι, καὶ ἡ τοῦ ἥρωος, ὡς εἰπεῖν, ἀνειδωλοποίησις, ἣν ἔτι ἐν ἑαυτοῖς φέροντες ὁ στρατὸς ἐκ τοῦ εἰς ἅπαξ ἐρεθισμοῦ καὶ ἀναπολοῦντες εἰς νοῦν ὡς ἐν εἰδωλοποιΐᾳ τὸν κείμενον συνεκρότουν βαρὺν, ὡς ἐπὶ παρόντι αὐτῷ δὴ ἀληθῶς τῷ Αἰνείᾳ, τὸν πόλεμον, κἂν ἐκεῖνος ἀνήρπαστο. Ε.

НБ ОНУ імені І.І. Мечникова

Σ. 452. Βοείας] Τὰς ἀσπίδας τὰς ἐκ βοείων βυρσῶν. Ε.

Σ. 453. Λαισήϊα] Τὸ λαισήϊα εἰ καὶ ἄλλοι ἄλλως ἀποδεδώκασιν, ἀλλ' ἐγώ φημι σάκη λέγειν κοῦφα, ἤγουν ἐλαφρά· τοῦτο γὰρ δηλοῖ τὸ πτερόεντα· λαισήϊα δὲ εἰρῆσθαι τὰ ἐν τῇ λαιᾷ βασταζόμενα μικρὰ ἀσπιδίσκια. Σ. Β. — Ὅλως δὲ οἱ πλείους τῶν παλαιῶν ἀσπιδίσκιον ὠμοβύρσινόν φασι τὸ λαισήϊον. Ε.

Σ. 463. Κέλευεν] Κέλευσεν. Β.

Σ. 465. Ἐς τί] Χρονικῶς κεῖται, ἀντὶ τοῦ μέχρι τίνος· οὕτω δὲ καὶ τὸ εἰσόσκεν, ἀντὶ τοῦ ἕως οὗ. Ε.

Σ. 468. Αἰνείας υἱὸς] Οὐκ ἀγνοῶν τὰ περὶ αὐτοῦ τοῦτο λέγει, ἀλλὰ παρορμῶν. Εὖ δὲ τὸ μὴ Ἀφροδίτης νῦν φάναι, ἀλλ' Ἀγχίσου, ἵνα δειχθῇ, ὅτι συγγενής ἐστιν αὐτῶν ὁ ἀνῃρημένος. Σ. Β.

Σ. 472. Ἕκτορ . . . ἔχεσκες] Ὀνειδίζει ὡς ῥάθυμον καὶ τὸ τοῦτο οἷον ἀμενηνόν· — εἶτα αἰτιᾶται καὶ ὡς ἀλαζόνα. Ε.— Ἀνεδύετο γὰρ τὴν μάχην, οὐ διὰ δειλίαν, ἀλλὰ τὴν τῶν ὅρκων σύγχυσιν, οὓς αὐτὸς ἐπεπρυτανεύκει. Σ. Β.

Σ. 473. Φῆς που] Ὑπέλαβες· οὐ γὰρ ἂν Ἕκτωρ ἐφθέγξατό τι τοιοῦτον εἰς τοὺς συμμάχους· λαῶν δὲ λέγει τῶν τῆς πόλεως. Σ. Β. — Ἑξέμεν] Ἕξειν, συνέξειν, συνεκσώσειν, φυλάξειν. Σ.

Σ. 480. Ἄλοχόν τε] Ὅτι τῶν φιλτάτων προὔκρινα τὴν σὴν φιλίαν, οὐχ ὡς ἀστυγείτονα δεδιώς, ἀλλ' οὐδὲ πόθῳ χρημάτων ἁλούς. Σ. Β.

Σ. 484. Φέροιεν . . . Ἄγοιεν] Τὸ δὲ φέρειν καὶ ἄγειν φανερὰν διαφορὰν δηλοῖ τοῦ ἄγειν καὶ φέρειν· λέγεται δὲ ὡς ἐπὶ πολὺ ἄγεσθαι μὲν τὰ ἔμψυχα καὶ βαδιστικά· φέρεσθαι δὲ τὰ βασταζόμενα. Ε. (Ἴδ. Α, 13. 99.).

Σ. 485. Ἕστηκας] Ἤτοι ἀργεῖς. Ε.

Σ. 486. Ὤρεσσι] Ταῖς γυναιξί, παρὰ τὸ συνεζεῦχθαι τοῖς ἀνδράσιν· ἔνθεν καὶ συνωρὶς, τὸ συνεζευγμένων τῶν ἵππων ὄχημα. Σ. — Ἔστι ῥῆμα ἀείρω, τὸ ὁμοῦ εἴρω καὶ συζευγνύω· — ἐξ αὐτοῦ ῥηματικὸν ὄνομα ἄορ, ἡ συνεζευγμένη καὶ ὁμοῦ οὖσα τῷ ἀνδρὶ γυνή. Διὰ δὲ τὴν πρὸς τὸ ξίφος συνέμπτωσιν μετατεθὲν τὸ ἄορ, γέγονεν ὄαρ· ἐξ οὗ καὶ ἁπλῶς ὀαρίζω, τὸ σύνειμι καὶ ὁμιλῶ· — τὸ δὲ ὄαρ συναιρεθὲν γέγονεν ὦρ, ὡς ἔαρ ἦρ, κέαρ κῆρ, καὶ πληθυνθὲν ἐγένετο ὦρες. Ε.

НБ ОНУ імені І.І.Мечникова

τοὺς εἰς ἀναίρεσιν· καὶ ταῦτα εἰπών, εὐθὺς ἀκοντίζει, καὶ βάλλει πρόμαχόν τινα, ἵνα δείξῃ, ὅτι τέλειός ἐστι στρατηγός, οὐ μόνον λόγοις θαῤῥύνων, ὃ πᾶς τις ποιήσειεν, ἀλλὰ καὶ ἔργου προάρχων. Ε.

Σ. 538. Εἴσατο] Εἴσατο χαλκός. Β.

Σ. 539. Νειαίρῃ] Τῇ νεάτῃ, λέγει δὲ τὸ ἔσχατον μέρος τῆς γαστρός. Σ.

Σ. 540. Δούπησε] Δούπησεν. Β.

Σ. 543. Φηρῇ] Φηρὴ, πόλις Μεσσηνιακὴ, κατὰ Πελοπόννησον. Ε.

Σ. 548. Διδυμάονε παῖδε] Διδυμάονες διδύμων διαφέρουσι· καθότι οὗτοι μὲν ἀδελφοὺς δηλοῦσιν, οἱ δὲ δίδυμοι οὐκ ἐξ ἀνάγκης· κεῖται γὰρ ἡ λέξις καὶ ἐπὶ ἁπλῶς δυάδος. Σ. (Ἴδ. Ἀπολλόν. σελ. 224.)

Σ. 555. Τάρφεσιν] Ἴδ. Χ, 142.

Σ. 557. Σταθμοὺς] Σταθμοὶ δὲ καὶ νῦν αἱ ἐν ἀγροῖς καταγωγαί. Σ. (Ἴδ. Β, 470.) — Τὰς ἐπαύλεις. Σ.

Σ. 561. Ἐλέησε] Ἐλέησεν ἀρηΐφιλος Μενέλαος. Β.

Σ. 567. Ἀποσφήλειε] Σφάλλειν λέγεται τὸ συμποδίζειν καὶ ῥίπτειν· τούτου δὲ τὸ ἐναντίον ἀνασφάλλειν, ὃ δηλοῖ τὴν ἐκ τοῦ πτώματος ἔγερσιν· ἀποσφάλλειν δὲ, τὸ πόῤῥω ποιεῖν καὶ ἀποπλανᾷν· πάντως γὰρ πεσόντος Μενελάου ἐλύετο ἡ μάχη· ὡς καὶ Ἀγαμέμνων ἐν τῷ γάμμα ἔφη· αὐτίκα γὰρ μνήσονται Ἀχαιοὶ πατρίδος αἴης καὶ τὰ ἑξῆς. Εἰ δὲ περὶ ποινῆς ἐκεῖνος καὶ ἐσαῦθις ἔφη μαχεῖσθαι, ἀλλὰ τοῦτο μὲν αὐτὸς, οἱ δὲ Ἀχαιοὶ μόγις ἂν κ' ἔμειναν. Ε. — Ἀποσφαλῆναι καὶ ἀποτυχεῖν ποιῆσαι τοῦ ἔργου. Σ. σφέας. Β.

Σ. 572. Παρ' ἀλλήλοισι] Ἤγουν ἐγγὺς ἀλλήλων. Σ.

Σ. 574. Δειλώ] Δειλαίους, ἀσθενεῖς, ἀθλίους. Σ. — Βαλέτην] Βαλεῖν καὶ ἐνταῦθα φανερῶς τὸ θεῖναι· βαλέτην, ἔθεντο. Ε. — ἐνεχείρισαν, ἔθηκαν. Σ.

Σ. 576. Ἔνθα Πυλαιμένεα] Ὁ ἐν τοῖς ἑξῆς ζῶν Πυλαιμένης, ὁμώνυμός ἐστι τούτῳ. Ε.

Σ. 578. Δουρικλειτός] Δουρικλυτός. Β.

Σ. 583. Ἡνία λεύκ' ἐλέφαντι] Διότι κατὰ συνήθειαν παλαιὰν ἀστραγάλους ἐλεφαντίνους ἑκατέρωθεν εἶχον, δι' ὧν εἷλκον αὐτὰς (ἡνίας) οἱ ἡνίοχοι. Ε. — Λείπει τὸ ὡς, ἵν' ᾖ, λευκὰ, ὡς ἐλέφας· οἱ δὲ ἐξ ἐλεφαντίνων λελευκαμένα ὀστῶν· ἔχουσι γὰρ αἱ

НБ ОНУ ім. І. І. Мечникова

νίαι ἐλεφαντίνους ἀστραγάλους ἑκατέρωθεν, δι' ὧν ἕλκουσιν οἱ ἡνίοχοι. Σ. Β.

Σ. 586. Κύμβαχος] Ἔστι δὲ τὸ κύμβαχος ταὐτὸν τῷ ἐπὶ κεφαλήν· ἔοικε γὰρ οὐ μόνον ἐπὶ ὀστρακοδέρμων κύτους ἡ κύμβη λέγεσθαι, ἀλλὰ καὶ ἐπὶ κεφαλῆς κατά τινα γλῶσσαν· ὅθεν καὶ κυβιστᾶν, τὸ ἐπὶ κεφαλὴν καθάλλεσθαι. Ε.—Βρεχμόν] Βρεχμὸς δὲ διὰ τοῦ χ, τὸ ἄνω τοῦ μετώπου· λέγεται δὲ καὶ κοινῶς βρέγμα διὰ τοῦ γ· καλεῖται δὲ οὕτω, διὰ τὸ οἷον βεβρέχθαι τοῦτο τὸ μέρος καὶ ὑγρότατον εἶναι καὶ ἁπαλὸν τοῖς βρέφεσιν, οὕτω καὶ ῥῆγμα λέγομεν διὰ τοῦ γ. Ε. (ἴδ. Ἀπολλόν. σελ. 199).

Σ. 587. Ἀμάθοιο] Ἄμαθος ἡ κατὰ τὸ πεδίον ἄμμος· ψάμμος δὲ ἡ κατὰ τὴν θάλασσαν κόνις. Σ.

Σ. 588. Κονίῃσι] Κονίῃσιν. Β.

Σ. 589. Ἵμασ'] Τοὺς ἵμασ'. Β.

Σ. 593. Κυδοιμόν] Κύδοιμον· τὴν ταραχήν, τὸν θόρυβον, ἢ πόλεμον· Σ. (ἴδ. Σ. 535. καὶ Ἡσίοδ. 156.) κυδοιμόν. Β.

Σ. 596. Ῥίγησε] Ἐπεὶ ἀπείρητο αὐτῷ, μὴ συνάπτειν τινὶ τῶν ἄλλων θεῶν πόλεμον. Σ. Β.

Σ. 597. Ἀπάλαμνος] ἰστέον δὲ, ὅτι ἀπάλαμνον λέγει τὸν ἄπειρον, καὶ μὴ ἔχοντα τεχνάσασθαί τι, ὡς οἷον ἄχειρα, καὶ μὴ ἔχοντα παλαίειν ἢ παλαμᾶσθαί τι, οὐ ἀνάπαλιν παλαμναῖος οὐ μόνον κοινότερον ὁ βριαρόχειρ, ἀλλὰ καὶ ὁ αὐτοχειρὶ κατὰ τοὺς παλαιοὺς φονεύων, καί τινι μιάσματι ἔνοχος· καὶ Ζεὺς δέ φασι παλαμναῖος, ὁ τοὺς φονεῖς καταῤῥίπτων· — ψογερὰ δὲ λέξις ἀεὶ παρὰ τοῖς ῥήτορσι, δίχα Διὸς ὁ παλαμναῖος· οὐ μὴν οὕτω καὶ ὁ ἀπάλαμνος. Ε.

Σ. 599. Μορμύροντα] Ἴδε Φ. 190. 325.

Σ. 606. Μάχεσθαι] Ὅ ἐστι, μὴ ἐν προσποιήσει ἀνδρίας θεομαχεῖν βούλεσθε· βούλεται γὰρ ὁ στρατηγὸς, εἰ καὶ πληγείη τις φεύγων, κατὰ στέρνου δέξασθαι τὸ τραῦμα, καὶ μὴ προτροπάδην φυγεῖν, καὶ νῶτα δοῦναι τοῖς ἐχθροῖς· πάνυ γὰρ ἐν αἰσχρῷ τοῦτο τοῖς παλαιοῖς ἔκειτο, καὶ μάλιστα τοῖς Λάκωσιν, οἳ καὶ ἄταφον ἐῤῥίπτουν τὸν ὀπισθότρωπον. Σημείωσαι δὲ ἐνταῦθα τὴν τυχηρὰν περιπέτειαν, ὅπως ὁ μὴ πειθόμενος πρὸ μικροῦ τῷ Σθενέλῳ τὴν εὐσχήμονα φυγὴν συμβουλεύοντι, νῦν αὐτὸς φεύγειν ὑποτίθεται, καὶ οἱ Ἕλληνες πείθονται· διὸ μετ' ὀλίγα οὔτε προτρέπονται, ἤτοι προτροπάδην φεύγουσιν, οὔτε ἀντιφέρονται ἐν μάχῃ, ἤτοι ἀνθίστανται τοῖς Τρωσὶν, ἀλλ' αἰὲν ὀπίσω χάζονται. Ε. μὴ δέ. Β.

РБ ОНУ імені І.І. Мечникова

Σ. 608. Κατέκταν', εὖ εἰδότε] Κατέκτανεν εἰδότε. Β.

Σ. 612. Παισῷ] Παισὸς, πόλις μεταξὺ Παρίου καὶ Λαμψάκου, ἥτις καὶ μετὰ τοῦ α λέγεται Ἀπαισός. Ε· (ἴδε Β, 828.)

Σ. 622. Βελέεσσι] Βελέεσσιν Β.

Σ. 625. Οἵ ἑ, μέγαν] Οἵ καὶ μέγαν. Β.

Σ. 629. Σαρπηδόνι μοῖρα κραταιή] Ἀπότομος, ἰσχυρά· φασὶν Εὐρώπῃ τῇ Φοίνικος ἀνθολογούσῃ φανῆναι τὸν Δία ἐν σχήματι ταύρου, κρόκον ἐκ τῶν ῥινῶν βλαστάνοντος· ἐπικαθεσθεῖσαν δὲ τοῖς νώτοις τὴν κόρην πρὸς ἀπανθισμὸν, ἁρπάσας εἰς Κρήτην ἐκόμισεν· ἐξ ἧς φασι Σαρπηδόνα γενέσθαι, καὶ Μίνωα, καὶ Ῥαδάμανθυν. Ε. (ἰδ. Β, 876. καὶ Ἀπολλόδ. σελ. 528. 534.).

Σ. 638. Ἡρακληείην] Ἡρακλεείην. Β.

Σ. 639. Θρασυμέμνονα] Τολμηρὸν, θρασὺν ἐν τῷ μένειν, ἢ θρασέως ὑπομένοντα ἐν τῇ μάχῃ. — Φασὶ δὲ ἀεὶ Λυκίους Ῥοδίοις ἐχθρεύειν. Ε. Β.

Σ. 642. Χήρωσε] Ὃ ἐστιν ἐρήμους ἀνδρῶν ἐποίησε. Ε.

Σ. 644. Ἄλκαρ] Ἴαμα, ἄλεξημα, βοήθημα. Σ.

Σ. 646. Πύλας Ἀΐδαο περήσειν] Πύλας ᾅδου περήσειν, ἤγουν εἰς ᾅδην ἀπελθεῖν μύθου ἤρτηται τοῦ πέραν περὶ τὰ τοῦ Ὠκεανοῦ ἑσπέρια πλάττοντες εἶναι τὸν ᾅδην. Ε. ὑπ' ἐμοί. Β.

Σ. 647.— 649. Σαρπηδών] Ὁ δέ γε Σαρπηδὼν καταψεύσασθαι μὲν τῆς Ἡρακλέους στρατηγίας ἢ ἀνδρείας οὐκ ἔχει· ἵνα μὴ τοῖς ὡμολογημένοις ἀναισχύντως ἀντιβαίνῃ· σμικρύνει δὲ ἄλλως καὶ ἐξευτελίζει τὸ μεγαλεῖον ἐκείνης τῆς πράξεως, λέγων· Τληπόλεμ', ἤτοι κεῖνος ἀπώλεσεν Ἴλιον ἱρὴν ἀνέρος ἀφραδίῃσι, ἤγουν κακοβουλίαις ἀγαυοῦ Λαομέδοντος, ὅς ῥά μιν εὖ ἔρξαντα, ἤγουν εὐεργετήσαντα διὰ τοῦ ἀνελεῖν μὲν τὸ κῆτος, περισώσασθαι δὲ τὴν θυγατέρα Ἡσιόνην, κακῷ ἠνίπαπε μύθῳ, ἤγουν λόγοις ἐπέπληξεν οὐκ ἀγαθοῖς· τοιαῦτα καὶ τὰ τοῦ Σαρπηδόνος, ἐν οἷς συνελόντι εἰπεῖν, οὐ τοσοῦτον τὴν Ἡρακλέους ἀνδρίαν αἰτίαν τοῦ τὴν Τροίαν τότε ἁλῶναι δηλοῖ, ὅσον τὴν Λαομέδοντος ἀδικίαν· καὶ ἐχρῆν μὲν, ὥς φασιν οἱ παλαιοὶ, τὸν Σαρπηδόνα εἰπεῖν, ὅτι τότε ὁ Λαομέδων δικαίως πολεμούμενος ἔπαθεν, εἶτα ἐπαγαγεῖν, ὅτι σὺ δὲ νῦν ἀδίκως πολεμῶν οὐκ ἀνύσεις· ὁ δὲ θυμῷ ἐχόμενος, ἐγκόπτει τὸν λόγον καὶ ἀφίησιν ἀτελῆ· τάχα δὲ οὐδὲ εἶχεν εἰπεῖν τοῦτο· οὐ γὰρ ἀδίκως ὑπερμαχεῖ ὁ Τληπόλεμος τοῦ Μενελάου. Σ.

Σ. 654. Κλυτοπώλῳ] Ἐνδόξους ἵππους ἔχοντι — ἢ ἐπιθέ-

НБ ОНУ імені І.І.Мечникова

τῳ, καὶ κατὰ τοῦ ᾅδου κεχρῆσθαι, διὰ τὴν τῆς Περσεφόνης ἁρπαγήν· ἢ κλυτοπώλῳ, τῷ ἱππικῷ. Σ. Β.

Σ. 656. Ὁμαρτῆ] Ὁ μὲν Ἀρίσταρχος τὸ ἁμαρτῆ χωρὶς τοῦ ι γράφει, καὶ ὀξύνει. Οἱ δὲ περὶ Ἡρωδιανὸν περισπῶσι, καὶ προσγράφουσι (τὸ ι), παρὰ τὸ ἅμα καὶ τὸ ἀρτῶ περισπώμενον· οὕτω δὲ αὐτὸ καὶ ἡ συνήθεια δέχεται, καὶ τοῦτο ἐπεκράτησεν. Σ. Β. — Τουτέστιν ὁμοῦ, ὅτε Σαρπηδὼν καὶ Τληπόλεμος ἀφῆκαν δόρατα μακρὰ κατ' ἀλλήλων. Ε. (ἰδ. Ἀπολλόν. σελ. 741.) ἁμαρτῆ. Β.

Σ. 662. Ἐγχριμφθεῖσα] Ἐμπαγεῖσα, ἐμπελασθεῖσα. Σ.

Σ. 664. Ἐξέφερον πολέμοιο] Ἐξέφερον αὐτὸν πολέμοιο, ταμιευόμενον ἀλλαχοῦ εἰς ἀναίρεσιν τῷ Πατρόκλῳ· διό φησι, πατὴρ δ' ἔτι λοιγὸν ἄμυνε. Σ.

Σ. 665. Ἐπεφράσατ'] Ἐπιφράσασθαι μὲν τὸ βουλεύσασθαι καὶ χρόνον τινὰ τρίψαι τῇ καταλήψει· νοῆσαι δὲ, τὸ δίχα βουλῆς ἀχρόνως οἷον τὸ δέον καταλαβεῖν. Ε.

Σ. 667. Σπευδόντων] Συναπτέον, οἷον ἐπειγομένων αὐτῷ ἐπιβῆναι. Ε. Β.

Σ. 670. Τλήμονα] Ἰδ. Φ, 430. — Μαίμησε] Ἐταράχθη, ἢ ἐνεθουσίασε. Ε.

Σ. 672. Προτέρω] Ἤγουν προσωτέρω, περαιτέρω. Ε.

Σ. 685. Λίποι αἰών] Ἤγουν ἡ ζωή· σημείωσαι δὲ καὶ ὅτι οὐ θανεῖν τὸν Σαρπηδόνα λυπεῖ, ἀλλὰ τὸ ἀνεκδίκητον κεῖσθαι καὶ ἀβοήθητον· διὸ λέγει ἐπὶ μόνον· ἔπειτα. κ. τ. λ. Ε.

Σ. 690. Παρήϊξε] Παρήϊξεν. Β.

Σ. 693. Περικαλλέϊ φηγῷ] Περικαλλέα λέγει φηγὸν, διότι, ὡς εἰκὸς, ἀθιγὴς ἦν, ὡς οἷά τις τεμενία, καὶ διὰ τοῦτο ἀμφιλαφὴς καὶ ἀμφιθαλὴς, ὡς μηδενὸς ἐκεῖθεν τολμῶντος δρέπεσθαι· οὐ μόνον δὲ διὰ σκιὰν ὑπὸ τῇ δρυῒ τὸν Σαρπηδόνα καθίζουσιν, ἀλλὰ καὶ ὡς εἰς ἱερόν τινα τόπον. Ε.

Σ. 694. Ὦσε θύραζε] Ὦσε θύραζε ἁπλοϊκῶς εἶπεν ἀντὶ τοῦ ἔξω. Ε.

Σ. 696. Τὸν δ' ἔλιπε ψυχή] Ἐξελκυσθέντος τοῦ δόρατος ἐκ τοῦ μηροῦ τοῦ Σαρπηδόνος ἔλιπεν αὐτὸν ἡ ψυχὴ, ὅπερ ἐστὶν νῦν οὐ θανεῖν, ἀλλὰ λειποψυχῆσαι, ὃ καὶ λειποθυμεῖν συνθέτως φαμέν. Ε.

Σ. 697. Αὖτις δ' ἀμπνύνθη] Αὖθις ἀμπνύνθη, ἤγουν ἀνέπνευσεν ἀναλαβὼν ἑαυτόν· — καὶ σημείωσαι ἔπαινον τοῦ βοῤῥᾶ· ὁ μὲν

γὰρ ἐν τοῖς τοιούτοις πυκνοῖ τὴν τῆς σαρκὸς ἐπιφάνειαν, καὶ οὕτως ἔσω ἀντιπεριΐςῃ τὸ θερμόν. Ε.

Σ. 698. Ζώγρει] Ὅρα δὲ τὸ ἐζώγρει ἐνταῦθα, ἀντὶ τοῦ ἀνεζωπύρει ἀγείρουσα τὴν ζωήν· ἀλλαχοῦ δὲ ζωγρεῖν λέγει τὸ ζῶντάς τινας ἀγρεύειν αἰχμαλωσίας νόμῳ. — Κεκαφηότα] Ὅ ἐςιν ἐκπεπνευκότα· — ὅρα δὲ, μήποτε οὐκ ἀρκῇ πρὸς τὸ ἐκπνεῦσαι τὸ κεκαφηότα μόνον, δίχα τοῦ κακῶς ἐπιῤῥήματος· ἔςι γὰρ εἰπεῖν κεκαφηότα μὲν, τὸν ἁπλῶς πνεύσαντα· κακῶς δὲ κεκαφηότα τὸν δυσπνοήσαντα, ὡς μικροῦ καὶ ἐκπνεῦσαι. Ε.

Σ. 700. Οὔτε ποτὲ προτρέποντο] Τουτέςιν οὔτε προτροπάδην κατὰ κράτος ἔφευγον, οὔτε ἄντην ἐθέροντο· ἀλλὰ τὸ μέσον ἀμφοῖν ποιοῦντες αἰὲν ὀπίσω χάζοντο, καθὰ φθάσας παρήγγειλεν ὁ Διομήδης. Ε.

Σ. 701. Ποτ' ἀντεφέροντο] Ἀντ' ἐφέροντο. Β.

Σ. 703. Ἐξενάριξεν] Ἐξενάριξαν. Β.

Σ. 704. Χάλκεος Ἄρης] Χάλκεον δὲ καὶ νῦν τὸν Ἄρην φησὶν, ὡς καὶ τὴν Ἀφροδίτην χρυσῆν, ἀπὸ τοῦ φορήματος. Ε.

Σ. 707. Αἰολομίτρην] Ποικίλην μίτραν ἔχοντα. Σ.

Σ. 708. Ἐν Ὕλῃ] Ἰδ. Β, 500. — Μεμηλώς] Ἤτοι φροντίδα πλούτου ἔχοντα, καὶ οὐκ ἐκ τύχης πλούσιον ἢ διαδοχῆς. Ε.

Σ. 709. Κεκλιμένος] Παρακείμενος, γειτνιῶν, περιεχόμενος. Σ.

Σ. 710. Πίονα δῆμον] Διότι εὔκαρπος αὐτοῖς ἡ γῆ. Ε.

Σ. 717. Οὖλον Ἄρηα] Ἐξευτελίζει δὲ ἡ ποίησις ἐνταῦθα τὴν τοῦ Ἕκτορος ἀριςείαν, εἰ δ' Ἄρεως γίνεται· καὶ ἅμα προκατασκευάζει εὐαφόρμως προεκθέσεως λόγῳ τὸ πληγῆναι μικρὸν ὅσον τὸν Ἄρην. Ε.

Σ. 720. Ἔντυεν] Τουτέςιν εὐτρέπιζεν, ὥπλιζεν. Ε.

Σ. 722. Ὀχέεσσι] Ὀχέεσφι. Β.

Σ. 723. Ὀκτάκνημα] Τὰ ὀκτάραβδα διὰ πλείω ςεῤῥότητα· κνῆμαι γὰρ νῦν αἱ ἀπὸ τῶν ἔσω χοινικίδων ἕως τῆς ἔξω περιφερείας ῥάβδοι, οὕτω ῥηθεῖσαι πρὸς ὁμοιότητα ζωϊκῆς κνήμης ὑπανεχούσης τὰ ἐπικείμενα· χάλκεα δὲ ἐκ τῆς ἐπιπολαζούσης ὕλης· ἐρεῖ γὰρ τὰ ἐπίσωτρα, ἤτοι τοὺς ἐπικειμένους κύκλους τοῖς τροχοῖς χαλκᾶ εἶναι, εἰ καὶ τὰ ἐντὸς ἀργύρῳ καὶ χρυσῷ συγκεκρότηνται. Ε.

Σ. 724. Ὕπερθεν] Ὕπερθε. Β.

Σ. 725. Ἐπίσσωτρα] Οἱ σιδηροῖ κύκλοι, οἱ ἄνωθεν περι-

βαλλόμενοι τοῖς τροχοῖς, καὶ ἐφαπτόμενοι τῆς γῆς, οἱ καλούμενοι κανθοί. Σ. Β. — Σωςικοὶ γὰρ τῆς ἔσω περιφερείας εἰσὶν οἱ κανθοί. Ε.

Σ. 726. Πλῆμναι δ' ἀργύρου] Αἱ πλῆμναι δέ φησιν ἐξ ἀργύρου εἰσὶ περίδρομοι ἀμφοτέρωθεν, ἤγουν ἐκ δεξιῶν καὶ ἐξ ἀριςερῶν τοῦ ἅρματος, ὅπερ ἀμφὶς ἐπὶ τοῦ ἄξονός φησιν· εἰσὶ δὲ πλῆμναι αἱ τῶν τροχῶν χοινικίδες ἤτοι σύριγγες, ὅ ἐςιν ὀπαί, ἅς τινες καὶ χνόας φασί, ἤγουν τὰ μέσα τῶν εἰρημένων συρίγγων, εἰς ἅς ἐντίθενται τὰ τοῦ ἄξονος ἄκρα, πλῆμναι καλούμεναι, διὰ τὸ πλήσσεσθαι ἢ πληροῦσθαι ὑπὸ τοῦ ἄξονος. Ε.

Σ. 728. Ἄντυγες] Ἴδ. στ. 262.

Σ. 729. Ῥυμός] Ῥυμὸς δὲ τὸ ἀπὸ τοῦ δίφρου μέχρι τοῦ ζυγοῦ ξύλον ἀπὸ τοῦ ἐρύειν. Σ. Β.

Σ. 730. Λέπαδνα] Πλατεῖς ἱμάντες, οἷς ἀναδεσμοῦνται οἱ τράχηλοι τῶν ἵππων πρὸς τὸν ζυγόν. Σ. Β. — Οὐχ ὑπόκειται δέ τι ξύλον τῷ τῆς Ἥρας ἅρματι· θεῖον γάρ ἐςιν· ὅθεν οὐδὲ ὁ Ἥφαιςος ἀπὸ ξύλων σκευάζει τὰ Ὀλύμπια δώματα. Σ.

Σ. 734. Πέπλον μὲν κ. τ. λ.] Ἔςι δὲ πέπλος καὶ ἐνταῦθα γυναικεῖος χιτών, ὃν οὐκ ἐνεδύοντο, ἀλλ' ἐπερονῶντο· καὶ τῆς περόνης ἀρθείσης καταῤῥέων αὐτὸς εἰς τὸ ἔδαφος φαίνεται· ὅτι δέ ποτε καὶ ἐπὶ ἀνδρείου ἱματίου ὁ πέπλος τίθεται, δηλοῖ που Εὐριπίδης (Ὀρές. 166.) καὶ Σοφοκλῆς δὲ ἐν Τραχινίαις (ἴδ. στ. 758.)· ὃς τὸν Ἡρακλέους χιτῶνα, ὃν ἔβαψε Δηϊάνειρα τῷ ἐκ Νέσσου φαρμάκῳ· καὶ εὐαφῆ πέπλον λέγει καὶ καινὸν πέπλωμα, καὶ ἐνδυτῆρα πέπλον, καὶ θανάσιμον πέπλον· — καὶ τιθέασιν ἐνταῦθα οἱ παλαιοὶ ἀστερίσκον, ὅς ἐστιν ἀστέρος σημεῖον χιαστὸν· ἔχον ἐν ταῖς τέσσαρσι γωνίαις στιγμὰς, οὕτω ·✕· καὶ τίθεται ἐπὶ τῶν ἄριστα ἐχόντων ἐπῶν, καὶ ὡς ἐν καλῷ τόπῳ κειμένων· καὶ λέγουσιν, ὅτι ἐνταῦθα μὲν καλῶς ταῦτα λέγει καὶ κατὰ καιρὸν ὁ ποιητής· ἐν δὲ τῷ κόλῳ μάχῃ, ἤγουν τῇ Θ ῥαψῳδίᾳ (στ. 385.) οὐ δεόντως· ἀριστεία γὰρ ἐκεῖ τῆς Ἀθηνᾶς μεγάλη οὐ φαίνεται. Ε.

Σ. 737. Θωρήσσετο] Τεύχεσι οὐ τομοῖς τισιν, ἀλλ' ἢ σειστοῖς, κατὰ τὸ, ἐρεμνὴν ἐπισείει αἰγίδα (Δ, 167.) καὶ δυναμένοις βλάπτειν ἐν μόνῳ τῷ σείεσθαι, ἢ δεινοῖς καὶ σμερδνοῖς καὶ τῇ θέᾳ καὶ μόνῃ βλάπτουσιν. Ε.

Σ. 738. Ὤμοισι] Ὤμοισιν. Β.

Σ. 739. Ἐστεφάνωτο] Ταῦτα δὲ ἢ ὡς εἴδωλα ἐντετύπωτα

НБ ОНУ імені І.І. Мечникова

φασι τῇ αἰγίδι, ἢ ὡς διαθέσεις καὶ δυνάμεις ἄῤῥητοι καὶ θεῖαί τινες· δηλοῖ δὲ διὰ τούτων ὁ μῦθος τὰ πολύτροπα τῆς φρονήσεως ἐνεργήματα. Ε. Ἐστεφάνωται. Β.

Σ. 741. Γοργείη κεφαλή] Τὸ Γοργείη κεφαλὴ δεινοῖο πελώρου λέγει κατ᾽ ἀνάλυσιν, ὅτι ἡ κεφαλὴ τῆς Γοργοῦς τοῦ δεινοῦ πελώρου. Ε. (Ἴδ. Β, 54.).

Σ. 743. Ἀμφίφαλον — τετραφάληρον] Τὸ δὲ τετραφάληρον καὶ ἀμφίφαλον ἐξηγούμενοι οἱ παλαιοὶ, φασὶν, ὅτι φάλοι μὲν οἱ κατὰ τὸ μέτωπον τῆς περικεφαλαίας ἀσπιδίσκοι· φάλαρα δὲ κρίκοι τινὲς τῆς περικεφαλαίας ἐν ταῖς παραγναθίσιν· ὡς εἶναι διαφορὰν ταύτην φάλων καὶ φαλάρων· τινὲς μέν τοι ταὐτὰ ὑπέλαβον ἀμφότερα· ὡς εἶναι τὸ τετραφάληρον ἐξηγητικὸν τοῦ ἀμφίφαλον· ἡ γὰρ ἐκ δεξιῶν καὶ ἀριστερῶν ἔχουσα τοιαῦτα, καὶ αὖ πάλιν ἐν τοῖς ἔμπροσθεν καὶ ὄπισθεν, ἀμφίφαλος μὲν ἤγουν δίφαλός ἐστι τῇ συζύγῳ· τετραφάληρος δὲ, τοῖς καθ᾽ ἕν· ὅτι δὲ φάλαρα καὶ ἵππων ἐστὶ κόσμος προμετωπίδιος, ὡμολόγηται. Ε. (Ἴδ. Γ, 362.).

Σ. 744. Πρυλέεσσι] Ὅ ἐστι πεζοῖς ὁπλίταις· καὶ ὅρα, ὡς μεγίστην κατὰ μῦθον πλάττει τὴν ῥηθεῖσαν κυνέην, εἴγε τοσούτων πόλεων ὁπλίτας καλύπτειν καὶ σκέπειν ἠδύνατο· καὶ ἔστι καὶ τοῦτο συλλογισμὸς τὸ σχῆμα εἴτ᾽ οὖν ἔμφασις· συλλογιστέον γὰρ οἵα κεφαλὴ καὶ τὸ λοιπὸν ἀναλόγως τοῦ σώματος μέγεθος τῇ Ἀθηνᾷ, εἰ τοιαύτην περικεφαλαίαν περιέκειτο. Τινὲς δέ φασιν οὐχ ὅτι ἑκατὸν πόλεων ὁπλίτας ἠδύνατο σκέπειν, ὡς τοσούτοις ἀριστεῦσιν ἁρμόσαι δυναμένη· ἀλλ᾽ ὅτι ἑκατὸν πόλεων ὁπλίτας εἶχεν ἐντετυπωμένους ἑαυτῇ. Ε. — Πολλῶν πόλεων, πολλοῖς ὄχλοις ἁρμόσαι δυναμένην. Σ.

Σ. 747. Ὀβριμοπάτρη] Ὄβριμον καὶ ἰσχυρὸν πατέρα ἔχουσα. Σ.

Σ. 748. Ἐπεμαίετο] Ἔστι δὲ ἐπιμαίεσθαι κοινῶς μὲν τὸ ζητεῖν· — ἄλλως δὲ τὸ μεταχειρίζεσθαι καὶ ἅπτεσθαι. — Μάστιγι οὖν ἐπιμαίεσθαι ἵππους ἐστὶ τὸ ὡσεὶ καὶ χειρὶ ἅπτεσθαι· τὸ δέ ἐστι μαστίζειν. Ε.

Σ. 749. Ὧραι] Τὰς Ὥρας φιλοσοφῶν ὁ ποιητὴς πυλωροὺς αὐτὰς λέγει τοῦ οὐρανοῦ. Ε. — Μύκον] Ἤχησαν, ἀνεῴχθησαν ἀπὸ τοῦ παρακολουθοῦντος· — ἔχον· νῦν ἀντὶ τοῦ ἐφύλασσον. Σ. — Ὅτι πύλαι οὐρανοῦ τὰ νέφη· ὁ γὰρ ὑπὲρ ταῦτα τόπος ὁμωνύμως τῷ στερεμνίῳ οὐρανὸς καλεῖται. Σ. Β.

Σ. 751. Ἀνακλῖναι — ἐπιθεῖναι] Τουτέστι καὶ ἀνοῖξαι νέ-

НБ ОНУ імені І.І. Мечникова

καὶ αὖθις ἐπιθεῖναι. — καιριωτάτη δὲ λέφρα, οἷά τινα πύλην, τὸ ἀνακλίνειν· ἵνα ἡ κλίνειν μὲν τὸ κλείειν, ξις ἐπὶ ἀνοίξεως πυλῶν, τὸ ἀνάπαλιν. Ε. — Ἀνακλῖναι] Διαστεῖλαι, ἀναζυἀνακλίνειν δὲ τὸ ἀνάπαλιν. — ἐπιθεῖναι· ἐπικλεῖναι, ἐπιπτύξαι. Σ.

γῶσαι, ἀναστεῖλαι· — ἐπιθεῖναι· ἐπικλεῖναι, ἐπιπτύξαι. Σ.

Σ. 752. Κεντρηνεκέας] Τοὺς τοῖς κέντροις, ὅ ἐστι μάστιξι, κεντρουμένους. — Ἔχον] Ἤλαυνον. Σ. (Ἴδ. Ἀπολλών. σελ. 392.).

Σ. 756. Ὕπατον] Βασιλέα, ἡγεμόνα. Σ. Ἐξείρετο. Β.

Σ. 757. Καρτερὰ ἔργα] Καρτερὰ δὲ καὶ νῦν ἔργα τὰ βίαια. Ε. Ἄρη. Β.

Σ. 759. Ἔκηλοι] Ἥσυχοι. Σ.

Σ. 761. Ἀνέντες] Ἀντὶ τοῦ ἐρεθίσαντες, παροξύναντες, ἀναπείσαντες. Σ.

Σ. 763. Ἐξαποδίωμαι] Ἐξ ἀποδίωμαι. Β.

Σ. 765. Ἄγρει μάν] Ἄγε δή. Σ. — Σπουδὴν παρακελεύεται, ὁποῖα πρέπει καὶ εἰς ἄγραν, ὡς ἀπὸ τοῦ ἀγρεῖν. Ε.

Σ. 768. Μάστιξε δ' ἵππους] Μάστιξεν — ἄκοντ' ἐπετέσθην. Β.

Σ. 770. Ὅσσον δ' ἠεροειδὲς] Ἀναπεπταμένου τοῦ μεταξὺ ἀέρος, καὶ μηδενὸς ἐμποδίζοντος· — διὰ τοῦ ἐν ἡμῖν ὀξυτάτου ἐδήλωσε τὸ τάχος τῶν ἵππων· ὅσον γάρ τις ἐκτείνει τὴν ὄψιν, εἰς τὸν παρὰ θάλασσαν ἀτενίζων ἀέρα, μηδενὸς ἀντιπίπτοντος, ἀλλὰ τοῦ ὁρωμένου παντὸς ἀέρος ὄντος, τοσοῦτόν, φησι, ἐστὶ τὸ βῆμα τῶν θείων ἵππων ὁρμώντων. Σ. Β. (Ἴδ. Ν, 20.)

Σ. 772. Ὑψηχέες ἵπποι] Ὑψαύχενες, ἤτοι εἰς ὕψος αἰρόμενοι μετὰ ἤχου· ἄριστοι γὰρ οἱ κυμβαλίζοντες ἵπποι. Σ. Β.

Σ. 776. Ἔχευε] Ἔχευεν. Β.

Σ. 777. Ἀμβροσίην] Τὴν τῶν θεῶν τροφήν, ἢ πόαν τινὰ νῦν, ἣν οἱ τῶν θεῶν ἵπποι ἐσθίουσι. Σ. — Ποιητικοῦ κάλλους ἴδια ταῦτα, ὡς καὶ ἐπὶ λέχους τοῦ Διός· (Ξ, 347.) καλῶς δὲ οὐχ ὁ Σκάμανδρος ἀνέτειλε· Τρωσὶ γὰρ ἦν βοηθὸς οὗτος. Σ. Β.

Σ. 778. Πελειάσιν] Ἴδ. Χ, 140. — Ἴθμαθ'] Τὸ δὲ ἴθμα, οὐ σύνηθες ὂν φράζεσθαι, ἐκ τοῦ ἰέναι γίνεται. Ε. — Ἴθματα· ἴχνη, βήματα, ὁρμήματα. — Τρήρωσι] Δειλαῖς ἐπιθετικῶς· παρὰ τὸ τρεῖν· δειλὸν γὰρ τὸ ζῶον· τὸ γὰρ τρεῖν σημαίνει τὸ φοβεῖσθαι. Σ. — Οὐ περιστεραὶ γενόμεναι, ἀλλ' ὅμοιαι τοῖς ἴθμασιν, ἤγουν τοῖς ὁρμήμασι καὶ ταῖς πτήσεσι τῶν περιστερῶν εἰς τὸ στρατόπεδον ἔρχονται· τὸ γὰρ ὡς πελειάδας τὰς θεὰς πορεύεσθαι, ἀπρεπές. Σ. Β.

НБ ОНУ імені І.І.Мечникова

Σ. 783. Κάπροισι] Κάπροισιν. Β.

Σ. 785. Στέντορι] Στέντορά φασί τινες μὲν Ἀρκάδα, τινὲς δὲ Θρᾷκα εἶναι, Ἑρμῇ δὲ περὶ μεγαλοφωνίας ἐρίσαντα ἀναιρεθῆναι. Εὑρεῖν δὲ αὐτὸν λέγουσι καὶ τὴν ἐκ κόχλου βαφὴν, ἢ μᾶλλον τὴν διὰ κόχλου βοὴν ἐν ταῖς μάχαις. — Χαλκεοφώνῳ] Οὐ διὰ τὸ στεῤῥὸν, ὅπερ ἀλλαχοῦ φωνὴν εἶπεν ἄῤῥηκτον, ἀλλὰ διὰ τὸ ἐξάκουστον τῆς βοῆς· ἠχητικώτατος γὰρ ἐν μετάλλοις χαλκός. Ε.

Σ. 787. Αἰδώς] Λείπει τὸ ἐστίν. Ε. — Εἶδος ἀγητοί] Εὐμορφίᾳ θαυμαστοί. Σ.

Σ. 791. Νῦν δ' ἕκαθεν κ. τ. λ.] Ἰςέον δὲ, ὅτι ὁ Γεωγράφος τοπογραφῶν τὸν ἑλληνικὸν ναύσταθμον λέγει, ὅτι τὸ ναύσταθμον πρὸς τῷ Σιγείῳ· ἄλλο ὂν παρὰ τὸν Ἀχαιῶν λιμένα. Ε. Νῦν δὲ ἑκάς. Β.

Σ. 793. Ἐπόρουσε] Ἐπορούειν οὐ μόνον τὸ πολεμικῶς ἐφορμᾷν· ἀλλ' ἔστιν οὗ καὶ προσηνῶς· Ἀθηνᾶ γοῦν Τυδείδῃ ἐπόρουσεν, ἤγουν ἁπλῶς εἰς αὐτὸν ἦλθεν. Ε.

Σ. 794. Ἵπποισι] Ἵπποισιν. Β.

Σ. 800. Ἦ ὀλίγον οἱ παῖδα κ. τ. λ.] Τοιούτῳ λόγῳ ἡ Ἀθηνᾶ τὸν Διομήδην ἀπόμαχον ἑστῶτα εὑροῦσα ὠνείδισεν ὑπειποῦσα, ὡς ἄρα ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς. Εἶτα δεικνῦσα τὸ τοῦ Τυδέως θάρσος, λέγει, ὡς ἐκεῖνος μὲν καὶ ἐπεχόμενος ὑπ' ἐμοῦ πολεμεῖν, ὅμως προκαλούμενος τοὺς Θηβαίους ἠρίστευε· σὺ δὲ καὶ ἐρεθιζόμενος ὑπ' ἐμοὶ φύλακι ὄκνον ἔχεις· ἐξ οὗ συνάγει, μὴ Τυδέως ἐκγεγεννῆσθαι αὐτόν. Ε.

Σ. 803. Ἐκπαιφάσσειν] Ἴδ. Β, 450. — Ἐκπαιφάσσειν, τὸ φανεροῦν ἑαυτὸν, ἀλλ' ἐν ἀγγέλου μᾶλλον εἶναι σχήματι. Σ. Β. (Ἴδ. Ἀπολλόν. σελ. 524.).

Σ. 807. Πάντα δ' ἐνίκα] Τὸ δὲ πάντα ἐνίκα, διχῶς κἀνταῦθα νοεῖται· ἢ γὰρ πάντα τὸν ἀντιστάντα, ἢ πάντα τὰ ἄθλα. Ε.

Σ. 812. Ἀκήριον] Ἀψυχοποιὸν, εἰς ἀψυχίαν ἄγον. Σ.

Σ. 817. Οὔτε τί με δέος κ. τ. λ.] Τυδείδης ἐφ' οἷς ὠνείδισται, φησὶν ἀρξάμενος ἐκ τῶν τοῦ ὀνειδισμοῦ τελευταίων, διὰ συνέχειαν λόγου, ὡς οὔτε δέος ἔχει αὐτὸν, οὔτε ὀκνεῖ, ἀλλὰ μέμνηται ὧν ἔφθη προεντείλασθαι αὐτῷ ἡ Ἀθηνᾶ κωλύουσα θεομαχεῖν· καὶ οὕτω ῥητορικῶς τὸ αἴτιον περιτρέπει τῇ μυθικῇ Ἀθηνᾷ, τὴν αἰτίαν, καθά φασιν οἱ ῥήτορες, εἰς αὐτὴν

НБ ОНУ імені І.І. Мечникова

μεθιστῶν, ὡς κωλύουσαν· καὶ λεληθότως κατασκευάζει, μήτε ἡλαττῶσθαι τοῦ πατρὸς, ἀλλὰ καὶ θεοφιλέστερος ἐκείνου εἶναι, εἰ Τυδεὺς μὲν κωλυόμενος, οὐχ ὑπήκουεν, οὗτος δὲ μέμνηται τῆς μὴ ἐώσης θεοῖς ἀντικρὺ μάχεσθαι καὶ πείθεται αὐτῇ. Ε.

Σ. 823. Ἀλήμεναι] Ἴδ. Φ, 534. 607. — Ἀλήμεναι] Ἀθροισθῆναι, συστραφῆναι. Σ.

Σ. 824. Ἀνὰ κοιρανέοντα] Κοιρανέων δὲ καὶ ἐνταῦθα ὁ ἀρχικῶς διαταττόμενος. Ε. — Ἀνακοιρανέοντα] Διατάσσονται· αἱ προθέσεις ἀντιλαμβανόμεναι ἀλλήλων, τοὺς οἰκείους τόπους τηροῦσι. Σ.

Σ. 827. Ἄρεα τόν δε] Ἄρηα τό γε. Β.

Σ. 831. Τυκτὸν κακόν] Ὡς ὑφ' ἡμῶν αὐτῶν τευχόμενον καὶ μὴ φύσει ἡμῖν ἐγγινόμενον, καθὰ τὸ ἐσθίειν, τὸ πίνειν, τὸ ὑπνοῦν καὶ τὰ ἄλλα· ἡ γὰρ φύσις ἥμερον ἔτευξε ζῶον τὸν ἄνθρωπον, εἰ καὶ αὐτὸς ἑαυτὸν εἰς μάχιμον μετατεύχει, καὶ κακοποιὸς δι' Ἄρεος γίνεται, ἀπειπάμενος τὸν ἀκάκητα Ἑρμῆν. Ε. — Οὐ μόνον, φησὶ, φυσικὸν, ἀλλὰ καὶ ἐπιτήδευτον. Σ. Β. — Ἀλλοπρόσαλλον δὲ, ὡς ἀστατοῦντα, καὶ ἄλλοτε ἄλλῳ χαριζόμενον· — καὶ ἄλλοτε ἄλλῳ φίλον — ὅτι οὐ τῶν αὐτῶν ἀεὶ ἡ νίκη ἐστὶν ἡ κατὰ πόλεμον, ἀλλ' ἄλλοτε ἄλλῳ ἐκ πολέμου προστίθεται γινομένη ἑτεραλκής. Ε.

Σ. 834. Λέλασται] Ἤγουν τῶν Ἀργείων, ἢ ὧν ὑπέσχετο. Ε.

Σ. 836. Πάλιν] Νῦν ἀντὶ τοῦ, εἰς τοὐπίσω. Σ. — Ἐμμαπέως] Τὸ ἐμμαπέως λέξις ἐστὶ ποιητικὴ, δηλοῦσα τὸ σπουδαίως οἱονεὶ ἀμεπέως, ἤγουν ἅμα ἔπει καὶ λόγῳ κατὰ Φιλόξενον, καὶ κατὰ μετάθεσιν ἐμμαπέως· ἵνα λέγῃ, ὅτι κατέβη τοῦ ἅρματος ὁ Σθένελος ἅμα τῷ λαλούσης αἰσθέσθαι τῆς Ἀθηνᾶς. Ε.

Σ. 839. Ἄγε] Ἄγεν. Β. Ὡς δὲ ἴδε βροτολοιγὸς Ἄρης Διομήδεα δῖον.

Σ. 842. Ἐξενάριξεν] Ἐξ ἐνάριζεν. Β.

Σ. 844. Ἐνάριξε] Ἐνάριζε. Β.

Σ. 845. Ἄϊδος κυνέην] Ἥτις μελαντάτη ὑπὸ τοῦ μύθου λέγεται εἶναι ὑπὲρ πᾶν ὃ ἂν εἴπῃ τις μέλαν· διὸ καὶ πᾶς ἀφανὴς ὢν ἐν τῷ δολίως τι πράττειν, καὶ οἷον ὑπὸ ᾅδῃ καὶ τῷ ἐκεῖσε σκότῳ, ᾅδου λέγεται παροιμιωδῶς κυνέην φορεῖν· ἔστι δὲ κατὰ τοὺς παλαιοὺς νέφος τι πυκνότατον ἢ τοῦ



НБ ОНУ імені І.І. Мечникова

ᾍδου κυνέη· δι' οὗ καὶ θεοὶ ἀφανεῖς ἀλλήλοις γίνονται· ὡς εἶναι ταὐτὸν κυνέην Ἄδου δῦναι, καὶ ὑπὸ παχυτάτῳ νέφει γενέσθαι. Ε. (ἴδ. Ἀπολλόδ. Α, 6, 2. σελ. 76).

Σ. 852. Θυμὸν ὀλέσσαι] Θυμὸν ἐλέσθαι. Β.

Σ. 854. Ὦσεν ὑπ' ἐκ δίφροιο] Ὦσεν ὑπὲρ δίφροιο. Β.

Σ. 859. Ἐκ δὲ δόρυ] Ἐν δὲ δόρυ. Β.

Σ. 860. Ἐννεάχιλοι — ἢ δεκάχιλοι] Τὸ δὲ ἐννεάχιλον ἢ δεκάχιλον, διὰ μὲν δίχρόνου γραφόμενον ἔχει τερατείαν ποιητικὴν καὶ μεγαλοπρέπειαν· ἐὰν δὲ διὰ διφθόγγου κατά τινας γράφεται, οὐ μόνον ἀδιανόητόν ἐστιν, ἀλλὰ καὶ πάνυ σμικροπρεπές· τί γὰρ μέγα, ἐὰν ἐννέα χειλέων ἢ δέκα φωνὴν ὁ τοιοῦτος Ἄρης ἀφίησιν, ὅπου γε ὁ θνητὸς Στέντωρ αὐδὴν ἔχει, ὅσον ἄλλοι πεντήκοντα. Ε.

Σ. 864. 65. Οἵη δ' ἐκ νεφέων] Τουτέστιν εἰς νέφος ἔδοξεν ἐσχηματίσθαι ὁ μυθικὸς Ἄρης, φεύγων ἐκ τοῦ πολέμου. — Καύματος ἐξ] Ἤγουν μετὰ καῦμα· ἡ γὰρ ἐξ πρόθεσις ἐνταῦθα εἴληπται ἀντὶ τῆς μετὰ προθέσεως. Ε. — Δυσαέος] Χαλεπῶς πνέοντος, δυσπνόου. Σ.

Σ. 867. Νεφέεσσιν ἰὼν] Δύναται ὅλος συναπτόμενος ὁ στίχος δηλοῦν, ὅτι νέφεσσι κεκαλυμμένος ἀπὸ γῆς ἀνήρχετο. Σ. Β.

Σ. 871. Καί ῥ' ὀλοφυρόμενος] Κυρίως ὀλοφυρμὸς, ὁ μετὰ τίλσεως τριχῶν θρῆνος, παρὰ τὸ τὰς οὔλας, ὅ ἐστι τὰς τρίχας, φύρειν. Σ. Β.

Σ. 874. Ἰότητι] Γνώμῃ, βουλήσει. Σ. — χαριζόμενοι, φησὶν, ἀνθρώποις ἀλλήλους διατίθεμεν κακῶς, οὐχ ὑπ' ἀνθρώπων δὲ πάσχομεν· οὗτοι γὰρ ἀσθενεῖς πρὸς ἡμᾶς εἰσί. Σ. Β.

Σ. 876. Ἀήσυλα ἔργα] Ἢ τὰ βλαπτικὰ, παρὰ τὸ ἆσαι, ἤτοι βλάψαι, πλεονασμῷ τοῦ η, ὡς καὶ ἐν τῷ ὑπέροπλος ὑπερήφανος· ἢ τὰ ἀηδῆ, παρὰ τὸ α στερητικὸν καὶ τὸ ἦσαι, τὸ εὐφραίνειν· ποιητικὴ δὲ ἡ λέξις. Ε. — ἄδικα, ἁμαρτωλὰ — τὰ μὴ πρέποντα ἢ μὴ εὐφραίνοντα. Σ.

Σ. 878. Δεδμήμεσθα] Ὑποτετάγμεθα. Σ.

Σ. 879. Προτιβάλλεαι] Ὅ ἐστιν, οὔτε λόγῳ, οὔτε ἔργῳ λυπεῖς· — μάχιμος λέξις, Ἀρεῖ φίλη· ἀφ' ἧς ἡ κατὰ πόλεμον προσβολή· ἴσον δὲ τῷ ἐπιπλήττεις. Ε. — Ἐπιστρέφεις, σωφρονίζεις, ἐπιπλήσσεις. Σ.

Σ. 880. Ἀνίεις] Ἀφίεις. Σ. — Ἀΐδηλον] Ἐπιβλαβῆ, ἀδηλοποιὸν, ἢ ἀφανῆ γενησομένην. Σ. (ἴδ. Ἀπολλόδ. σελ. 64.).

НБ ОНУ імені І.І. Мечникова

Σ. 882. Μαργαίνειν] Ὅ ἐστι μαίνεσθαι. Ε. — Μαίνεσθαι, ἐνθουσιᾷν, ἀκρατῶς ὁρμᾷν. Σ. — Ἀνέηκεν] Ταὐτόν ἐστι τῷ ἀνέπεισε, διέγειρεν, ἠρέθισε. Ε.

Σ. 883. Κύπριδα κ. τ. λ.] Ῥητορικὸν, τὸ μὴ ἐκ τῶν οἰκείων ἄρχεσθαι κατηγοριῶν, ἀλλ' ἐξ ἑτέρων ὡμολογημένων. Σ. Β.

Σ. 885. Ὑπήνεικαν] Τὸ φυγεῖν παραφράζων φησὶν, ἀλλά μ' ὑπήνεικαν, ἤγουν ὑπήνεγκαν, ὑπεξήγαγον ταχέες πόδες. Ε.

Σ. 886. Νεκάδεσσιν] Λέγει δὲ νεκάδας τὰς τάξεις τῶν νεκρῶν. Ε.

Σ. 887. Ζώς] Ζὼς, ἐκ τοῦ ζωὸς γίνεται, κατὰ συναίρεσιν — ἤγουν ἐὰν ζῶν ἀσθενῶς εἶχον ταῖς ἐκ σιδήρου πληγαῖς. Ε. — Ἀμενηνός] Ἀσθενὴς, οὐκ ἔχων μένος. Σ.

Σ. 889. Μινύριζε] Ἰστέον δὲ, ὅτι μινυρίζειν ἐστὶ τὸ μινυθὸν (ἴσως μινυρὸν) κατὰ Ἀττικοὺς, ἤτοι μικρὸν καὶ ἠρέμα κλαίειν· παλαιὸς δέ τις γράφει οὕτω ῥητῶς· μινυρίζειν τὸ ἠρέμα καὶ λεπτὸν ᾄδειν· οἱ δέ τινες τὸ θρηνεῖν καὶ ἀποδύρεσθαι. Ε.

Σ. 892. Ἀάσχετον] Ἀνυπομόνητον, ὃ οὐχ οἷόν τε ἐπισχεθῆναι. Σ. — Οὐ δύο δὲ στερήσεις ἔχει τὸ ἀάσχετον· ἀλλὰ τὸ μὲν πρῶτον τὰ ἐπιτείνει, τὸ δὲ δεύτερον στερεῖ, ὡς δηλοῦν τὸ ἄγαν ἀκατάσχετον. Ε.

Σ. 893. Σπουδῇ] Ἴδ. Β, 99.

Σ. 894. Ἐννεσίῃσιν] Ἤγουν συμβουλαῖς· — ἀπὸ τοῦ ἐνίημι, τὸ ἐμβάλλω. — Ἐννεσία, ἡ εἰς νοῦν ἐνιεμένη συμβουλή. Ε.

Σ. 895. Ἀλλ' οὐ μάν κ. τ. λ.] Τὴν φύσει πατρικὴν σχέσιν καὶ ἐν μύθοις ὑπεμφαίνων ὁ ποιητὴς πλάττει τὸν πατέρα Δία λέγοντα πρὸς τὸν Ἄρην, ὡς εἰ καὶ φίλερις εἶ ἀεὶ καὶ μάχιμος καὶ ἀλλοπρόσαλλος, ὃ φθάσας Ἄρης, εἶπε κατὰ Ἀθηνᾶς, καὶ διὰ τοῦτο ἀνόμοιος τῷ πατρὶ, ἀλλ' οὐ μάν σ' ἔτι κ. τ. λ.

Σ. 898. Ἐνέρτερος] Κατώτερος. Σ. — Οὐρανιώνων] Τῶν Τιτάνων νῦν. Σ. (ἴδ. Ἀπολλόδ. σελ. 10.) ἦσθας. Β.

Σ. 900. Πάσσων] Τὸ δὲ πάσσων ἐμφαίνει ῥιζικὸν ἰατρὸν εἶναι καὶ τὸν Παιήονα, τρίβοντα βοτάνας καὶ καταπάσσοντα. Ε.

Σ. 902. 903. Ὡς δ' ὅτ' ὀπὸς — συνέπηξεν] Τὸ τάχος τῆς τῶν φαρμάκων, ὡς εἰκὸς τοῦ μυθικοῦ Παιήονος θεραπείας ὁ ποιητὴς τεραστίως ὑποδηλῶν λαμβάνει παραβολὴν ἐκ τυροποιΐας, καὶ λέγει, οὕτω ταχέως αὐτὰ ξηρᾶναι τὸ τοῦ Ἄρεος ἕλκος καὶ συμπῆξαι τὸ αἷμα, ὡς ὅτε ὀπὸς κ. τ. λ. Τουτέστιν, οὕτω τα-



НБ ОНУ імені І.І. Мечникова

χέως ὁ Παιήων τὸν Ἄρην ἰάσατο συμπήξας τὸ ἕλκος, ὥσπερ ὀπὸς γάλακτι ἐμβληθεὶς, καὶ ὡς οἷον ἔμψυχός τις αὐτὸς κατὰ σπουδὴν ἐπειγόμενος· ὀπὸς· κυρίως ὀπὸς καλεῖται ἡ τὸν τυρὸν συμπήττουσα πυετία· ὅθεν καὶ ὀπίας τυρὸς ὁ πεπηγὼς ὑπὸ ὀποῦ· λέγεται μέντοι ὀπὸς καὶ τὸ γαλακτῶδες τῆς συκῆς· ναὶ μὴν καὶ τὸ ὑγρὸν, ὃ τὰ φύλλα πρὸς τοῖς κλάδοις συνέχει. — Ἐπειγόμενος] Ἔχει τι γλυκύτητος ἡ λέξις τοῦ ἐπείγεσθαι, ὡς ἐπὶ ἐμψύχου λεχθεῖσα, εἴτε ἐπὶ τοῦ ὀποῦ νοηθείη, εἴτε ἐπὶ τοῦ γάλακτος· — ὑγρὸν γάλα εἶπε πρὸς διαστολὴν τοῦ τυροῦ, ὅς γάλα ἐστὶ πεπηγὸς ὀπῷ. — Περιτρέφεται] Σημείωσαι δὲ, ὅτι ὁ σοφὸς Ἡρωδιανὸς τὸ, περιστρέφεται κυκόωντι, περιτρέφεται γράφει, πάνυ ὀρθῶς· ἐν γοῦν τοῖς περὶ τροφαλίδος, φησὶ, τροφαλίδα ῥητέον διὰ τοῦ ο, οὐ τρυφαλίδα διὰ τοῦ υ· ἡ γὰρ λέξις εἴρηται παρὰ τὸ τρέφεσθαι, ὅ ἐστι πήγνυσθαι. Ε. — Περιπήγνυται, ὅθεν καὶ ἡ τροφαλίς. Σ. — Κυκόωντι] Κινοῦντι, ταράσσοντι. Σ.

Σ. 905. Λοῦσεν] Τὸν Ἄρην ἰατρικῇ μεθόδῳ μετὰ τὴν τοῦ τραύματος θεραπείαν αὐτὴ λοῦσε· χαρίεντα δὲ εἵματα ἕσσεν, ὅ ἐστιν ἐνέδυσεν· ἀδελφὴ δέ ἐστιν Ἄρεος ἡ Ἥβη· ὡς καὶ Θεόκριτος μυθολογεῖ. Ε. — Ὅτι παρθενικὸν τὸ λούειν· οὐκ οἶδεν ἄρα ὑφ' Ἡρακλέους αὐτὴν γεγαμημένην, ὡς ἐν τοῖς ἠθετημένοις ἐν Ὀδυσσείᾳ. Σ. Β. Λοῦσεν. Β.

Σ. 906. Κύδεϊ γαίων] Ἐν δόξῃ γαυριῶν. Ε.

Σ. 908. Ἀλαλκομενηῒς] Ἴδ. Δ, 8. Ἀλαλκομενηΐς. Β.

# ΣΧΟΛΙΑ

## ΕΙΣ ΤΗΝ

# ΤΟΥ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ.

## ̔ΡΑΨΩΙΔΙΑ, ̔Η ΓΡΑΜΜΑ Ζ.

Σ. 1. Οἰώθη] Ἐμονώθη τῆς τῶν θεῶν συμμαχίας· χωρὶς θεῶν ἐγένετο. Σ. — Ἰστέον δὲ, ὅτι τὴν μάχην θεῶν μονωθῆναι λέγει, Ἄρεος δηλαδὴ καὶ Ἀθηνᾶς, καὶ ὅλως τῶν δαιμονιωδῶν ἐπεισοδίων, ὥστε μόνην αὐτὴν μεῖναι καθ' ἑαυτήν· ποιεῖ δὲ τοῦτο, ἵνα μὴ τῇ συνεχείᾳ τῶν τοιούτων μύθων κατασμικρύνῃ τοὺς ἥρωας, ὡς μὴ ἀριστοπραγοῦντας οἴκοθεν. Ε.

Σ. 2. Ἴθυσε] Τὸ ἰθύειν ἐστὶν ὁρμᾷν, ἀφ' οὗ καὶ ἰθὺς ἡ ὁρμή. Ε. — Ἔνθα καὶ ἔνθα] Ἢ ἐν τῷ διώκειν καὶ φεύγειν, ἢ ἐπὶ τὰ δεξιὰ καὶ ἀριστερά· ἐξηγεῖται δὲ τὸ πολυάϊκος πολέμοιο· ἴθυσε δὲ, τὸ ἰθὺς ὥρμησεν. Σ. Β.

Σ. 3. Ἰθυνομένων χαλκήρεα δοῦρα] Ἤγουν ἀκοντιζόντων κατ' ἀλλήλων. Ε. — Ὅτι ἀντὶ τοῦ ἐπ' ἀλλήλους ἰθυνόντων, καὶ παρεῖται ἡ ἐπὶ πρόθεσις· ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ διὰ, ἵν' ᾖ, διὰ πεδίου. Σ. Β.

Σ. 4. Σιμόεντος] Ὅρα δὲ καὶ ὅτι μεταξὺ Σιμόεντος καὶ Ξάνθου τὰ τῆς μάχης διάκεινται ἐν τῷ λειμῶνι, ὃν φθάσας πεδίον εἶπε Σκαμάνδριον, ἀπὸ τοῦ ἑνὸς τῶν δύο ποταμῶν, ἤγουν Ξάνθου τοῦ καὶ Σκαμάνδρου. Ἐνταῦθα δὲ μνηστέον καὶ τοῦ γεωγράφου, εἰπόντος, ὅτι ἰδίως Τρωϊκὸν πεδίον τὸ Σιμοείσιον, καὶ τὸ Σκαμάνδριον, ἔνθα οἱ πλεῖστοι ἀγῶνες. (Στράβ. ΙΓ, σελ. 411).

НБ ОНУ імені І.І.Мечникова

Σ. 5. 6. Αἴας δὲ κ. τ. λ.] Ὅρα δὲ καὶ ὡς τῆς μάχης μονωθείσης εὐδοκιμεῖ ὁ Τελαμώνιος, οἷα τῶν μὲν ἄλλων, παρουσίᾳ θεοῦ ἀνδριζομένων, τοῦ δὲ Αἴαντος, καθ' ἑαυτόν. Ε.— Φῶς τὴν νίκην φησί. Ε. — φόως] Χαρὰν, σωτηρίαν. Σ.

Σ. 9. Κόρυθος φάλος] Τὸ τῆς περικεφαλαίας λαμπρὸν, τὸ προμετωπίδιον. Σ. Β.

Σ. 11. Τὸν δὲ] Τόν γε. Β.

Σ. 13. Ἀρίσβῃ] Ἀρίσβη ἦν μὲν καὶ ἐν Λέσβῳ, πόλις ὁμώνυμος Ἀρίσβῃ, τῇ Μάκαρος θυγατρί· ἐνταῦθα δὲ πόλιν τινὰ Τρῳάδα δηλοῖ, ἄποικον, ὡς λόγος, Μιτυληναίων, κειμένην μεταξὺ Περκώτης καὶ Ἀβύδου, ὁμώνυμον Ἀρίσβῃ τῇ τοῦ Κρητὸς Τεύκρου Ε. (ἴδ. Β, 836.) —Ἰστέον δὲ, ὅτι τὸ Τευθρανίδης ἔλλειψιν ἔχει τοῦ τ, δηλοῖ γὰρ τὸν υἱὸν τοῦ Τεύθραντος. Ε.

Σ. 15. Φιλέεσκεν] Ἐξένιζεν. Σ. —Ὁδῷ ἔπι κ. τ. λ.] Τὸ δὲ ὁδῷ ἔπι οἰκία ναίων, ἀντὶ τοῦ ἐν τῇ λεωφόρῳ νικῶν, ὅς δὴ τόπος πρόσφορος ξενοδόχῳ. Ε.

Σ. 16. Ἤρκεσε] Τοῦτο δὲ οὐκ ἐπὶ ὀνείδει ὁ ποιητὴς λέγει καὶ φαυλισμῷ τῆς φιλανθρώπου φιλοξενίας, ἀλλὰ τὴν τοῦ μοιριδίου ἀνάγκην ὑποδηλοῖ. Ε.

Σ. 19. Ὑφηνίοχος] Πλεονάζει ἡ ὑπὸ, ὡς τὸ ὑποδμώς· ἢ ὅτι καὶ ὁ παραβάτης ἡνίοχος λέγεται, ὡς τὸ, θρασὺν ἡνίοχον φέροντες Ἕκτορα (Θ, 89.) Σ. Β. — ἀντὶ τοῦ ἡνίοχος. Σ. ὑφ' ἡνίοχος. Β.

Σ. 21. Πήδασον] Ὅτι ἡ μὲν πρὸς Καρίᾳ καὶ Ἁλικαρνασῷ Πήδασος ἀπὸ Πηγάσου τοῦ ἵππου, ὥς φασι, καλεῖται· ὑπέσχοντο γὰρ οἱ ἐκεῖ κατὰ τὴν ἱστορίαν τῷ Βελλεροφόντῃ χώραν δώσειν, ἣν ἵππος νυχθημέρῳ περιτροχάσει, διὸ καὶ χάραγμα ἵππου ἔχουσιν οἱ ἐκεῖ. Ἔστι δὲ καὶ ἄλλη Πήδασος Τρωϊκὴ ὀχυρωτάτη, ἡ πάλαι Μονηνία, ἧς ἐνταῦθα κατὰ τοὺς ἀκριβεστέρους μεμνῆσθαι δοκεῖ ὁ ποιητής. Ε. (ἴδ. Φ, 87.)

Σ. 24. Σκότιον] Ὅπερ ὁ Ἀπίων ἐξ ἀδᾳδουχήτων γάμων φησί. Ε.

Σ. 26. Ὑποκυσσαμένη] Τουτέστιν ὑπ' αὐτοῦ ἔγκυος γενομένη. Ε.

Σ. 35. Πήδασον αἰπεινὴν] Ἀχιλλεὺς ὑπὸ τὸν Τρωϊκὸν πόλεμον πορθῶν τὰς περιοίκους τῆς Ἰλίου πόλεις, ἀφίκετο εἰς τὴν πάλαι μὲν Μονηνίαν, νῦν δὲ Πήδασον καλουμένην, βου-

НБ ОНУ імені І.І. Мечникова

λόμενος ἐμοῦ ταῖς ἄλλαις καὶ ταύτην ἑλεῖν. Ἀπογνόντος δὲ αὐτοῦ τὴν εἰς τέλος πολιορκίαν, διὰ τὴν ὀχυρότητα τοῦ τόπου, καὶ μέλλοντος ἤδη ἀναχωρεῖν, φασὶν εἴσω τῶν τειχῶν οὖσαν παρθένον ἐρασθῆναι τοῦ Ἀχιλλέως· καὶ λαβοῦσαν μῆλον ἐπιγράψαι καὶ αὐτὸ ῥίψαι εἰς μέσον τῶν Ἀχαιῶν. Ἦν δὲ ἐν αὐτῷ γεγραμμένα· μὴ σπεῦδ' Ἀχιλλεῦ, πρὶν Μοννηνίαν ἕλῃς· ὕδωρ γὰρ οὐκ ἔνεστι, διψῶσι κακῶς. Τὸν δὲ Ἀχιλλέα ἐπιμείναντα, οὕτω λαβεῖν τὴν πόλιν, τῇ τοῦ ὕδατος σπάνει· ἡ ἱστορία παρὰ Δημητρίῳ καὶ Ἡσιόδῳ. Σ.

Σ. 38. Ἀτυζομένω πεδίοιο] Ἤγουν σκιρτῶντες καὶ ἄττοντες κατὰ πεδιάδος, ἢ ἀτώμενοι, ὡς μετ' ὀλίγα φανεῖται. Ε.— Ἀτυζομένῳ] Ταρασσόμενοι, καταπλησσόμενοι καὶ φοβούμενοι. Σ. (Ἰδ. στ. 468.).

Σ. 39. Ὄζῳ ἔνι βλαφθέντε] Ὑπὸ τοῦ ὄζου ἐπισχεθέντες, ὑπὸ τοῦ κλάδου ἐμποδισθέντες. Σ.

Σ. 40. Ἐν πρώτῳ ῥυμῷ] Ἀντὶ τοῦ ἐν ἄκρῳ. Ε.

Σ. 44. Δολιχόσκιον ἔγχος] Ὅτι δολιχόσκιον ἔγχος· τὸ εἰς δολιχὸν διάστημα καὶ μακρὸν κίειν δυνάμενον· ἢ οὗ σκιὰ δολιχή, ἵνα ἐκ τοῦ παρακολουθοῦντος δηλοῖ τὸ μακρόν. Ε.

Σ. 45. Ἐλλίσσετο] Ἐλίσσετο. Β.

Σ. 46. Ζώγρει] Ζωγρεῖν καὶ ἐνταῦθα, τὸ ζῶντα ἀγρεύειν τινά·—καὶ τὰ ὑπὲρ αὐτοῦ λύτρα ζωάγρια λέγονται· καὶ τὸ τῶν ἰχθύων δὲ ζωγρεῖον ἐντεῦθεν εἴληφε τὴν ἀρχήν. Ε.

Σ. 47. Κειμήλια κεῖται] Τὸ δὲ κειμήλια κεῖται, ἀττικόν ἐστιν· δῆλον δὲ ὡς ἐκ τοῦ κεῖσθαι παρῆκται τὸ κειμήλιον. Ε.

Σ. 48. Πολύκμητός τε σίδηρος] Σίδηρος δὲ πολύκμητος, ἢ ὁ ἤδη κατειργασμένος, καὶ ἐφ' ᾧ οἱ τεχνῖται πολλὰ ἔκαμον, ἢ ἀνάπαλιν ὁ ἀκατέργαστος, καὶ εἰς ὃν πολλὰ ἂν κάμωσιν οἱ εἰδοποιοῦντες αὐτόν. Ε.

Σ. 49. Χαρίσαιτο] Μετὰ χαρᾶς δοίη· ἢ τὴν πρᾶσιν ἑτέρῳ ὀνόματι περιεκάλυψε. Σ. Β.

Σ. 50. Αἴκεν] Εἴκεν. Β.

Σ. 51. Τῷ δ' ἄρα θυμόν] Ὅτι τὸν Μενέλαον καὶ ἐν ἄλλοις μὲν ἀκούομεν μαλθακὸν εἶναι πολεμιστήν, ὧδε δὲ καὶ ἁπαλὸν αὐτὸν τὰ εἰς ἦθος εὑρίσκομεν, ὃς τοῦ Τρωὸς Ἀδρήστου ζωγρηθέντος καὶ ἀγεννῶς οὕτω λιταζομένου αὐτόν, ὅπερ μηδεὶς τῶν Ἑλλήνων ἐποίησε, καὶ δῶρα δὲ πολλὰ ὑπισχνουμένου,

НБ ОНУ імені І.І.Мечникова

κάμπτεται πρὸς ἔλεον καὶ ἐθέλει περιποιήσασθαι τὸν ἱκέτην. Κ. στήθεσσιν ἔπειθεν. Β.

Σ. 55. Ὦ πέπον] Δεῖ δὲ καὶ νῦν εἰδέναι, ὅτι ὁ πέπων, ποτὲ μὲν ἐπὶ φιλίας λαμβάνεται, ποτὲ δὲ ἐπὶ τοῦ χαύνου καὶ ἁπαλοῦ· ἀμφότερα δὲ εἴληπται ἀπὸ τοῦ πέπονος καρποῦ· πᾶς γὰρ πέπων ὑγρὸς καρπὸς, φίλος μέν ἐςι διὰ τὸ ὡραῖον, ἔκλυτος δὲ διὰ τὸ ἤδη πεπανθῆναι, καὶ μὴ πολὺ πνευματῶδες καὶ φυσῶδες ἔχειν, ὅπερ εἶχεν ἐν καιρῷ ὠμότητος. Καὶ τὸ ὠμὸν δὲ ὁμοίως ἐπαμφοτερίζει. Καθότι μὲν γὰρ ἄβρωτον οὐκ ἐν ἐπαίνῳ κεῖται οὔτε αὐτὸ, οὔτε τὰ ἀπ' αὐτοῦ λεγόμενα, οἷον ὁ ὠμηστὴς καὶ ἡ ὠμότης, καὶ τὰ τοιαῦτα· καθὸ δὲ ςεῤῥὸν καὶ οὐκ ἔκλυτον ἔχει τι μικρὸν ἐπαίνου. Αἴας γοῦν ὁ παρὰ Σοφοκλεῖ ςερεόφρων, (στ. 938.) ὠμοὺς νόμους (ἴδ. 548.) τοὺς ἑαυτοῦ τρόπους καλεῖ, ὡς ἀνενδότους καὶ ςερεούς· ὅλως οὖν διὰ τοῦτο ἐναντία εἰσὶν ἀεὶ τό, τε πέπον, καὶ τὸ ὠμόν. Ε.

Σ. 56. Σοὶ ἄριστα πεποίηται] Βαρέως δὲ εἰρωνευσάμενος τὸ, ἦτοι, ἤγουν, ὄντως σοὶ ἄριςα πεποίηται κατὰ οἶκον πρὸς Τρώων, ἤγουν, ἀνάπαλιν, χείριστα πεποίηται. Ε.

Σ. 58. Γαςέρι] Τὸ δὲ γαςέρι ἐνταῦθα νοητέον ἀντὶ τοῦ κόλπῳ· τὸ γὰρ ἔνδον ὑπὸ τῇ γαστρὶ νοῆσαι, οὐ μόνον θηριῶδες διὰ τὸ ἀπάνθρωπον τοῦ τοιούτου φόνου, ἀλλὰ καὶ γελοῖον σὺν τῷ ὑπερβολικῷ· τί γὰρ ἔδει, τῆς μητρὸς ἀναιρεθείσης, ἐπιβουλεύειν ἰδίᾳ ἐμβρύῳ τῷ κατὰ γαςρός; δῆλον δὲ τοῦτο ἐκ τοῦ ποιητοῦ· οὐ γὰρ εἶπεν, ὅν τινα ἡ μήτηρ ἔμβρυον φέρει, ἀλλὰ κοῦρον· ὁ δὲ κοῦρος οὐκ ἔμβρυον· ἔχει δὲ τὸ εὔλογον ἡ τοιαύτη ἔννοια καὶ ἀπὸ τοῦ Πριάμου. Προμηθεῖται γὰρ νῦν ὁ τῶν Ἀχαιῶν βασιλεὺς, μήποτε κοῦρός τις ἐλεηθεὶς, ὡς πάλαι ὁ κοῦρος Ποδάρκης, εἴτουν Πρίαμος, (ἴδ. Ἀπολλόδ. Β, 6, 4.) οἰκίσῃ τὴν Τροίαν ἐπὶ κακῷ τῶν ἐπιγόνων Ἑλλήνων. Ἰςέον δὲ, ὅτι τὸ βασιλικὸν τοῦτο παράγγελμα δέδωκε τοῖς ὕστερον ἀφορμὴν τοῦ ἱστορῆσαι καὶ τὸν τοῦ Ἕκτορος κοῦρον τὸν Ἀςυάνακτα ἐν τῇ τῆς Τροίας ἁλώσει, βρέφος ὄντα, ἀναιρεθῆναι. Ε.

Σ. 61. Ἔτρεψεν] Ἀντὶ τοῦ μετέπεισεν, ὅθεν καὶ ςρεπτὸν ζῶον ὁ ἄνθρωπος· — καὶ ὁ τοῦτο πάσχων, ςρεπτὸς, κατὰ τὸ, ςρεπτοὶ καὶ θεοὶ αὐτοὶ, (Ι, 492.) καὶ, ςρεπταὶ δέ τοι φρένες ἐσθλῶν (Ο, 203.) Ε. παρέπεισεν ἀδελφειοῦ. Β.

Σ. 62. Αἴσιμα παρειπών] Τὰ πρέποντα τοῖς ἀδικουμένοις· ἐμαρτύρησε δὲ αὐτῷ ὡς καλῶς διαθεμένῳ τοὺς λόγους· ὁ δὲ

НБ ОНУ імені І.І.Мечникова

Μενέλαος, ὡς ἱκέτην, οὐ φονεύει· μέτριον οὖν καὶ ἀόργητον τὸ τούτου ἦθος χαρακτηρίζει· ὁ πρότερον γὰρ ἀδικηθεὶς, νῦν δὲ τρωθεὶς ἐπὶ σπονδαῖς, φείδεται τοῦ πολεμίου. Σ. Β.

Σ. 64. Κατὰ λαπάρην] Ἴδ. Γ, 359. — Ἀνετράπετ'] Ἀνετράπετο· ὅτι τὸ ὕπτιον πεσεῖν ἀνατραπῆναι λέγει. Ε.

Σ. 65. Λάξ] Τῷ πλάτει τοῦ ποδός. Σ.

Σ. 68. Ἐπιβαλλόμενος] Τὸ ἐπιβάλλεσθαι ἀντὶ τοῦ ἐφίεσθαι καὶ ἐπιθυμεῖν· διὸ καὶ γενικῇ συντάττεται. Ε.

Σ. 70. Κτείνωμεν] Ὅρα δὲ ὅπως θαυμασίως ὁ γέρων τοῦ μὲν καμάτου συνεφάπτεσθαι καὶ αὐτὸς θέλει, ὡς δηλοῖ τὸ Κτείνωμεν, ῥῆμα πρώτου προσώπου πληθυντικοῦ· τὸ δὲ κέρδος ἴδιον ποιεῖται τῶν στρατιωτῶν, οὐ γὰρ συλήσομέν φησιν, ἀλλὰ συλήσετε. Ε. — Ἔκηλοι συλήσετε] Μονονουχὶ λέγων, ὅτι κρεῖττον ἐν ἡσυχίᾳ συλᾷν, ἢ ἄλλως φέρειν πολλά. Ε.

Σ. 71. Τεθνειῶτας] Τεθνηῶτας. Β.

Σ. 74. Εἰσανέβησαν] Εἰς ἀνέβησαν. Β.

Σ. 76. Ἕλενος] Περὶ Ἑλένου ἱστορία τοιαύτη φέρεται παρὰ Ἀῤῥιανῷ. Ἠδωνοῦ Θρᾳκὸς ἀνδρὸς παῖς Ἕλενος, μάντεων διαπρεπέστατος· παρὰ τοῦτον ἐξ Ἀσίας φοιτῆσαι τὸν Πριάμου παῖδα, Σκαμάνδριον, ὃν ἀπονοστήσαντα οἴκαδε, μνήμην θέσθαι τοῦ τὴν μαντικὴν ἐκπαιδεύσαντος, Ἕλενον ἀπὸ Σκαμανδρίου μετονομασθέντα. Ε.

Σ. 78. Ἐγκέκλιται] Ὁμήρου εἰπόντος ἐγκεκλίσθαι τῷ Ἕκτορι τὸν ὑπὲρ πάντων πόνον, ἐντεῦθεν ἔλαβεν ἀφορμὴν ὁ εἰπὼν αὐτὸν ἀστραβῆ κίονα Τροίας. — Καί ἐστιν ἐγκεκλίσθαι οὐ τὸ ἁπλῶς ἐγκεῖσθαι, ἀλλὰ τὸ ἐπικεῖσθαι. Ε. — Ἐπίκειται, ἐπήρεισται· ἐν τῇ ὑμετέρᾳ φροντίδι περικέκλεισται ἡ σωτηρία τῶν πραγμάτων. Σ.

Σ. 81. Πάντη] Πάντῃ. Β. — Ἐν χερσὶ γυναικῶν] Τρόπον τινὰ ὀνειδίζει τοῖς στρατιώταις ὁ Ἕλενος, τὸ εἰς τὴν ἄχρηστον ἡλικίαν καταφεύγειν, ἣν ἔδει μᾶλλον ὑπ' αὐτῶν ἐκδικεῖσθαι. Γυναικῶν δὲ εἶπεν, οὐ μὴν γερόντων, ἢ παίδων, ἵνα πλέον εἴη τὸ ἐντρεπτικὸν, ἐὰν εἰς γυναικῶν πεσοῦνται χεῖρας. Ε. — Καλῶς οὐκ εἶπε πύλησιν, ἢ οἴκοισιν· τοῦτο γὰρ εὐσχημονέστερον, ἀλλὰ χερσὶ γυναικῶν· τοῦτο δὲ ἀσχημονέστερον, καὶ ἀτιμώτερον. Σ. Β.

Σ. 87. Γεραιάς] Ἐντίμους γυναῖκας. Σ.

Σ. 88. Ἐν πόλει ἄκρῃ] Δῆλον δὲ, ὅτι αἱ ἀκροπόλεις τῇ Ἀθηνᾷ ὡσεπιπολὺ ἀνέκειντο. Ε.

Σ. 92. Θεῖναι Ἀθηναίης] Φασὶ δὲ τὸ ἐν Τροίᾳ Παλλάδιον, διοπετὲς μὲν εἶναι, ἤγουν ἐξ ἀέρος ἄνωθεν οὐρανόθεν πεσὸν, ἀνδρὸς δὲ δορὰν ἠμφιέσθαι, στέμμα τε ἔχειν καὶ ἠλακάτην, ἐν δὲ τῇ κεφαλῇ πῖλον (πόλιν Σ. Β.), καὶ δόρυ ἐν τῇ δεξιᾷ: Ἐνταῦθα δὲ τὸ ἀναθεῖναι, ἀφ' οὗ γίνεται τὸ ἀνάθημα, θεῖναι λέγει χωρὶς προθέσεως· θεῖναι γάρ φησιν Ἀθηνᾶς ἐπὶ γούνασιν, ὡς καθημένου δηλαδὴ τοῦ Παλλαδίου, ἢ θεῖναι παρὰ γόνασιν, εἴπερ ἵσταται. — Ὁ δὲ γεωγράφος ὅπου λέγει τὴν μὲν παλαιὰν Ἴλιον ἠφανίσθαι, τὴν δὲ νῦν βλεπομένην νεωτέραν εἶναι, μὴ ἀποδεχόμενος τοὺς νοοῦντας τὸ ἐπὶ γούνασιν ἀντὶ τοῦ παρὰ τοῖς γούνασι, φησὶν, ὅτι τὸ τῆς Ἀθηνᾶς ξόανον νῦν μὲν ἑστηκὸς ὁρᾶται, Ὅμηρος δὲ καθήμενον ἐμφαίνει ἐν τῷ, πέπλον θεῖναι Ἀθηναίης ἐπὶ γούνασιν· — βέλτιον γὰρ οὕτως, ἢ παρὰ τοῖς γόνασιν· (Στραβ. ΙΓ, σελ. 413. Α, 44.) — κάθηνται δὲ Ἀθηνᾶς ξόανα καὶ ἐν Φωκαίᾳ καὶ Μασσαλίᾳ καὶ Ῥώμῃ καὶ Χίῳ. Ε.

Σ. 94. Ἤνις] Ὅτι βοῦς ἤνις, ἠκέστας Ἕλενος θύσειν τῇ Ἀθηνᾷ βούλεται, ἤγουν ἐνιαυσιαίους ἀκεντήτους· — γίνεται δὲ ἡ ἦνις μὲν ἀπὸ τοῦ ἔνου, ὅ ἐστιν ἐνιαυτοῦ, ἧς ἡ γενικὴ ἤνιδος, καὶ Ἰωνικῶς ἤνιος· — Ἠκέστας] Ἠκέστους, ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ κένσαι, ὃ δηλοῖ τὸ κεντῆσαι, ἀφ' οὗ καὶ ὁ κεστὸς γίνεται, καὶ ὁ πολύκεστος ἱμάς. Ε. — Ἠκέστας, ἀκεντήτους, ἀδαμάστους. Σ.

Σ. 99. Ἀχιλῆά περ θ' κ. τ. λ.] Ἰστέον δὲ, ὅτι οὐκ ἀληθῶς οἱ Τρῶες ὑπερτιθέασι τοῦ Ἀχιλλέως τὸν Διομήδην, ἀλλὰ τοὺς δυσπραγοῦντας εἴωθε τὰ ὑπόγυα κακὰ μᾶλλον λυπεῖν. Ε.

Σ. 100. Θεᾶς ἐξέμμεναι] Ἤγουν ἐκ θεᾶς μητρὸς εἶναι, τοῦ νοήματός ἐστιν ἐπίτασις· οὐ γὰρ οὕτω φησὶ γαῦρος ὁ ἐκ θεᾶς Ἀχιλλεὺς, ὡς Διομήδης ὁ θνητογενής. Β.

Σ. 104. Πάντη] Πάντῃ. Β.

Σ. 111. Τηλέκλητοι] Τηλέκλειτοι. Β.

Σ. 113. Βείω] Βῶ, κατὰ διαίρεσιν βέω, καὶ κατὰ πλεονασμὸν τοῦ ι βείω, ὅ ἐστι πορευθῶ. Σ.

Σ. 117. 118. Ἀμφὶ δέ μιν σφυρά] Ὅτι ἣν ἐν ἄλλοις φησὶν Ὅμηρος ἀμφιβρότην ἀσπίδα καὶ ποδηνεκῆ, ταὐτὸν δὲ εἰπεῖν ἀνδρομήκη, ταύτην ἑρμηνεύων ἐνταῦθά φησιν· ἀμφὶ δέ μιν σφυρὰ τύπτε καὶ αὐχένα, ἤγουν ἐκ τοῦ αὐχένος καθῆκεν ἕως ἄκρων ποδῶν· λέγει δὲ καὶ ἄντυγα εἶναι τῇ τοῦ Ἕκτορος ἀσπίδι, δέρμα, οὐ πρὸς ἀσφάλειάν τινα, πρὸς τερατείαν δὲ

НБ ОНУ імені І.І. Мечникова

μέλλον καὶ ἀγλαΐαν καὶ καινοπρέπειαν ὁπλισμοῦ· — πυμάτη δὲ ἄντυξ, τὸ δέρμα, πρὸς διαστολὴν τῶν λοιπῶν κύκλων, εἰς οὓς ἀναλυόμενον δύναται τὸ τῆς ἀσπίδος ἐπίπεδον τέμνεσθαι· — τὸ δὲ πυμάτη θέεν, ἀντὶ τοῦ περιέθεεν. Ε. — Ἄντυξ] Νῦν ἡ περιφέρεια τῆς ἀσπίδος. Σ. — Ἀσπίδος ὀμφαλοέσσης] Ὀμφαλόεσσα δὲ καὶ νῦν ἀσπὶς, ἡ ἔχουσα μέσον αὐτῆς ὀμφαλὸν, ὅς ἐςι κάλλος ὑπερανεςηκὸς ἐπίθετον συγκεκροτημένον ἔκ τινος ὕλης ςερεᾶς· ἐν ἀσπίσι μὲν, χαλκῆς, ἢ ἀργυρᾶς, ἢ καὶ χρυσῆς· ἐν ἄλλοις δὲ καὶ ἀπό τινος ἑτεροίας· ἐν βιβλίοις γοῦν καὶ ἐξ ἐλέφαντος ἀπέχρησεν ὕλη πρὸς κόσμον ὀμφαλόεντα. Ε.

Σ. 119. Γλαῦκος κ. τ. κ.] Ὅτι τὸν ἄγριον αἰχμητὴν Ἕκτορα τῆς μάχης ἀποςήσας ὁ ποιητὴς, καὶ οὕτω μονάσας καὶ θείου τούτου προσώπου τὴν φύλοπιν, ἀνίησι τὸ τοῦ πολέμου ἀκμαῖον, καὶ ἀναπαύει τὸν ἀκροατὴν, μεταπεσὼν ἐκ τῶν ἐναγωνίων εἰς γλυκύτητα ἱςορικῆς ὑπτιάσεως· καὶ τὸν Λύκιον Γλαῦκον εὑρὼν λαβὴν λόγου, καὶ αὐτὸν ἐπεισοδιάσας, πολλὰ δι᾽ αὐτοῦ θαυμάσια τῇ ποιήσει παρεμβάλλει, δι᾽ ὧν τό, τε μονοειδὲς τῆς γραφῆς ἐξαιρεῖ τῆς ποιήσεως, καὶ πολυμαθῆ ποιεῖ τὸν ἀκροατήν. Ε.

Σ. 120. Ἀμφοτέρων] Ἀμφοτέρω. Β.

Σ. 127. Δυστήνων δέ τε παῖδες] Δυστήνων παῖδες λέγει υἱοὺς πατέρων δυςυχῶν, οἳ ταχὺ ἄπαιδες γίνονται· — καὶ ἔςιν ἰδοὺ τὸ ἀντιᾶν λαμβανόμενον καὶ ἐπὶ τοῦ συναντᾶν· δῆλον δὲ, ὅτι λέγεται καὶ ἐπὶ τοῦ ἀπολαύειν, ὡς τὸ, ἀντιόων ἑκατόμβης (Ὀδυσσ. Α, 25.) καὶ ἐπὶ τοῦ ἐπιμελείας ἀξιοῦν, ὡς τὸ, ἐμὸν λέχος ἀντιόωσαν (Α, 31.). Ε.

Σ. 130. Λυκόοργος] Σκοπητέον δὲ, ὅτι τὸ Λυκόοργος ἐντελές ἐςι τοῦ Λυκοῦργος, οὐ μὴν τὸ Λυκόεργος· λύκου γὰρ ὀργὴν μὲν ἔςιν εἰπεῖν, ἔργον δὲ οὔ· ἐπὶ γὰρ ἀνθρώπων μόνων κυριολεκτεῖται τὸ ἔργον. Ε. — Διόνυσος ὁ Διὸς καὶ Σεμέλης παῖς ἐν Κυβέλοις τῆς Φρυγίας ὑπὸ τῆς Ῥέας τυχὼν καθαρμῶν, καὶ διαθεὶς τὰς τελετὰς, καὶ λαβὼν πᾶσαν παρὰ τῆς θεᾶς τὴν διασκευὴν, ἀνὰ πᾶσαν ἐφέρετο τὴν γῆν· χορεύων (χορεύων) καὶ τιμῶν τυγχάνων προηγεῖτο πάντων ἀνθρώπων (προηγουμένων τῶν ἀνθρώπων)· παραγενόμενον δὲ αὐτὸν εἰς τὴν Θρᾴκην, Λυκοῦργος ὁ Δρύαντος, λυπήσας, Ἥρας μίσει, μύωπι ἀπελαύνει αὐτὸν τῆς γῆς, καὶ καθάπτει αὐτῶν τῶν τούτου τιθηνῶν, (καθάπτεται αὐτοῦ καὶ τῶν τούτου τιθηνῶν)· ἐτύγχανον γὰρ αὐτῷ συνοργιάζου-

σαι· θεηλάτῳ δὲ ἐλαυνόμενος μάστιγι, τὸν θεὸν ἔσπευδε τιμωρήσασθαι· ὁ δὲ ὑπὸ δέους εἰς τὴν θάλασσαν καταδύνει, καὶ ὑπὸ Θέτιδος ὑπολαμβάνεται καὶ Εὐρυνόμης. Ὁ οὖν Λυκοῦργος οὐκ ἀμισθὶ δυσσεβήσας, ἔδωκε τὴν ἐξ ἀνθρώπων δίκην· ἀφῃρέθη γὰρ πρὸς τοῦ Διὸς τὸν ὀφθαλμόν· τῆς ἱστορίας πολλοὶ ἐμνήσθησαν· προηγουμένως δὲ ὁ τὴν Εὐρωπίαν πεποιηκὼς Εὔμηλος. Σ. Β.

Σ. 131. Δὴν ἦν] Ἀντὶ τοῦ ἐπὶ πολὺ ἔζη. Ε.

Σ. 132. Μαινομένοιο] Μανιοποιοῦ· διὰ τὴν μέθην· ὡς τὸ χλωρὸν δέος, τὸ χλωροποιόν. Σ. — Ἢ αὐτοῦ μαινομένου, ἐνθουσιαστοῦ, ἢ βακχευτοῦ. Σ. Β. — Διωνύσοιο] Τὸ δὲ Διόνυσος ἐνταῦθα πολλοὶ τῶν ἀντιγράφων διὰ μεγάλου τοῦ ω γράφουσιν, οὐ δι' ἀνάγκην μέτρου κατά τινας· δύναται γὰρ καὶ μικρὸν ὂν διὰ τῆς ὀξείας ἐκτείνεσθαι, ἀλλὰ κατά τινα διάλεκτον. Ε.

Σ. 133. Νυσσήϊον] Τὴν λεγομένην Νύσαν· ὄρος δὲ λέγει τῆς Θρᾴκης νῦν· ἐν ἄλλοις Νυσσήϊον, ἡ Διονύσου διατριβή. Ἡ δὲ Νύσα ἐν μέν τισι χώραις ὄρος, ὡς ἐν Βοιωτίᾳ καὶ Θρᾴκῃ, καὶ Ἀραβίᾳ καὶ Ἰνδικῇ, καὶ Λιβύῃ, καὶ Νάξῳ· ὅπου δὲ πόλις, ὡς ἐν Καρίᾳ, καὶ ἐν τῷ Καυκασίῳ ὄρει· ὅπου δὲ νῆσος, ὡς ἐν Νείλῳ τῷ ποταμῷ. Σ. — Ἠγάθεον] Ἠγάθεον δὲ τὸ ῥηθὲν ὄρος ὁ ποιητὴς λέγει, διὰ τὰς, ὡς εἰκὸς, ἐν αὐτῷ τελουμένας τῷ Διονύσῳ θυσίας. Ε.

Σ. 134. Θύσθλα] Οἱ μὲν τοὺς κλάδους, οἱ δὲ τοὺς θύρσους, τοῦτ' ἔστι βακχικὰς δράκας, ὅ ἐστι Διονυσιακὰ μυστήρια, ἔνιοι δὲ πάντα κοινῶς τὰ πρὸς τὴν τελετήν. Σ. — Κατέχευαν Ἤγουν ῥᾶον καὶ ταχὺ κατέῤῥιψαν. Ε.

Σ. 135. Βουπλῆγι] Βουπλὴξ δὲ, βούκεντρον, ἢ πέλεκυς βοὸς ἀναιρετικὸς, ἢ μάστιξ, γινομένη ἀπὸ τμήματος βύρσης. Ε.

Σ. 138. Ὀδύσαντο] Ὠργίσθησαν, ἐχολώθησαν. Σ.

Σ. 142. Οἳ ἀρούρης καρπὸν ἔδουσι] Τὸ δὲ, οἳ ἀρούρης καρπὸν ἔδουσι, πρὸς διαστολὴν εἶπε τῶν ἀπολελυμένων σώματος ἡρώων, οἳ κἂν βροτοὶ λέγοιντο, ἀλλ' οὐ καρποφαγοῦσι. Τὸ δὲ ἀρούρης καρπὸν ἔδειν, περίφρασίς ἐστι τοῦ, σῖτον ἔδειν· — ἡ δὲ τοιαύτη ἄρουρα, ἧς ἔδουσί τινες τὸν καρπὸν, ὀρθῶς ἂν καὶ ζείδωρος λέγοιτο· δοκεῖ δὲ τὸ καρπὸν ἀρούρης ἔδειν διαστέλλειν τε τὸν τοιοῦτον καρπὸν τοῦ ἐξ ἀγρίας γῆς, ὃς θηρία διοικεῖ, καὶ σεμνολογεῖν τὸν γεωργικὸν ἄνθρωπον κατά τι ἐξαίρετον, ὡς διενηνοχότα τῶν μὴ ἀροῦν θελόντων, ἀλλὰ ζῆν ἀγρίως. Ε.

НБ ОНУ імені І.І.Мечникова

Σ. 146. Φύλλων γενεή] Φύλλων δὲ γενεὴ περιφραστικῶς νοεῖται, ἀντὶ τοῦ φύλλα πληθυντικῶς. Ε.

Σ. 149. Ἡ μὲν φύει κ. τ. λ.] Ἡ μὲν φύει, ἡ δ᾽ ἀπολήγει. Ε. Τουτέστι καὶ φύει καὶ ἀπολήγει· ἢ καὶ ἄλλως, αὕτη μὲν φύει, ἐκείνη δὲ ἀπολήγει. Ε.

Σ. 150. Εἰ δ᾽ ἐθέλεις] Ὑποστικτέον εἰς τὸ ἐθέλεις, ἵνα ᾖ τὸ δαήμεναι ἀντὶ προστακτικοῦ τὸ δάηθι. Σ. Β.

Σ. 152. Ἐφύρῃ] Οὕτω τὸ πρότερον ἐκαλεῖτο ἡ Κόρινθος· ἔστι δὲ καὶ Θεσπρωταίας Ἔφυρα (Β, 659). Ε. — Μυχῷ] Τουτέστιν ἔνδον, οὐ μὴν ἐν μυχαιτάτῳ καὶ ἐνδοτάτῳ· τοῦτο γὰρ ψεῦδος ἁπλῶς, οὕτω εἰπεῖν, διὰ τὸ Ἰσθμίαν εἶναι τὴν Κόρινθον. Ε.

Σ. 153. Κέρδιστος] Ὅ ἐστιν ἐντρεχέστατος συνετώτατος· μέση δὲ λέξις ἐστὶ τὸ κέρδιστος· οὐ γὰρ ἐθέλει βλασφημεῖν ὁ Γλαῦκος τὸν πρόγονον, κλεπτίστατον ἀληθῶς ὄντα, καὶ ὑπὲρ τὸν τοῦ Ὀδυσσέως πάππον Αὐτόλυκον, ὡς ἡ ἱστορία βούλεται. Ε. Διὸς τὴν Ἀσωποῦ θυγατέρα Αἴγιναν ἀπὸ Φλιοῦντος εἰς Οἰνώνην διὰ τοῦ Κορίνθου μεταβιβάσαντος, Σίσυφος ζητοῦντι τῷ Ἀσωπῷ τὴν ἁρπαγὴν ἐπιδεικνύει, καὶ διὰ τοῦτο ἐπεσπάσατο εἰς ὀργὴν καθ᾽ ἑαυτοῦ τὸν Δία. Ἐπιπέμπει οὖν αὐτῷ τὸν Θάνατον· τοῦτον δὲ κρατεροῖς δεσμοῖς δήσαντος τοῦ Σισύφου, συνέβαινεν οὐδένα ἀποθνήσκειν, ἕως λύει τὸν Θάνατον ὁ Ἄρης, καὶ αὐτῷ τὸν Σίσυφον παραδίδωσιν. Ὁ δὲ πρὶν ἢ ἀποθανεῖν ἐντέλλεται τῇ γυναικὶ Μερόπῃ, τὰ νενομισμένα αὐτῷ πέμπειν εἰς ᾅδην· καὶ μετὰ τὸν χρόνον οὐκ ἀποδιδούσης τῷ Σισύφῳ τῆς γυναικὸς, ὁ Ἅδης πυθόμενος, μεθίησιν (μεθίστησιν Σ. Β.) αὐτὸν ὡς τῇ γυναικὶ μεμψόμενον. Ὁ δὲ εἰς Κόρινθον ἀφικόμενος, οὐκ ἔτι ὀπίσσω ἄγει, καὶ γηραιὸν αὐτὸν ἀποθανόντα κυλινδεῖν ἠνάγκασεν εἰς ᾅδου λίθον, πρὸς τὸ μὴ πάλιν ἀποδρᾶναι· ἡ ἱστορία παρὰ Φερεκύδου. Σ.

Σ. 155. Βελλεροφόντην] Βελλεροφόντης πρότερον ἐκαλεῖτο Ἱππόνους· ἀνελὼν δὲ Βέλλερον, τὸν Κορινθίων δυνάστην, Βελλεροφόντης ἐκλήθη. Ἦν δὲ φύσει μὲν παῖς Ποσειδῶνος, ἐπίκλησει δὲ Γλαύκου. Λαβὼν οὖν παρὰ Ποσειδῶνος τὸν Μεδούσης τῆς τὴν πρὸς Πήγασον πτερωτὸν ἵππον, διὰ γὰρ τοῦτο ἔσχε καὶ λου, τούτῳ ὀν, ὅτι ἐκπεπηδήκει ἐκ τοῦ τῆς Γοργόνος τραχήγάρ τινα, ὡς ἔφησα, καὶ δράσας ἐμφύλιον φόνον, Βέλλερον Τυχὼν δὲ παρὰ Προίτου πολιτῶν ἀποκτείνας, φεύγει εἰς Ἄργος. ...ρείων, τοῦ βασιλέως, μετ᾽ αὐτοῦ

НБ ОНУ імені І.І. Мечникова

διέτριβεν. Ἄντεια δὲ ἡ Προίτου γυνή, ἐρασθεῖσα τοῦ Βελλεροφόντου, ἐδέετο ὅπως συνευνασθῇ. Ὁ δὲ δεξιούμενος τὸ ὅσιον, ἀντέλεγεν. Ἡ δὲ Ἄντεια δείσασα, μὴ τῷ Προίτῳ προλαβὼν ἐξείποι τοὺς αὐτῆς ἔρωτας, ἔφθασε τοῦ Βελλεροφόντου κατειποῦσα, ὡς ἄρα βουληθείη βιάσασθαι αὐτήν. Ὁ δὲ Προῖτος αὐτόχειρ μὲν οὐκ ἐβουλήθη ἀποκτεῖναι τὸν Βελλεροφόντην, πέμπει δὲ αὐτὸν εἰς Λυκίαν πρὸς τὸν πενθερὸν Ἰοβάτην, ἀδοκήτως καθ' ἑαυτοῦ κομίζοντα γράμματα. Ὁ δὲ πολλοῖς αὐτὸν ἐγγυμνάσας ἄθλοις, ὡς οὐχ ἑώρα φθειρόμενον, ὑπετόπησε κατ' αὐτοῦ στρατεῦσαι τὴν δεινὴν διαβολήν· (τὴν κατ' αὐτοῦ στρατηγηθεῖσαν δεινὴν καταβολήν. Σ. Β.) οὐ γὰρ ἂν τοσούτων κακῶν ὄχλον, μὴ ἀθῷος ὤν, τῇ δυνάμει κατηγωνίσατο. Ἔδωκέ τε αὐτῷ τὴν ἰδίαν θυγατέρα εἰς γάμον Κασάνδραν, καὶ τῆς βασιλείας μοῖράν τινα. Λέγεται δὲ αὐτὸν ἐπαρθέντα ἐφ' οἷς ἔπραξε, θελῆσαι μετὰ τοῦ Πηγάσου τὸν οὐρανὸν κατοπτεῦσαι· τὰ γὰρ νῶτα, ὡς ἔφαμεν, πτερωτὰ εἶχεν ὁ ἵππος· τὸν δὲ Δία μηνίσαντα, οἶστρον ἐμβαλεῖν τῷ Πηγάσῳ· ὅθεν ἐκπεσεῖν μὲν τὸν Βελλεροφόντην, κατενεχθῆναί τε εἰς τὸ τῆς Λυκίας πεδίον, τὸ ἀπ' αὐτοῦ καλούμενον Ἀλήϊον πεδίον· ἀλᾶσθαι δὲ κατὰ τοῦτο πηρωθέντα· τὸν δὲ ἵππον λαβεῖν τὴν Ἠῶ, δεηθεῖσαν τοῦ Διός, δῶρον πρὸς τὸ ἀκόπως περιέναι τὰς τοῦ κόσμου περιόδους· ἡ ἱστορία παρὰ Ἀσκληπιάδῃ ἐν τραγῳδουμένοις. Σ.

Σ. 157. Ἤλασσεν] Νῦν μὲν ἡ λέξις τὸ ἔδωκαν σημαίνει· ἐν ἄλλοις δὲ ἐπάξειν, τὸ κατόπιν διώκειν λέγεται. Ε.

Σ. 160. Ἐπεμήνατο] Ἤτοι κοινότερον εἰπεῖν καὶ μὴ Ἀττικῶς, ἐπεμάνη ἐν ὑπερβάλλοντι ἔρωτι, ὥστε κρυπταδίῃ φιλότητι μιγήμεναι. Ε. — Ἰστέον δέ, ὅτι τὴν παρ' Ὁμήρῳ ταύτην Ἄντειαν, Σθενέβοιαν ἄλλοι καλοῦσιν, ὡς καὶ Εὐριπίδης. Ε.

Σ. 164. Τεθναίης] Πορφυρίου· οὐχ, ὥς τινες ἐξεδέξαντο, τεθνήξῃ ἀναιρεθεὶς ὑπὸ τοῦ ἐπιβούλου, εἰ μὴ φθάσας σὺ τοῦτον ἀποκτείνῃς. Ἔστι δ' ἠθικὴ ἡ φράσις, λέγουσα, ὅτι καλόν σοι ἀποθανεῖν, Προῖτε, εἰ μὴ τιμωρήσαις τὸν ὑβρίσαντά σε διὰ τὸ θελῆσαί μοι μιγῆναι οὐκ ἐθελούσῃ· ἀποθάνοις, ὦ Προῖτε, εἰ μή με ἐκδικήσειας, κατὰ ἀρὰν λεγούσης. Σ. — Ὥς φασιν οἱ [illegible] τόκος ἀποτευχθέντος ἔρωτος, μῖσός ἐστι. Ε.

Σ. 167. Σεβάσσατο] Ἤγουν, ἐξεπλάγη, ὡς [illegible]ατὸν ὄν. Ε.

Σ. 168. 169. Πέμπε δέ μιν Λυκίηνδε, πόρε κ. τ. λ.] Ἀπὸ παλαιτάτης εἴληπται χρήσεως· ἡ μὲν γὰρ τῶν κυ-

НБ ОНУ імені І.І. Мечникова

ρίως λεγομένων ἀπὸ τοῦ γράφειν, ὅ ἐστι ξέειν, γραμμάτων χρῆσις νεωτέρα ἐστίν· ὡσαύτως καὶ τὸ δέξεστα σημεῖα διὰ χρωμάτων ἐντυποῦν, ὕστερον εὕρηται. Καὶ ἡ τῶν χαρταρίων δὲ χρεία τοῦ κάτω χρόνου εὕρημα. Οἱ δέ γε παλαιοὶ, ὁποῖόν τε καὶ οἱ Αἰγύπτιοι ἐποίουν, ζῴδιά τινα ἱερογλυφοῦντες καὶ λοιποὺς δὲ χαρακτῆρας εἰς σημασίαν, ὧν λέγειν ἐβούλοντο, οὕτω καὶ αὐτοὶ καθὰ καὶ τῶν τινες ὕστερον Σκυθῶν, ἐσήμαινον, ἃ ἤθελον, εἴδωλά τινα καὶ πολυειδῆ γραμμικὰ ξέσματα ἐγγράφοντες, ἤτοι ἐγγλύφοντες πίναξι, τουτέστι σανίσιν, ἀλλοίαις τε καὶ ταῖς ἐκ πύξων· ἐξ ὧν αἱ λεγόμεναι πυξίδες. Ἔστι δὲ ὅτε καὶ κατά τινα χρείαν πτυκτὰ ποιοῦντες, ἤγουν πτύσσοντες τὰ τοιαῦτα πυξία, καὶ ἀλλήλοις ἐπιτιθέντες διὰ διπλώσεως, ὁποῖα καὶ νῦν ἐπιχωριάζει ξύλινα βιβλίδρια ἑτέροις τέ τισι, καὶ τοῖς οἰκοῦσι τὴν Ταυρικήν. Κἀντεῦθεν καὶ ὁ ποιητὴς τὴν τοῦ Προίτου ἐπιστολὴν σήματά φησιν, ἤτοι σημάδιά τινα ἐγκεκολαμμένα πίνακι πτυκτῷ τῷ κατὰ τὴν ἀρχαιοτάτην χρῆσιν, ἧς ἐγκατάλειμμά ἐστι παρὰ τοῖς ὕστερον πρὸς μόνον ὄνομα, καὶ τὸ τὴν χαλκῆν κόρυθα κυνέην λέγειν διὰ τὴν πάλαι ποτὲ κατασκευὴν τὴν ἐκ κυνέης δορᾶς, καὶ τὰ ἐκ σιδήρου ὅπλα, χαλκὰ, ὡς ἦν, ὅτε ἀπὸ χαλκοῦ συγκροτούμενα. — Τινὲς μέν τοί φασι, δύνασθαι τὰ μὲν γράμματα ἐνταῦθα σήματα φιλοσοφώτερον καλεῖσθαι· σημεῖα γὰρ φωνῶν καὶ νοημάτων καὶ πραγμάτων εἰσὶ τὰ γράμματα. Πίνακα δὲ πτυκτὸν, ὅ φαμεν ἡμεῖς δέλτον, ἤτοι βιβλίον, ἢ πιττάκιον· δέλτον μὲν διὰ τὸ κατὰ σχῆμα τοῦ δέλτα γράμματος καὶ τῶν λεγομένων δελτωτῶν ἔστιν ὅτε τὰ τοιαῦτα σχηματίζεσθαι, πτυσσόμενα τριγωνοειδῶς, ὅπερ ἐν πολλοῖς ὁρῶμεν εἰσέτι γινόμενον· βίβλον δὲ, ἢ βιβλίον οὐδετέρως ἀπὸ τοῦ φυτοῦ τῆς βύβλου, κατὰ ἐναλλαγὴν γράμματος· ὡς καὶ τῆς τοιαύτης βύβλου κατεργαζομένης ποτὲ εἰς ὑποκείμενον γραμμάτων, καθὰ καὶ ὁ ἀπὸ ξύλου πίναξ· ὡς εἶναι τῆς παλαιτάτης χρήσεως καὶ τὴν βίβλον, ὁμοίως τῷ πίνακι καὶ τῇ πυξίδι· πιττάκιον δὲ ἰδιωτικώτερον, διὰ τὸν τρόπον καὶ αὐτὸ τῆς πτύξεως, ἤτοι διπλώσεως· ὡς γὰρ δέλτος διὰ τὸ δελτωτὸν σχῆμα, οὕτω πιττάκιον διὰ τὸ τετραγωνίζεσθαι πτυσσόμενον, ὁμοίως πως τῷ τῆς χυτῆς πίττης σχηματισμῷ· οἱ δὲ παλαιοὶ καὶ ἐν τῇ κατ' Εὐριπίδην Φαίδρᾳ, ἔνθα μνήμη πεύκης κεῖται, φασὶ πεύκην ἐκεῖ ῥηθῆναι τὴν ἐν τῇ χειρὶ τῆς Φαίδρας δέλτον, τὴν κατὰ τοῦ Ἱππολύτου, ὡς ξυλίνην οὖσαν, καὶ ἴσως ἐκ πεύκης διὰ τὸ τῆς γρα-

φῆς ἐν τοιούτῳ ξύλῳ εὐτύπωτον· ἔχοι δὴ ἄν τις καὶ τοῦτο εἰς μαρτυρίαν, τοῦ ξύλοις ἐγχαράσσεσθαί ποτε γράμματα, ὃ μάλιστα ἐπὶ μαρμάρων λίθων ἐπεχειρήθη, ἐφ᾽ ὧν καὶ ἡ τοῦ γράφειν ἁρμόττει ὀνοματοποιΐα. Εἰ δὲ καὶ συνήγετο ἡ τοιαύτη δέλτος, ἢ ἐκ πεύκης τριγωνοειδῶς, κατὰ τοὺς ὕστερον Ἀττικοὺς ἄξονας, ἐν οἷς ἐπινακογραφοῦντο νόμοι, κυριολεκτοῖτο ἂν ἐπ᾽ αὐτῆς καὶ ὁ καθ᾽ Ὅμηρον πίναξ, καὶ ἡ παρὰ τοῖς μεθ᾽ Ὅμηρον δέλτος. Πίναξ γὰρ, ἐξ οὗ καὶ πινακίσκιον, οὐ μόνον σκεῦος δεξιὸν εἰς τὸ πίνειν κατὰ ἐτυμολογίαν, ἀφ᾽ οὗ καὶ κρεῶν πίνακες, (Ὀδυσσ. Α, 141.) ἀλλὰ καὶ ἡ σανὶς πίναξ λέγεται, ὡς δῆλον καὶ ἐκ τοῦ, νεῶν εἰρῆσθαι πίνακας (Ὀδυσσ. Μ, 67.) καὶ ἐκ τοῦ πινακηδὸν ἀποσπῶν, ἤγουν δίκην σανίδων, ὅθεν καὶ πινακίδια γραμμάτων· καὶ βιβλίου δὲ πίναξ, τὸ ἐπίπεδον, ᾧπερ αἱ κατ᾽ αὐτὸ ὑποθέσεις ἐπιτιτλοῦνται, ῥηθεὶς οὕτω μεταφορικῶς. Χρήσιμον δὲ εἰς τὸν παρόντα τόπον καὶ τὸ παλαιὸν ἔθος, καθ᾽ ὃ δένδροις ὅσα καὶ πίναξιν ἐνεκόλαπτον οἱ παλαιοὶ τὰ τῶν φιλουμένων ὀνόματα, ὡς εἴπερ Ἔρωτες ἢ Νύμφαι ὄρειναι τοῦτο ἐποίουν· οἷον, ἡ δεῖνα καλή· ὁ δεῖνα καλός. — Ἰστέον δὲ καὶ ὅτι γράψαι μὲν παρ᾽ Ὁμήρῳ εὕρηται· τὸ δὲ ἐξ αὐτοῦ ὄνομα τὸ γράμμα οὐκ οἶδεν ὁ ποιητής· εἰ γὰρ ἐπ᾽ αὐτοῦ ἦν ἐν χρήσει, καθὰ καὶ ἡ ἐν Ὀδυσσείᾳ γραπτὺς, (Ω, 228.), οὐκ ἂν τρὶς εἶπε τὸ σῆμα, ἐπιμείνας τῇ λέξει, διὰ τὸ μονῆρες καὶ καίριον· — ὅτι ὡς ξύσμα ξυσμὴ, οὕτω καὶ γράμμα γραμμὴ, οὐ μόνον ἡ ἐν μαθήμασιν, ἀλλὰ καὶ ὁποίαις ἔπαιζον οἱ κυβεύοντες, ὧν μία τις μέση γραμμὴ ὠνομάζετο ἱερὰ, ἐπειδὴ ὁ ἡττώμενος ἐπ᾽ ἐσχάτην αὐτὴν ἵετο· ὅθεν καὶ παροιμία, κινεῖν τὸν ἀφ᾽ ἱερᾶς, ἐπὶ τῶν ἐν ἀπογνώσει, δεομένων βοηθείας ἐσχάτης· χρῆσις δὲ ταύτης καὶ παρὰ Σώφρονι ἐν τῷ, κινήσω δ᾽ ἤδη καὶ τὸν ἀφ᾽ ἱερᾶς, ἔνθα λείπει τὸ, πεσσὸν ἢ λίθον. Ἀλκαῖος οὖν ἐκ πλήρους ἔφη τὸ, κινήσας τὸν πήρας πυκινὸν λίθον· κωμικευσάμενος ἐκεῖνος, καὶ ἀντὶ τοῦ ἱερᾶς, ὡς ἐν παρόδῳ γράψας τὸ πήρας (πτωχοῦ λίθος) Ε. — Θυμοφθόρα] Τὸ δὲ θυμοφθόρα πολλὰ ἑρμηνεύων ὁ ποιητὴς, φησί· ὄφρ᾽ ἀπόλοιτο· θυμοφθόρα γὰρ πάντως τὰ ἀπολλύντα. Ε.

Σ. 171. Πομπῇ] Ἤγουν ὑπὸ θείᾳ ἀμέμπτῳ ὁδηγίᾳ· — σεμνὴ δὲ λέξις. Ε.

Σ. 172. Ξάνθον τε ῥέοντα] Προσέθηκε δὲ νῦν τὸ ῥέοντα κατὰ Πορφύριον, πρὸς διαστολὴν Ξάνθου, Λυκιακῆς πόλεως. Τὴν δὲ

НБ ОНУ імені І.І. Мечникова

τοιαύτην Λυκίαν εὐρεῖαν λέγει, διαστέλλων αὐτὴν τῆς μικρᾶς Λυκίας, ἧς ἦρχεν ὁ Πάνδαρος. Ε.

Σ. 174. Ἐννῆμαρ ξείνισσε] Οἱ ἀρχαῖοι ἔθος φασὶ τὸ τῇ δεκάτῃ ἐρωτᾶσθαι τοὺς ξένους, ὃ καὶ ἐπὶ Ἀλεξάνδρου γενέσθαι φασὶν, ὅτε τῷ Μενελάῳ ξενωθεὶς, ἀφήρπασε τὴν Ἑλένην. Ε.

Σ. 179. Ἀμαιμακέτην] Ἤτοι ἄγαν μαιμῶσαν, ἢ περιμήκετον, ἐκ τοῦ α, ἐπιτατικοῦ καὶ τοῦ μᾶκος Δωρικοῦ, ὃ δηλεῖ τὸ μῆκος. Ε. Τὴν ἀκαταμάχητον Σ. (ἴδ. Π, 329.).

Σ. 180. Θεῖον γένος] Τουτέστιν ὑπερφυές· ὀκνεῖ γὰρ τερατῶδες εἰπεῖν καὶ παρὰ φύσιν. Ε. — Τὰ τερατώδη εἰς θεοὺς ἀναφέρει. Σ. Β. (ἴδ. Ἀπολλόδ. σελ. 286.).

Σ. 181. Χίμαιρα] Ὄρος κατὰ τὴν Λυκίαν εἶναι τὴν Χίμαιράν φασιν· ἐν τῷ μέσῳ μὲν ἀναφυσήματα ἔχον πυρὸς, τὰ μέχρι καὶ νῦν βλεπόμενα· κατὰ δέ γε τὰ ἄκρα, πολύθηρον. Ε.

Σ. 183. Θεῶν τεράεσσι πιθήσας] Ἴσως γὰρ καὶ σημεῖά τινα παρηκολούθηκε θαῤῥύνοντα τὸν Βελλεροφόντην εἰς τοὺς ἀγῶνας, οἷς περιπέπτωκεν. Ε. — Ἡ διπλῆ, ὅτι οὐδὲν περὶ τῆς κατὰ τὸν Πήγασον ἱστορίας ἐμφαίνει. Σ. Β.

Σ. 184. Σολύμοισι μαχέσσατο] Ὅτι Σόλυμοι ὅμορον ἔθνος Λυκίοις πολέμιον αὐτοῖς. — Φασὶ δὲ οἱ παλαιοὶ, τοὺς ὕστερον λεγομένους Πισίδας ἢ Πισιδεῖς. — Ἰστέον δὲ καὶ ὅτι μέχρι καὶ νῦν σώζεταί πως τὸ τῶν ῥηθέντων Σολύμων ἐθνικὸν ὄνομα. Τόπος γάρ ἐστιν ὀχυρώτατος περί που τὴν Λυκίαν, οὗ οἱ ἐγχώριοι βαρβαρικώτερον τοῖς ἐκεῖ καλοῦνται Τζέλυμοι. — Περὶ δὲ τῶν ῥηθέντων Λυκίων Σολύμων φασὶ καὶ ὅτι Σόλυμοι οὗτοι Μινύαι ἀπὸ Μίνωος ἐκαλοῦντο, οὗ ἀδελφοὶ Σαρπηδὼν καὶ Ῥαδάμανθυς. Λύκος δὲ ἢ Λύκων ὁ Πανδίονος ἐπελθὼν, Λυκίους αὐτοὺς προσηγόρευσε. Ε.

Σ. 186. Ἀμαζόνας ἀντιανείρας] Ἀμαζόνες ἀντιάνειραι. (ἴδ. Γ, 189.).

Σ. 189. Νέοντο] Τουτέστιν, οὐκ ἐπαλιννόστησαν εἰς τὰ οἰκεῖα· πάντας γὰρ κατέπεφνεν ἀμύμων Βελλεροφόντης. Ε.

Σ. 193. Δῶκε δέ οἱ τιμῆς κ. τ. λ.] Ἦν δὲ, φασὶν, ἔθος λαμβάνειν τοὺς οὕτως ἀδικηθέντας παρὰ τῶν ἀδικησάντων εἰς μερίδα, χρήματα πολιτικὰ, ἄνδιχα πᾶσαν κτῆσιν δασαμένους, ὡς ἡ ὁπλοποιΐα λέγει (Σ, 511) Ε.

Σ. 194. Τέμενος] Ὅτι τέμενος παρὰ μὲν τοῖς ὕστερον, ὁ ναὸς καθ᾽ ὑπεροχήν· παρ᾽ Ὁμήρῳ δὲ τόπος ἁπλῶς ἀφωρισμέ-



НБ ОНУ імені І.І. Мечникова

νος, τουτέστιν ὅρῳ ἰδίῳ περιγεγραμμένος, καὶ ὡς ὁ ποιητὴς ἐτυμολογεῖν βούλεται, ἀποτετμημένος, τῶν ἐγγύς· φησὶν οὖν, ὅτι τῷ Βελλεροφόντῃ Λύκιοι τέμενος τάμον, ἤγουν ἀφώρισαν εἰς κτῆσιν ἰδίαν, ἔξοχον ἄλλων, ὡς ἀριστεῖον, οἷα καὶ Σολύμους τοὺς ἐναντίους αὐτοῖς καταπολεμήσαντι. Καὶ ὅρα καὶ νῦν ὅπως ἐν μεγάλῳ ἦν τοῖς παλαιοῖς ἡ τῆς γῆς κτῆσις· οὐ γὰρ χρήματα ἔδοσαν οἱ Λύκιοι τῷ εὐεργετήσαντι, ἀλλὰ τέμενος καλὸν φυταλιῆς φησι καὶ ἀρούρης, ὄφρα νέμοιτο. Καὶ ὅρα τὸ νέμοιτο ἐπὶ ἀνθρώπων λέγεσθαι, λαβὼν ἐξ Ὁμήρου ἀρχήν. Ε.

Σ. 195. Φυταλιῆς] Ἔστι δὲ φυταλιὰ μὲν ἡ φυτοφόρος γῆ, ἄρουρα δὲ ἡ ψιλὴ ἄροσις. Ε. — Φυταλιῆς] Δενδροφόρου γῆς, ἢ ἀμπελοφόρου. — Ἀρούρης] Σπερίμου γῆς, καὶ σιτοφόρου. Σ.

Σ. 199. Σαρπηδόνα] Οἱ δὲ νεώτεροι Εὐρώπης καὶ Διὸς υἱὸν Σαρπηδόνα λέγοντες, καὶ ἀδελφὸν αὐτὸν ἱστοροῦντες τοῦ Μίνωος, ἄλλον ἐκεῖνον Σαρπηδόνα γενεαλογοῦσι παλαιότερον, ὥς φασιν οἱ ἀκριβέστεροι. Ε.

Σ. 200. Ἀπήχθετο] Ἐπειδὴ τὰς μὲν εὐτυχίας εἰώθασιν ἀναφέρειν εἰς τὴν θεοφιλίαν, τὰς δὲ δυστυχίας εἰς ἀπέχθειαν θεῶν, τὴν μεταβολὴν ἐπὶ τὸ χεῖρον τοῦ Βελλεροφόντου εἰκότως εἰς ἀπέχθειαν θεῶν ἀνατέθεικεν. Σ. Β. — Τὴν δέ γε τοῖς ὕστερον ποιουμένην τοῦ Βελλεροφόντου ἐκ μετεωροπορίας τῆς διὰ Πηγάσου κατάπτωσιν, καὶ τὴν ἐκεῖθεν χώλωσιν οὐκ οἶδεν ὁ ποιητὴς, οὐδ' ὅτι Γοργόνος ἐξέφυ ὁ Πήγασος ἵππος, καὶ ὅτι πτεροῖς αἴρεσθαι εἶχε, καὶ ὅτι βληθεὶς οἴστρῳ χόλῳ Διὸς ἐν Κιλικίᾳ ἢ Λυκίᾳ τὸν ἀναβάτην Βελλεροφόντην κατέῤῥιψεν ἐς Διὸς ἱέμενον· ἢ ὅτι ὁ Βελλεροφόντης Πηγάσῳ ἀέριος ἀρθεὶς, μόλυβδον ἐνέῤῥιψε τῷ τῆς Χιμαίρας στόματι, ὃς τακεὶς, κατειργάσατο ἐκείνην, καὶ ὅσα ἄλλα μῦθοι ἐθρύλλησαν ἀναιδεῖς. Ε.

Σ. 201. Καππεδίον τὸ Ἀλήϊον] Οὕτω πεδίον τῆς Κιλικίας καλούμενον ἀπὸ τῆς τοῦ Βελλεροφόντου ἄλης, τουτέστι πλάνης. Σ. — Τοῦ δὲ τοιούτου πεδίου σὺν ἄλλοις μέμνηται καὶ Ἡρόδοτος, τῆς Κιλικίας τε αὐτὸ εἰδὼς, καὶ στρατοπεδεύσασθαί ποτε εἰπὼν περὶ αὐτὸ στρατηγοὺς Δαρείου τοὺς κατὰ Ἑλλήνων· (Ἡροδ. ϛ, 95. σελ. 481.)

Σ. 202. Ἀλεείνων] Ἤγουν ἐκφεύγων τὴν μετ' ἀνθρώπων συνδιατριβὴν, οἷα εἰς μελαγχολίαν ἐκκυλισθείς. Ε. — Πάτον] Τὴν πεπατημένην ὁδὸν, γῆν πατουμένην ὑπὸ ἀνθρώπων, τουτέστι τὴν κοινὴν καὶ λεωφόρον. Σ.

НБ ОНУ імені І.І.Мечникова

Σ. 205. Ἄρτεμις ἔκτα] Τουτέστι ἀποβαλὼν τὴν θυγατέρα θανάτῳ τῷ ἐξαίφνης· οὐ δηλωτικὸν τὸ τὴν δ' Ἄρτεμις ἔκτα, ἡ τοῦ θνήσκειν οὕτω αἰτία ταῖς γυναιξὶ, κατὰ τὴν ποίησιν· — ὅτι δὲ τῇ Ἀρτέμιδι, τουτέστι τῇ σελήνῃ, τοὺς αἰφνιδίους θανάτους τῶν γυναικῶν ἀνατίθησιν ἡ Ἑλληνικὴ δόξα, δῆλόν ἐστιν· ὥσπερ ὁ Ἀπόλλων ἥλιος αἴτιος λέγεται τοῦ αἴφνης θνήσκειν τοὺς ἄνδρας. Ε. — Χρυσήνιος] Χρυσᾶς ἡνίας ἔχουσα, ὡς ἐφ' ἅρματος ὀχουμένη. Σ.

Σ. 219. Φοίνικι φαεινόν] Ἤγουν φοινικῷ χρώματι, τῷ ἐκ καρποῦ ἴσως τῆς πρίνου. Ε. — Φοινικῷ ἄνθει βεβαμμένον. Σ. — Ταῦτα δὲ δεινῶς ὁ Διομήδης καὶ δεξιώτατα προεκτίθεται, ἵνα εὐλόγως καὶ αὐτὸς τὴν τῶν ὅπλων ζητήσῃ ἄμειψιν, ὡς ῥηθήσεται, καὶ δοκιμάσῃ τὸν Γλαῦκον, εἰ μὴ ἐθέλει τὴν τῶν πατέρων αἰσχύνειν ἀρετήν. Ε.

Σ. 221. Κατέλειπον κ. τ. λ.] Ἰστέον καὶ ὅτι τὰ ξένια, ἤτοι τὰ τῆς ξενίας δῶρα κειμήλια τοῖς παλαιοῖς ἀπετίθεντο εἰς ἀνάμνησιν πατρῴας φιλίας τοῖς ἐπιγόνοις. Ε.

Σ. 226. Ἔγχεσι δ' . . . καὶ δι' ὁμίλου] Ὅτι συνέθεντο Διομήδης καὶ Γλαῦκος ἀλλήλων ἐν πολέμῳ ἀπέχεσθαι καθ' ἑαυτούς τε, καὶ δι' ὁμίλου, ἤγουν κατὰ τὸν ὑπ' αὐτοὺς πάντα ὅμιλον. Ε.

Σ. 230—231. Ὄφρα . . . . γνῶσιν] Καὶ οὕτως εἴη ἀνύποπτον τὸ ἀλλήλων ἡμᾶς καὶ δι' ὁμίλου ἀπέχεσθαι· ἄλλως γὰρ προδοτικοῦ ἂν ἤθους ἐκρίνοντο, καὶ δολερᾶς καθυφέσεως τῆς εἰς πόλεμον. — Σημείωσαι δὲ καὶ ὅτι οὐχ ὡς κερδαλέος ὁ Διομήδης αἰτεῖ τὰ χρυσᾶ ὅπλα, προΐσχεται δὲ αἰτίαν εὐσχήμονα, ἵνα φησὶ πάντες γνῶσιν, ὅτι ξένοι ἀλλήλων πατρῷοι ἐσμέν. Ε.

Σ. 233. Πιστώσαντο] Ἴδ. Φ, 286.

Σ. 236. Ἑκατόμβοι' ἐννεαβοίων] Ἴδε Φ, 79.

Σ. 237. Ἕκτωρ δ' ὡς Σκαιάς κ. τ. λ.] Ὅτι σχῆμα ὑστερολογίας καὶ ἐν τῷ, Ἕκτωρ δ' ὡς σκαιάς τε πύλας καὶ φηγὸν ἵκανεν· ἀνιὼν γὰρ εἰς τὴν πόλιν, πρῶτον φηγὸν ἵκανε, περὶ τὸ πεδίον οὖσαν, εἶτα τὰς Σκαιὰς πύλας. Ε.

Σ. 240 — 242. Ὁ δ' ἔπειτα θεοῖς εὔχεσθαι κ. τ. λ.] Ὅτι παιδεύει τὸν ἀκροατὴν καὶ ὁ παρ' Ὁμήρῳ Ἕκτωρ, μὴ ἀεὶ πρὸς τὰς ἐρωτήσεις λεπτομερῶς ἀποτείνεσθαι, ὅπου ἂν μὴ συμφέρον εἴη. Ἐρωτᾶται μὲν γὰρ ὑπὸ τῶν Τρῳάδων, πῶς ἂν ἔχοιεν ἐν τῷ πολέμῳ οἱ προσήκοντες αὐταῖς· ὁ δὲ οὐδὲν ἄλλο ἔφη, ἀλλ'



НБ ОНУ імені І.І.Мечникова

ἢ θεοῖς μόνον ἐκέλευσεν εὔχεσθαι πάσας ἑξείης· καί τοι πολλαῖς αὐτῶν κήδεα ἐφῆπτο διὰ τὴν τῶν οἰκείων ἀπώλειαν. Καὶ ὅρα τὸ, πολλαῖς κήδε' ἐφῆπτο, ἤτοι πολλῶν ἥπτετο ἡ βλάβη, καὶ ἤδη αὐταῖς ἐπέκειτο. Ε. — Τουτέστι πολλαὶ αὐτῶν ἐν κακώσει ἐγένοντο. Σ.

Σ. 243. Αἰθούσῃσι] Ἤτοι λιθίνοις ὑπαίθροις, στοαῖς αἰθομέναις ἡλίῳ.

Σ. 245. Πλησίοι] Τὸ δὲ πλησίοι ἀμέμφως ἔχει, πολλαχοῦ γὰρ ἡ τοιαύτη κλίσις διαφαίνεται, ἐπεὶ προϋπάρχει ὁ πλησίος, οὗ ἡ αἰτιατικὴ γεννᾷ τὸ πλησίον ἐπίῤῥημα. Ε.

Σ. 248. Τέγεοι] Ὑπερῷοι ἐπὶ τοῦ στέγους ᾠκοδόμηντο· τοιοῦτοι γὰρ κατεσκευάζοντο ταῖς γυναιξὶ, πρὸς τὸ μὴ ὁρᾶσθαι συνεχῶς ἀνδράσι. Σ. Β. — Θάλαμοι δὲ παρὰ μὲν τοῖς ὕστερον αἱ γυναικωνίτιδες· παρὰ δὲ Ὁμήρῳ καὶ οἱ ἁπλῶς ἐνδότατοι οἶκοι. Ε.

Σ. 251. Ἠπιόδωρος] Ὅτι τὸ ἠπιόδωρος οἰκεῖον ἐπίθετον ἀγαθῇ μητρὶ, ὁποία καὶ ἡ Ἑκάβη ἐνταῦθα τῷ Ἕκτορι, ἐλεοῦσα τὸν παῖδα ἐκ μάχης ἐλθόντα, καὶ ἠπίως δεξιουμένη αὐτόν. — Ἰατροῖς δὲ καὶ τοῖς κατ' αὐτοὺς πρέπουσα ἡ τοῦ ἠπίου λέξις, ὡς καὶ ἡ τοῦ Ἀσκληπιοῦ δηλοῖ σύνθεσις, καὶ τὸ, ἐπί τ' ἤπια φάρμακα πάσσειν (Δ, 218.) Ε.

Σ. 252. Ἐσάγουσα] Ἐνταῦθα δὲ κεῖται καὶ τὸ εἰσάγειν ἀντὶ τοῦ εἰσιέναι ἢ ὑπάγειν. Ε. — Ἀντὶ τοῦ, πρὸς Λαοδίκην πορευομένη· ἔτυχε γὰρ πρὸς αὐτὴν εἰσελθεῖν βουλομένη. Σ.

Σ. 253. Φῦ χειρί] Ὅτι καὶ ἐνταῦθα ἐμφῦναι χειρὶ, τὸ χειρὸς λαβέσθαι καὶ στερεῶς αὐτῆς ἅψασθαι. Ε.

Σ. 256. 257. Ἀνῆκεν . . . . ἄκρης πόλιος Διὶ κ. τ. λ.] Ὅτι τὸ τοῦ Ἕκτορος ἀνδρεῖον ἡ μήτηρ γινώσκουσα, καὶ ὡς οὐκ ἂν ἔφυγε πρὸ τῶν ἄλλων τὴν μάχην, ὑπονοεῖ τὴν αἰτίαν τῆς εἰς τὴν πόλιν αὐτοῦ ἐλεύσεως, ὅτι δηλαδὴ ἦλθεν ἐξ ἄκρης πόλεως, ἤγουν ἐκ τῆς ἀκροπόλεως Διὶ χεῖρας ἀνασχεῖν, ὅ ἐστιν, ἀνατεῖναι· — διὸ καὶ οἶνον αὐτῷ θέλει χειρίσαι, ὡς ἐπὶ σπονδῇ. Ε.

Σ. 264. Ἄειρε] Τὸ ἄειρε ἀντὶ τοῦ πρόσφερε εἴρηται. Ε.

Σ. 265. Ἀπογυιώσῃς] Βλάψῃς μου τὰ μέλη, ἀποχολώσῃς (ἴσως ἀποχωλώσῃς ἢ ἀποχαλάσῃς), οἷον ἐκλύσῃς μου τὰ μέλη. Σ. — Ἀντὶ τοῦ εἰς ἄνεσιν ἀγάγῃς, καὶ ὡς οἷον εἰπεῖν, ἀπομελίσῃς. — Ἀλκῆς τε λάθωμαι] Τὸ δὲ ἀλκῆς λάθωμαι, ὅ ἐστιν

ἀμελήσω τοῦ ἀνδρίζεσθαι, ἀνάπαλίν ἐστι πρὸς τὸ, μνήσασθε, δὲ θούριδος ἀλκῆς. Ε.

Σ. 267. Οὐδέ πη ἐστί] Τὸ δὲ οὐδέ πη ἐστὶν, ἐλλειπτικῶς ἔχει, ἵνα λέγῃ, οὐδέ πη ἐστὶ δέον, ἢ πρέπον, ἢ ὅσιον, ἢ θεοφιλὲς, ἤ τι τοιοῦτον. Ε.

Σ. 268. Λύθρῳ] Λύθρον δὲ ὁ τοῦ αἵματος μιασμὸς ἀναμεμιγμένος τῇ κόνει. — Πεπαλαγμένον δὲ, ἀντὶ τοῦ μεμολυσμένον, ἐκ τοῦ παλάσσω, ἀφ' οὗ καὶ ὁ πηλός. Ε.

Σ. 270. Ἔρχεο σὺν θυέεσσιν] Ὅτι ἔρχεο σὺν θυέεσσιν, ἀντὶ τοῦ, σὺν θυμιάμασι· καὶ ἔστιν εὐθεῖα τὸ θύος. Ε. Θυμιάμασι, μετὰ θυσιῶν. Σ.

Σ. 271. Πέπλον] Ἴδ. Γ, 228.

Σ. 280. Πάριν μετελεύσομαι] Ταὐτόν ἐστι τῷ μετὰ σὲ εἰς τὸν Πάριν ἐλεύσομαι· οἱ δὲ μεθ' Ὅμηρον ἐπὶ ἀμύνης καὶ ἐκδικήσεως τὴν λέξιν τιθέασι, οἷον μετῆλθεν ἡ δίκη τὸν κακόν. Ε.

Σ. 281. Αὖθι] Τουτέστιν εἴθε οἱ αὐτόθι, ἔνθα νῦν διάγει, γαῖα χάνοι. Ε.

Σ. 282. Ὀλύμπιος ἔτρεφε] Οὐκ εἶπε δὲ, ὅτι σὺ αὐτὸν ἔτρεφες, ἵνα καὶ μᾶλλον λυπήσῃ αὐτὴν, ὡς κακοῦ θρέπτριαν, ἀλλ' ὁ Ὀλύμπιος. Σ. Β.

Σ. 285. Ὀϊζύος ἐκλελαθέσθαι] Τουτέστι, εἴποιμι ἂν, μηδέποτε παθεῖν ἄτερπον καὶ ἀηδῆ κακοπάθειαν· — ὅτι ἄτερπος ὀϊζὺς δοκεῖ διαστολὴν ἔχειν πρός τινας ὑποτερπούσας, ὁποῖα καὶ ἡ κατὰ ἔρωτας. Ε. — Ἤτοι τὴν ἐμὴν φρένα τῆς ἀτέρπου ὀϊζύος ἐπιλαθέσθαι. Σ.

Σ. 286. Ἀμφιπόλοισι] Ἴδ. Γ, 144.

Σ. 287. Γεραιάς] Ἤτοι τὰς ἐντίμους, κἂν οὔπω τινὲς εἰς γῆρας ἦλθον. Ε.

Σ. 288. Κηώεντα] Ὅτι τὸ βασιλικὸν ταμιεῖον θάλαμον κηώεντα λέγει, ὅ ἐστι τεθυμιαμένον εὐῶδες ὄζοντα, ἐκ τοῦ κῆαι, ὃ δηλοῖ τὸ καῦσαι· κυρίως δὲ κηώεις ναὸς, ἢ βωμὸς, ἐν ᾧ ἐκαίοντο θύματα, ὧν ἡ κνίσσα ἐποίει ὀδωδέναι τὰ ἐκεῖ. — Τὸ δὲ κατέβη οὐ βαθύτητα μόνον, ἀλλὰ καὶ μέγεθος βασιλικοῦ θαλάμου δηλοῖ. Ε.

Σ. 290. Σιδονίων] Ὅτι τὰς Σιδωνίας γυναῖκας ἐπαινεῖ ἐπὶ ἱστουργίᾳ ὁ ποιητής. Ε. — Ἰστέον δὲ καὶ ὅτι τὴν Σιδῶνα ὁ ποιητὴς οὐ καθ' ἡμᾶς ἐκτείνει ἐπὶ τῶν πλαγιῶν, ἀλλὰ συστέλλει, ὁμοίως τῷ χελιδὼν, χελιδόνος· καὶ ἔοικε χρόνων γενέ-

НБ ОНУ імені І.І.Мечникова

σθαι κἀνταῦθα μετάθεσιν, ὡς παρ' ἡμῖν μὲν συστελλομένης τῆς ἀρχούσης τῆς Σιδῶνος, ἐκτεινομένης δὲ τῆς μετ' αὐτὴν συλλαβῆς· παρὰ δὲ τῷ ποιητῇ ἀνάπαλιν. Ε.

Σ. 291. Ἤγαγε Σιδονίηθεν] Ἐκ τῆς Σιδῶνος ἤγαγεν ἐπιπλεύσας· κλέψας γὰρ τὴν Ἑλένην ἀπὸ Λακεδαίμονος οὐχ' ἣν ἦλθεν ὁδὸν, οὐδὲ τὸν κατ' εὐθεῖαν πλοῦν ἐπορεύθη ἵνα μὴ διωχθεὶς καταληφθῇ· ἀλλ' ἔπλευσε διὰ τῆς Αἰγύπτου καὶ Φοινίκης· παριὼν οὖν διὰ τῆς Σιδῶνος, κἀκεῖθι γυναῖκας ἔξω τοῦ ἄστεος εὑρὼν, ἔλαβε τρόπῳ λῃστρικῷ. Σ. — Ἐπιπλὼς] Τὸ δὲ ἐπιπλὼς μετοχή ἐστι κατὰ ἀποκοπὴν τοῦ ἐπιπλώσας, ὡς ἀρέσκει τοῖς παλαιοῖς· οὐ γὰρ διδόασιν εἰπεῖν, ὅτι ἀπὸ τοῦ πλῶμι ῥήματος γίνεται. Ε.

Σ. 292. Ἀνήγαγεν] Τὸ δὲ ἀνήγαγεν ὕψους ἐστὶ δηλωτικὸν, καὶ καλῶς εἴρηται, ὡς τοῦ εἰς Τροίαν ἐκ τῶν νοτίων πλόου, ἀναγωγῆς τινος ἤτοι ἀναβάσεως, καὶ ὡς εἰπεῖν ἀνάπλου ὄντος· ὅπερ καὶ ὁ ἐκεῖθεν ἀγάῤῥοος δηλοῖ· (Β, 145.) διὸ καὶ κατωτικὰ τὰ καθ' Ἑλλάδα ὁ κοινὸς λόγος φησὶν, ὡς κάτω κειμένων τῶν ἐκεῖ πρὸς τὰ καθ' ἡμᾶς. Ε. — Εὐπατέρειαν] Τὸ δὲ εὐπατέρειαν, ὃ δηλοῖ τὴν εὐγενῆ, ἀπὸ εὐθείας παρῆκται τῆς εὐπάτηρ εὐπάτερος· τὸ μέν τοι εὐπάτωρ τῆς μεθ' Ὅμηρόν ἐστι χρήσεως. Ε. — Ἔνδοξον κατὰ πατέρα· Διὸς γὰρ ἦν θυγάτηρ ἡ Ἑλένη Σ.

Σ. 294. Ποικίλμασιν] Τοῖς ἐνυφασμένοις ποικίλμασι. Σ. — Δηλοῖ δὲ τὸ, κάλλιστος ποικίλμασι ποιότητα ποικιλμοῦ, καὶ οὐκ ἔστιν ὅμοιον τῷ παμποίκιλος, ὅπερ μόνον πλῆθος ποικιλμάτων δηλοῖ. Ε.

Σ. 295. Νείατος ἄλλων] Ἤγουν ἔσχατος καὶ ἰδιάζων, ὡς ἔκκριτος δηλαδή. Ε.

Σ. 299. Κισσηΐς] Ζητητέον δὲ περὶ τῆς Κισσηΐδος Θεανοῦς, εἴτε Κισσέως ἦν θυγάτηρ, οὗ κατ' Εὐριπίδην καὶ ἡ Ἑκάβη, (Ἑκάβ. στ. 3.), εἴτε ἑτέρου. Ε. (ἴδ. Λ, 223.).

Σ. 300. Ἀθηναίης ἱέρειαν] Ὅτι παρὰ μὲν τοῖς ὕστερον αἱ ἱέρειαι, παρθένοι ἦσαν· καὶ θάνατος ἦν αὐταῖς ἐπιτίμιον διακορηθείσαις. — Ὅμηρος δὲ τὴν Κισσέως Θεανὼ τὴν Ἀντήνορος γυναῖκα ἱέρειαν παραδίδωσιν Ἀθηνᾶς, οὔτε κληρωτὴν, οὔτ' ἐκ γένους, οὔτε ἑνὸς ψήφῳ, ἀλλ' ἣν, ὡς οἱ παλαιοί φασι, τὸ πλῆθος εἵλετο. Ε.

Σ. 301. Αἱ δ' ὀλολυγῇ] Ὅτι ὀλολυγὴν τὴν τῶν γυναι-

κῶν εὐχὴν καλεῖ ὁ ποιητής· καὶ τὸ σὺν οἴκτῳ αὐτὰς εὔχεσθαι, ὀλολύζειν φησίν· — οἱ δὲ νεώτεροι ἐπὶ τοῦ κλαίειν τὸ ὀλολύζειν ἔθεντο. — Ἰστέον δὲ καὶ ὅτι καθ' Ἡρόδοτον ἐκ Λιβύων ἦλθεν εἰς Ἕλληνας τὸ ὀλολύζειν ἐπὶ ἱεροῦ (Δ, κεφ. 189. σελ. 364.) — Καὶ ὅρα τὸ ἐπὶ ἱεροῦ· ἔοικε γὰρ καὶ ἔξω ἱερῶν γίνεσθαι τὴν Λιβυκὴν ὀλολυγὴν, ποιὰν οὖσαν, γυναικείαν φωνὴν ἐξηλλαγμένην τῆς συνήθους, τὰ μὲν πρῶτα, ὡς εἰκὸς, καὶ ἐν ἑτέροις τόποις ἀπηχουμένην, ὕστερον δὲ καὶ ἐπὶ τῶν ἱερῶν ἐν εὐχαῖς. Ἰστέον δὲ ὅτι καὶ Εὐριπίδης ἀντίμολπον ὀλολυγῆς κωκυτὸν εἰπὼν, (Μηδ. 1177.) δηλοῖ, ὡς ὁ μὲν κωκυτὸς αὐτόχρημα θρῆνός ἐστιν· ἡ δὲ ὀλολυγὴ ἀπεναντίας αὐτῷ, θεοῦ ἐπίκλησις καὶ εὐχὴ μετὰ ἐμμελοῦς τινος γυναικείου ἐνθεασμοῦ ἀτραχύντου οἶμαι καὶ λειοτάτου. Ὅτι δὲ καὶ ἕτερόν ἐστιν εὐχῆς τῆς ἁπλῶς ἡ ὀλολυγὴ, καὶ ὅτι διαφέρει τοῦ κλαίειν, καὶ τοῦ αἰάζειν, δηλοῖ καὶ τὸ περιφορούμενον Ἱπποκράτειον συμβολικὸν, ἐν ᾧ φέρεται, ὅτι ἀσπαζόμενοι, ὑπισχνούμενοι, κελεύοντες, εὐφημέοντες, εὐχόμενοι, ὀλολύζοντες, εὐαγγελιζόμενοι ἐς πᾶσαν ἴησιν ἀγαθοί· αἰάζοντες δὲ, ἢ κλαίοντες, ἢ συμπεπλεχότες τὰς χεῖρας, ἢ περιηγκωνισμένοι καὶ ἑξῆς, εἰς πᾶσαν ἰατρείην κακοί. Ε. (ἴδ. Θεοκρ. III, 64.).

Σ. 305. Ἐρυσίπτολι] Ἐρυσίπτολιν Ἀθηνᾶν ἐπεβόωντο, ἤγουν φύλακα πόλεως. Ε.

Σ. 307. Πρηνέα πεσεῖν] Ἡ εὐχὴ βούλεται φεύγοντα πεσεῖν τὸν ἥρωα, ἵνα μὴ εὐγενῶς ἀποθάνῃ ἀνδριζόμενος, καὶ οὕτω κατὰ στέρνων δεξάμενος τὴν πληγήν. Ε.

Σ. 311. Ἀνένευε] Ἰστέον δὲ, ὅτι τῇ ἀνανεύσει ἐναντίον ἡ ἐπίνευσις. Ε.

Σ. 320. Πόρκης] Τὸν μέν τοι κρίκον, ὃς περιθέει καὶ περιάγεται ἑλίσσον τὸ ξύλον, εἰς ὃ ἐμβέβληται ἡ αἰχμὴ, ὃν ἡ ἀπερινόητος γλῶσσα κουσπίον φησὶ, ἐκ μεταφορᾶς τοῦ περὶ τοὺς πόδας ξυλίνου δεσμοῦ, πόρκην ὁ Ὅμηρος καλεῖ· — ἐτυμολογεῖται δὲ ὁ πόρκης ἐκ τοῦ περικεῖσθαι, ἢ ἐκ τοῦ περιέχειν. Ε.

Σ. 321. Τεύχε' ἕποντα] Ταυτόν ἐστι τῷ ἀμφέποντα, περιέποντα, περὶ αὐτὰ πονούμενον. Ε.

Σ. 322. Ἀφόωντα] Ὅ ἐστι ψηλαφῶντα, χειριζόμενον, φιλοκαλοῦντα· — ἐκ δὲ τοῦ ἀφόω γίνεται καὶ τὸ ψηλαφῶ, λέξις αὕτη μουσική, ἐπεὶ καὶ κυρίως ἐπὶ χορδῶν τὸ ψηλαφᾶν λέ-

НБ ОНУ імені І.І. Мечникова

γεται, παρὰ τὸ τὸ ψαλτήριον ἀφᾶν. Ε. — ψηλαφῶντα ἢ λαμπρύνοντα. Σ.

Σ. 326. Οὐ μὲν καλά] Ἀντὶ τοῦ οὐ καλῶς, χόλον τόνδ' ἔνθεο θυμῷ, ἤγουν, ἐνέθου τῇ ψυχῇ. Καὶ σημείωσαι, ὅπως τὴν τοῦ ἀδελφοῦ δειλίαν συσκιάζων· καὶ μὴ ἀνέδην ἐξονειδίζων, χόλον αὐτὴν εὐσχημονέστερον λέγει, ὡς δῆθεν χολουμένου τοῦ Πάριδος κατὰ τῶν Τρώων, οἷα μισούντων αὐτὸν, καὶ διὰ τοῦτο ἐκδεδωκότων εἰς μονομαχίαν τῷ Μενελάῳ. Ε.

Σ. 335. Χόλῳ οὐδὲ νεμέσσει] Ἤγουν, εἰ καὶ ἐχολούμην, καθὰ καὶ σὺ λέγεις, τοῖς Τρωσὶν, ἔτι δὲ καὶ ἐνεμέσων, ἀλλ' οὐ τοσοῦτον διὰ ταῦτα ἐκαθήμην οἴκαδε, ἀλλὰ διὰ λύπην ἁπλῶς, θέλων ἄχεϊ προτραπέσθαι, ἤγουν χώραν, ἢ μᾶλλον ἐκτροπὴν δοῦναι τῇ λύπῃ. Ε. — Διὰ τὴν λύπην τοῦ δυσημερήματος ἤθελον ἀποτραπῆναι μικρὸν τῆς μάχης. Σ.

Σ. 337. Παρειποῦσα] Ταὐτόν ἐστι τῷ παραπείσασα. Ε.

Σ. 342. Ὣς φάτο] Ἴδ. Γ, 176.

Σ. 344. Ὀκρυοέσσης] Τραχείας καὶ φρικτῆς· καταστρέφει εἰς τὸ κακῆς καὶ ταλαιπώρου Σ. — Ὀκρυόεσσαν δὲ λέγει τὴν πολλοὺς νεκρώσασαν τοῖς δι' αὐτὴν πολέμοις καὶ κρυερῷ ᾅδῃ προπέμψασαν. Ε.

Σ. 351. Νέμεσίν τε καὶ αἴσχεα] Ἄφρων οὖν ὁ Πάρις, οὔτε νοήσας, ὅτι ὁ Ἕκτωρ αἰσχύνων αὐτὸν καὶ εἰρωνευόμενος εἰς χόλον ἐχρωμάτισε τὴν αἰτίαν τῆς αὐτοῦ ἀργίας, ἀλλὰ καὶ νεμεσᾶν εἰπὼν τοῖς Τρωσὶ, καὶ ἔοικε μηδὲ εἰδέναι τίποτε ἐστὶν ἡ νέμεσις. — Ἰστέον δὲ ὅτι τὸ μὴ νέμεσιν εἰδέναι καὶ αἴσχεα, χαρακτὴρ ἐστι ἤθους θρασέος καὶ οὐδὲ ἔμφρονος. Ε.

Σ. 352. Φρένες ἔμπεδοι] Ἐναντίον τῷ φρένες ἠερέθονται. Ε. — Ἀσφαλεῖς, βέβαιοι. Σ.

Σ. 353. Ἐπαυρήσεσθαι ὀΐω] Τουτέστιν οἴομαι αὐτὸν ἐπαπολαῦσαι ἑαυτοῦ δηλαδὴ καὶ ὧν φρονεῖ. Εὐφήμως δὲ τοῦτο ἐῤῥέθη κατὰ τὸ, ἵνα πάντες ἐπαύρωνται βασιλῆος (Α, 410.) Ε.

Σ. 354. Εἴσελθε] Ὅτι μέχρι τῆς αὐλῆς προεληλύθει. Σ. Β. — Ἐπὶ δίφρῳ] Ὅρα δὲ καὶ νῦν τὸν δίφρον, ἐπὶ θρόνου· ἐν δὲ Ὀδυσσείᾳ (Υ, 259.) καὶ ἀεικέλιος δίφρος εὕρηται, εἰς ὃν οἱ εὐτελέστεροι κάθηνται. Ε. (ἴδ. Γ, 262. Χ, 399. καὶ Ἀπολλόν. σελ. 227.).

Σ. 355. Ἀμφιβέβηκεν] Ἤγουν, κατέλαβε, περιῆλθεν· ὥστε οὐ πάντοτε ἡ λέξις τὸ σκέπειν καὶ βοηθεῖν δηλοῖ. Ε.

НБ ОНУ імені І.І. Мечникова

Σ. 358. Ἀοίδιμοι] Ὅτι τὸ ἀοίδιμος, μέση λέξις ἐστὶ, καὶ οὐκ ἀεὶ ἐπὶ ἐπαίνου λαμβάνεται·—ἐν ᾠδαῖς φερόμενοι ταῖς ἐπὶ δυσκλείᾳ δηλαδή. Ε.

Σ. 366. Οἰκῆας] Σημειοῦνται οἱ παλαιοὶ, καὶ νῦν οἰκῆας ῥηθῆναι οὐ μόνον δούλους, ἀλλὰ καὶ πάντας ἁπλῶς, τοὺς ἐν τῷ οἴκῳ. Ε. — Ἀσυμπαθοῦς γὰρ, τὸ ἐλθόντα μὴ ἰδεῖν· προύκρινε δὲ τῶν ἡδέων τὰ ἀναγκαῖα. Σ. Β.

Σ. 367. Ὑπότροπος] Ἔστι δὲ ὑπότροποι, ὁ ἐν κακῷ νοστήσας, καὶ σῶος ἐξ ὑποστροφῆς ἐπανελθών· — ἰστέον δ' ὅτι τα προϊὼν αὐτὸς ὁ ποιητὴς διασαφεῖ τὸ ὑπότροπος, εἰπών· οὐ γάρ μιν ἔφαντο ὑπότροπον ἐκ πολέμου ἵξεσθαι. Ε.

Σ. 361. Εὖρ' Ἀνδρομάχην] Ὅτι ἀνδρείαν γυναῖκα τὴν Ἀνδρομάχην Ὅμηρος ἐν διαφόροις ποιεῖ, ἧς καὶ αὐτὸ τοὔνομα, παρὰ τὸ ἀνδρεῖον καὶ μάχιμον φερωνύμως σύγκειται. Αὕτη καὶ νῦν ἀκούσασα τείρεσθαι τοὺς Τρῶας καὶ περὶ τῷ ἀνδρὶ δείσασα, πρὸς τεῖχος ἐπειγομένη ἀφικάνει, μαινομένη εἰκυῖα, καὶ πύργῳ ἐφειστήκει· ἡ δ' αὐτὴ καὶ ἐν τοῖς ἑξῆς στρατηγικῶς τὸ ποιητέον τῷ Ἕκτορι συμβουλεύει, τρόπον ὑποτιθεῖσα τῆς πρὸς Ἕλληνας παρατάξεως· — φίλανδρος ἡ Ἀνδρομάχη ὑπερλίαν. — Σημείωσαι δὲ καὶ ὅτι καινότερον ὁ ποιητὴς τὰς τῶν πραγμάτων περιπετείας διασκευάζων, οὐκ ἔκρινε δεῖν πλάσασθαι, ὡς τὴν Ἀνδρομάχην οἴκοι εὗρεν ὁ ἀνὴρ, ἁπλοῦν γὰρ τοῦτό γε καὶ οὐκ ἐπιστρεπτικὸν ἀκοῆς· ποιεῖ δὲ αὐτὴν ἔξω οὖσαν τοῦ οἴκου· τοῦτο δὲ πάνυ ἐπιστρέφει τὸν ἀκροατὴν, τάχα που καὶ ἀχθόμενον, εἴπερ ὁ καλὸς Ἕκτωρ, ἃ μὲν οὐ πάνυ ἔσεργεν, εὗρε· τὰ δὲ φίλτατα οὐχ εὑρίσκει. Ἐπεὶ δὲ οὐκ ἐχρῆν τοῦτο διόλου γενέσθαι· χρεία γὰρ καὶ τῆς Ἀνδρομάχης ἐνταῦθα ἐπὶ ῥητορείᾳ, μεθοδεύει ὁ ποιητὴς ἄλλως τὴν τοῦ ζητουμένου εὕρεσιν δεξιώτατα. Παλιννοστῶν γὰρ εἰς τὸν πόλεμον ἔτυχε τῆς ποθουμένης ἐντεύξεως, δι' ἧς ἱκαναὶ χάριτές τινες τῇ ποιήσει παρεισκριθήσονται. Ε.

Σ. 374. Τέτμεν] Ἀντὶ τοῦ συντόμως καὶ ὡς εἰπεῖν ἐν ἐπιτομῇ κατέλαβεν. Ε. — Κατέλαβεν, εὗρεν. Σ.

Σ. 378. Ἐς γαλόων] Κατὰ τὸ, ἐς διδασκάλων, ἵνα λέγῃ, ἐς δόμους γαλόων. — Δηλοῖ δὲ ἡ μὲν γάλως, τὴν τοῦ ἀνδρὸς ἀδελφὴν (Γ, 122. χ, 473.), ὁποία ἐστὶ τῇ Ἑλένῃ ἡ Κασάνδρα. Κατὰ δὲ Αἴλιον Διονύσιον καὶ τὴν τοῦ ἀδελφοῦ γυναῖκα·

НБ ОНУ імені І.І. Мечникова

πρὸς ἀλλήλας γάρ φησι λέγονται. — Εἰνατέρων] Ἡ δὲ εἰνάτειρ, τὴν σύννυμφον δηλοῖ, ὁποία ἡ Ἑλένη τῇ Ἀνδρομάχῃ. Ε.

Σ. 389. Μαινομένη] Τὸ δὲ μαινομένη ἐνθουσιᾶν δηλοῖ τὴν γυναῖκα πρὸς ὁρμὴν τῷ τοῦ ἀνδρὸς πόθῳ, οὗ ἡ ἐπίτασις μανίᾳ ἔοικε. Ε.

Σ. 394. Πολύδωρος] Ἤτοι πολλὰ δῶρα λαβοῦσα παρὰ τοῦ μνηστευσαμένου, ἢ πολλὰ δῶρα ἐπενεγκαμένη τῷ τοῦ ἀνδρὸς οἴκῳ. Σ. — Πολλὰ ἕδνα παρὰ τοῦ ἀνδρὸς λαβοῦσα. Σ. Β.

Σ. 396. Ὑπὸ Πλάκῳ] Γρανικὸς, οἱ δὲ Ἀτράμυς (ἴσ. Ἀτράμους, Ἀδραμύστις), Πελασγὸς τῷ γένει, ἀφίκετο ποτὲ ὑπὸ τὴν ἐν Λυκίᾳ Ἴδην· καὶ πόλιν κτίσας ἐνταῦθα, ἀφ' ἑαυτοῦ προσηγόρευσεν Ἀτραμύτειον. Γεννήσας δὲ θυγατέρα Θήβην τὸ ὄνομα, περὶ τὴν ἀκμὴν τοῦ γάμου ἔθετο γυμνικὸν ἀγῶνα, καὶ τὸν ταύτης γάμον τῷ ἀριστεύσαντι. Ἡρακλῆς δὲ κατ' ἐκεῖνο καιροῦ φανεὶς, ἔλαβε τὴν Θήβην γυναῖκα, καὶ κτίσας πόλιν ὑπὸ τὸ Πλάκιον καλούμενον ὄρος τῆς Κιλικίας, Πλακίαν Θήβην αὐτὴν ἀπὸ τῆς γυναικὸς ἐκάλεσεν· ἡ ἱστορία παρὰ Δικαιάρχῳ. Σ.

Σ. 397. Θήβη Ὑποπλακίη] Θήβην δὲ Ὑποπλακίην μὴ τὴν αὐτὴν μὲν τῷ Ἀτραμυτείῳ νομιστέον κατά τινας, ἐγγὺς δ' ὅμως ἐκείνου, καὶ ὡς εἰπεῖν Ἀτραμυτινὴν κατὰ χώρας περιοχήν. Ε. (ἴδ. Α, 366, Β, 691. καὶ χ, 479.).

Σ. 397. Κιλίκεσσ' ἄνδρεσσιν] Ἴδ. Α, 38. καὶ 336.

Σ. 398. Εἶχεθ' Ἕκτορι] Ἐγαμεῖτο. Σ.

Σ. 400. Νήπιον αὔτως] Γλυκανεῖ δὲ τὴν ποίησιν καὶ τὸ Βοεφύλλιον τοῦ Ἕκτορος· καὶ τὸ ὅλον εἰπεῖν, εὖ πεποίηται ὁ Ἕκτωρ ἀπελθὼν τῆς μάχης· ἱλαρύνθη γὰρ οὕτω τῆς ποιήσεως ἡ σκυθρωπότης καὶ ἀπονιψαμένη τοῦ λύθρου τῶν πιπτόντων τοῖς ἐπεισοδίοις διεγέλασεν. — Ἔστι δὲ ἀταλάφρων ὁ μὴ τάλας ἢ τλήμων, ἀλλ' ἔτι φρονεῖν ἀπαλός. Ε. — Ἀταλάφρονα] Ἀπαλὰ φρονοῦντα, (ἴδ. Σ, 567.) τουτέστι νήπιον, ἀνόητον, ἢ μὴ δυνάμενος τλῆναι κακοπάθειαν. Σ. — Τὸ δὲ αὔτως, εἰ μὲν ἀντὶ τοῦ οὕτω λαμβάνοιτο, περιττὸν κεῖται, ὃ καὶ ἄλλαι λέξεις πάσχουσιν· εἰ δὲ μάλιστα τὸ ὡσαύτως σημαίνει, ἐκ παραλλήλου ἑρμηνεύει κεῖσθαι τὸ ἀταλάφρονα, καὶ τὸ νήπιον, ἵνα εἴη ὁ παῖς καὶ ἀταλάφρων ὁμοίως καὶ νήπιος. Ε.

Σ. 401. Ἀγαπητὸν] Μονογενῆ. Σ.

Σ. 402. Σκαμάνδριον] Ὅτι ὁ Ἕκτωρ μὲν μετριοφρονῶν Σκα-

НБ ОНУ ім. І.І. Мечникова

μονδριον ἐκάλει τὸν παῖδα· — οἱ δὲ Τρῶες χάριτας εἰδότες τῷ προμάχῳ πατρὶ, Ἀστυάνακτα τὸν υἱὸν ἐκάλουν. Ε.

Σ. 404. Ἐς παῖδα] Πατρικὸν δὲ τὸ σχῆμα· προσαγορεύομεν γὰρ μειδιασμῷ τοὺς παῖδας, τοὺς μηδέπω μὲν λόγους συνιέντας, γνωρίζοντας δὲ ἤδη τὴν ὄψιν. Σ. Β.

Σ. 405. Δακρυχέουσα] Ὅρα ὅπως πιθανῶς ὁ ποιητὴς διαφόροις πάθεσι τὸ χωρίον τοῦτο κατεκέρασε, μειδιάματι, δάκρυσι, δέει, γέλωτι. Ε.

Σ. 407. Δαιμόνιε] Θαυμάζει μὲν, φασὶ, τὴν ἰσχὺν τοῦ ἀνδρὸς, τὸ δὲ θράσος οὐκ ἐπαινεῖ· ὃ καὶ ὀκνήσασα ὀνομάσαι διὰ τὸ δύσφημον, μένος εἶπεν ἀντ' αὐτοῦ. Οὐκοῦν ἀληθῶς μέσως ἐνταῦθα εἴρηται τὸ δαιμόνιε, ὥσπερ καὶ μετ' ὀλίγα τὸ δαιμονίη· — οὔτε γὰρ μακαριότητα μόνην, οὔτε μὴν ἀθλιότητα καταμόνας ἐν τούτοις ἐστὶ νοεῖν, ἀλλά τι κρᾶμα ἐξ ἀμφοῖν. Ε.

Σ. 408. Νηπίαχον] Ἰστέον δὲ καὶ ὡς διαφέρει νήπιος καὶ νηπίαχος — ὅτι νήπιος μὲν δηλοῖ, ὁτὲ μὲν ἡλικίαν, ὁτὲ δὲ ἦθος· νηπίαχος δὲ συνεμφαίνει τῇ ἡλικίᾳ καὶ τὴν βρεφικὴν ἰαχὴν, ἥτις ἐστὶ κλαυθμυρισμός (στ. 468.) — ἔρη δ' ἐν τούτοις περὶ Ἀστυάνακτος τὸ μὲν νήπιος ὁ ποιητὴς ἀπαθῶς· τὸ δὲ νηπίαχος ἡ μήτηρ Ἀνδρομάχη περιπαθῶς. Ε.

Σ. 409. Σεῦ ἔσομαι] Ἐντελῶς δὲ πέφρασται τὸ χήρη σευ· ἡ γὰρ χήρα τινός ἐστι χήρα. Ε.

Σ. 411. Ἀφαμαρτούσῃ] Ἀποτυχούσῃ, ἀφαιρεθείσῃ. Σ. — ἀρίστη λέξις ἐπὶ ἀνδρὸς φίλου θανάτῳ. Ε.

Σ. 412. Θαλπωρή] Χαρὰ, ἡδονὴ, παραμυθία. Σ. — ἡ θάλπουσα ἡδονή· ἢ ἀντίκειται τὸ, ὡς εἰπεῖν, ψυχρὰ ἄχεα. Ε.

Σ. 413. Ἀλλ' ἄγε] Ὅτι Ἀνδρομάχη τὰ κατὰ τοὺς οἰκείους γονεῖς διηγεῖται τῷ Ἕκτορι καὶ ταῦτα πάντως εἰδότι, παρέλκον τι καὶ αὐτὴ ποιοῦσα κατὰ γυναικείαν ἀφέλειαν· — οὐ γάρ ἐστι φασὶν ἀναλογισμὸς τοῦ δέοντος ἀσθενούσαις ψυχαῖς ἢ πενθούσαις καὶ τεταραγμέναις. Ἔτι δὲ οἱ ἀτυχοῦντες φιλοῦσι καὶ πρὸς εἰδότας ἀδολεσχεῖν· καὶ ἄλλως δὲ, τῷ φιλοπενθεῖ συγχωρητέον μακρολογεῖν. Ε. — οἶκτον ἐπάγεται ἀντὶ πάντων αὐτὸν λέγουσα ἔχειν· ἐλεοῦμεν γὰρ μᾶλλον τοὺς ἡμῶν μόνον ἠρτημένους. Σ. Β.

Σ. 417. Ἐξενάριξε] Σημείωσαι δὲ καὶ, ὡς ἐνταῦθα φανερῶς ἐδήλωσεν, ὅτι ἐναρίζειν οὐ τὸ κτείνειν ἐστὶν, ἀλλὰ τὸ σκυλεύειν· (ἴδ. Λ, 191. καὶ Φ, 485.) — ἔνθα ὅρα καὶ ὅπως ὁ Ἀχιλ-

НБ ОНУ імені І.І. Мечникова

λεὺς τὴν τοῦ πολεμίου Ἠετίωνος ἀρετὴν ᾐδέσατο, τιμήσας ἐκεῖνον μετὰ θάνατον· τὸ γὰρ σεβάσσατο, ἀντὶ τοῦ ἐτίμησεν. Ε.

Σ. 419. Ἐπὶ σῆμ' ἔχεεν] Ἤγουν διὰ χώματος ὑψηλοῦ ἐσήμανε τὸν τόπον τῆς ταφῆς· — αἱ δὲ πτελέαι προσήκουσι νεκρῶν καὶ αὐταὶ μνήμασι, διὰ τὸ ἄκαρπον, καθὰ καὶ αἱ ἰτέαι. Ε.

Σ. 420. Νύμφαι Ὀρεστιάδες] Νύμφαι δὲ Ὀρεστιάδες φυσικαὶ φυτικαὶ νοοῦνται δυνάμεις, διοικοῦσαι τὰ φυόμενα ἐκ γῆς, καὶ εἰς αὔξην προκαλούμεναι καὶ ἁδρύνουσαι δι' ὑγρότητος καὶ θερμότητος τὰ ἐν ὄρεσι καὶ ἄγρια· ὧν εἶδος καὶ αἱ πτελέαι. Ε.

Σ. 421. Ἑπτὰ κασίγνητοι] Σημείωσαι δὲ καὶ, ὅτι προσθήκη τις πένθους τῇ Ἀνδρομάχῃ, οὐ μόνον ὅτι ἑπτὰ ἔπεσον αὐτῇ ἀδελφοὶ, ἀλλ' ὅτι καὶ ἐν ἰῷ, ἤγουν ἑνὶ ἤματι, καὶ ὅτι οὐδὲ μαχόμενοι ἔπεσον, ἀλλ' ἐπὶ βουσὶ καὶ ὀΐεσσιν. Ε.

Σ. 424. Βουσὶν ἐπ' εἰλιπόδεσσι] Ὥστε βουκολοῦντες παλαιῷ ἔθει, καὶ ὄϊς νέμοντες, ἐκεῖνοι ἔπεσον ὑπὸ τῷ Ἀχιλλεῖ. (στ. 25.) Ε.

Σ. 429. Ἀτὰρ σύ μοι] Ὅτι πάνυ περιπαθὴς καὶ ἐνδιάθετος ὁ τῆς Ἀνδρομάχης ὅλος πρὸς Ἕκτορα λόγος, καὶ μάλιστα ὁ μετὰ τὴν εἰρημένην συγγενικὴν ἱστορίαν, ἐν ᾧ μόνου τοῦ Ἕκτορος ἑαυτὴν ἐξαρτῶσα, καὶ οὕτως εἰς οἶκτον κινοῦσα, οὕτω φησίν· Ἕκτορ, ἀτὰρ σύ μοι ἐσσὶ πατὴρ. κ.τ.λ. Ε. (Σοφοκλ. Αἴα. στ. 485.).

Σ. 431. Ἀλλ' ἄγε] Ὅρα δὲ, ὅπως κἀνταῦθα περίνους ὁ ποιητὴς καὶ ποικίλος. Ἑλένη μὲν γὰρ ἐκπέμπει τὸν ἄνδρα εἰς μάχην, τάχα που καὶ ἐπευχομένη θάνατον. Ἀνδρομάχη δὲ τὸν οἰκεῖον κατέχει ὡς ῥιψοκίνδυνον. Ε.

Σ. 433. Ἐρινεὸν] Ἐρινεὸς δὲ, μέρος τι τοῦ τείχους κατά τινας, ἔχον παραπεφυκότας ἐρινεούς· οἱ δὲ τοιοῦτοι οὐκ ἀκριβῶς λέγουσιν· ὁ μέν τοι Γεωγράφος (ΙΓ, 411. στ. 43.) Οὕτω περὶ τούτου φησίν· ὁ ἐρινεὸς, τραχύς ἐστι τόπος ἐρινεώδης, τῷ μὲν ἀρχαίῳ κτίσματι ὑποπεπτωκὼς, τῆς δὲ νῦν πόλεως ἀφεστηκώς. Ε.

Σ. 434. Ἄμβατος] Ἀνάβασιν ἔχουσα ὁδός. Σ. — Ἐπίδρομον] Τὸ εὐάλωτον, ὅθεν ἐστὶν ἐπιδραμεῖν καὶ ἐπιβῆναι· ἵνα καὶ τὸ ἐπίδρομον εἴη πως, ἄμβατον. Ε.

Σ. 438. Θεοπροπίων εὖ εἰδώς] Ἀποβάλλει ταῦτα προσω-

НБ ОНУ імені І.І. Мечникова

κονομῶν, ὡς κατὰ τοῦτο τὸ μέρος εἵμαρτο ἁλῶναι τὴν Ἴλιον. Σ. Β.

Σ. 442. Τρωάδας] Χεῖρον γὰρ, παρὰ γυναιξὶν ἀκούειν δειλόν. Σ. Β.

Σ. 443. Ἀλυσκάζω] Ἐκκλίνω, ἐκφεύγω. Σ.

Σ. 448. Ὀλώλῃ] Οὐκ ἐκφοβεῖ, ἀλλὰ πρὸς τὸ μέλλον εὐπαράμυθον ποιεῖ· οὐχ ὁρίζει δὲ τὸν χρόνον τῆς ἁλώσεως· ὧν γὰρ δεινῶν χρόνος οὐχ ὁρίζεται· τούτων ἧττον ἐλύπησεν ἡ προσδοκία, ὥσπερ ἐστὶν ἰδεῖν καὶ ἐπὶ τοῦ θανάτου· προειδότες γὰρ, ὅτι τεθνηξόμεθα, διὰ τὸ μὴ εἰδέναι τὸ πότε, ἧττον ἀχθόμεθα. Σ. Β. (Ἴδ. Δ. 164.).

Σ. 456. Πρὸς ἄλλης] Ἐπ' ἄλλης, (ἴσ. ἐπ' ἄλλῃ, ἢ ὑπ' ἄλλης) τουτέστιν ἐπὶ δεσποίνῃ. Σ. Ἰστέον δὲ, ὅτι τὸ ἐν Ἄργει, κρεῖττον δὲ εἰς τὸ Θετταλικὸν ἐκλαβέσθαι αὐτὸ, ἵνα μὴ διεσπασμένως οὕτω ἐν ἄλλῳ μὲν τόπῳ, τῇ Πελοποννήσῳ δηλαδὴ, σημαίνηται τὴν Ἀνδρομάχην ὑφαίνειν ἱστὸν, ἐν ἑτέρῳ δὲ ὑδροφορεῖν, ἐν τῇ Θετταλίᾳ δηλονότι. Θετταλικαὶ γὰρ εἶναι κρῆναι μεμαρτύρηνται ἥ, τε Μεσσηῒς, καὶ ἡ Ὑπέρεια, περὶ τὴν ἐν Βοιωτίᾳ ῥηθεῖσαν Ἑλλάδα οὖσαι· ὧν ἡ Ὑπέρεια πλησίον Φερῶν, πόλεως Θετταλικῆς, κατὰ τὸν Γεωγράφον. (Θ, σελ. 302, στ. 46.). Ε.

Σ. 457. Ὕδωρ φορέοις] Ὅτι κατὰ τὸ προστυχὸν οὕτως εἰπόντος Ὁμήρου, οἱ νεώτεροι τῷ ὄντι ὑδροφοροῦσαν εἰσάγουσιν αὐτήν. Σ. Β.

Σ. 458. Ἀεκαζομένη] Ἄκουσα καὶ μὴ βουλομένη. Σ. Τέτακται μὲν ἡ δουλεία εἰς ὑδροφορίαν καὶ ἱστουργίαν· θαῤῥῶν δὲ τῇ σωφροσύνῃ αὐτῆς, ὅτι οὐκ ἂν ὑπομείνειεν ἑκουσίως προδοῦναι ἑαυτῆς τὸ σῶμα, ἑτέρου ἀνδρὸς οὐ μέμνηται. Σ. Β. — Κρατερὴ δ' ἐπικείσετ' ἀνάγκη] Κρατερὴ δ' ἀνάγκη, ἡ κατὰ τὸ ἀκούσιον. Ε.

Σ. 460. Ἕκτορος ἥδε γυνὴ] Ὅρα δὲ καὶ τὴν συντομωτάτην ἠθοποιΐαν· δυσὶ γὰρ ἔπεσι περιγέγραπται, ὅτι μηδὲ ἀνεχώρει πολυλογεῖν τὸν εἰπόντα ταύτην Ἕκτορα, οἷα εἰς ἄγαν σπεύδοντα. Ε.

Σ. 463. Χήτεϊ] Στερήσει, σπάνει. Σ. (Ἴδ. Β. Ἀπολλόν. σελ. 711.) — Δούλιον ἦμαρ] Δούλιον δ' ἦμαρ περιφραστικῶς αὐτὴ ἡ δουλεία, ὥσπερ καὶ ἐλεύθερον ἦμαρ ἀνωτέρω (στ. 455.) ἡ ἐλευθερία. Ε.

Σ. 464. Χυτὴ γαῖα] Τὸ χῶμα, ἤτοι ὁ κατὰ τύμβον ἀνα-

НБ ОНУ імені І.І.Мечникова

χωματισμός· χυτὴ γὰρ, φασὶν, οὐχ ἁπλῶς ἅπασα γῆ, ἀλλ' ἡ ἐπὶ νεκροῖς χεομένη. Ε.

Σ. 465. Ἑλκηθμοῖο] Ἑλκηθμὸς, βίαιος τῶν γυναικῶν ἑλκυσμός. Ε. — Ἀνδραποδισμοῦ, τουτέστιν αἰχμαλωσίας. Σ.

Σ. 466. Ὀρέξατο] Ἐξέτεινε τὰς χεῖρας, ἢ ἐλάβετο. Σ. — Ἤγουν ἐκταθεὶς ἥψατο. Ὅτι πάνυ ἀφελῶς καὶ γλυκέως φράζει Ὅμηρος, ὡς ἐν γραφικῇ ὄψει, ὅπως τὸν πατέρα ὡπλισμένον ἰδὼν τὸ βρέφος Ἀστυάναξ διετέθη· — ὅθεν καὶ οὐκ ἄλλως ἤθελε φιληθῆναι τῷ πατρὶ ὁ παῖς, εἰ μὴ κόρυθος γυμνώσας τὴν κεφαλὴν γνωρισθείη, αὐτὸς ὁ πατὴρ εἶναι. Ε.

Σ. 467. Κόλπον] Κόλπος δὲ καὶ νῦν κατὰ τοὺς παλαιοὺς, ἡ ἀγκάλη· σημαίνει δέ ποτε καὶ τὸ ἄνω τοῦ πέπλου. Ε. (ἴδ. Χ, 80.).

Σ. 468. Πατρὸς φίλου ὄψιν] Ἐν δὲ τῷ πατρὸς ὄψιν ἀτυχθεὶς λείπει πρόθεσις ἢ πρὸς ἢ διὰ, ἵνα λέγῃ, ὅτι ταραχθεὶς ἢ ἐκπλαγεὶς διὰ τὴν ὄψιν, ἢ πρὸς τὴν ὄψιν τοῦ πατρός· διὸ καὶ ἐν τῷ, ἵπποι ἀτυζόμενοι πεδίοιο, (στ. 38.) λείπει τοιοῦτόν τι· ἵνα λέγῃ, ὅτι ταρασσόμενοι ἐπὶ πεδιάδος, διὰ στέρησιν ἡνιόχου, ἢ πτοίαν τινά. Ε. — Καὶ χωρὶς μέν τινος μορμολύττοντος δυσαποσπάστως ἔχουσι τῶν τροφῶν· τοῦτον δὲ καὶ ἡ ὄψις φοβεῖ· οὕτως δέ ἐστιν ἐναργείας μετὰ τὰ ἔπη, ὅτι οὐ μόνον ἀκούεται τὰ πράγματα, ἀλλὰ καὶ ὁρᾶται. Λαβὼν δὲ τοῦτο ἐκ τοῦ βίου ὁ ποιητὴς, ἄκρως περιεγένετο τῆς μιμήσεως· πρῶτος δὲ παῖδας ἐν τραγῳδίᾳ εἰσάγει. Σ. Β.

Σ. 471. Ἐγέλασσε] Ἐξεγέλασε· ἀντὶ τοῦ πάνυ ἐγέλασε, πρὸς διαστολὴν τοῦ πρὸ μικροῦ μειδιάματος. Ε.

Σ. 474. Κύσε] Τὸ δὲ κύσεν, ἤγουν ἐφίλησεν, καὶ τὸ πῆλε χερσὶν, ἤγουν διεκίνησεν εἰς ἀέρα ὧδε καὶ ἐκεῖ, ἀφέλειαν ὑπογράφει πατρὸς φιλόπαιδος καταμόνας χειριζομένου φίλον βρεφύλλιον. Ε. — Πῆλε] Ἀνέπαλλε καὶ ἀνέσειεν. Σ.

Σ. 477. Ἀριπρεπέα] Ἐκπρεπῆ, ἐπίσημον. Σ. (ἴδ. Σοφοκ. Αἴα. στ. 550.).

Σ. 478. Ἶφι ἀνάσσειν] Εὐχή ἐστι τοῦ φερωνυμηθῆναι τὸν Ἀστυάνακτα κληθέντα παρὰ τὸ ἄστεος ἀνάσσειν. Ε.

Σ. 479. Πολλὸν ἀμείνων] Ἰστέον δὲ, ὅτι φύσει οἱ ἄνθρωποι τῶν μὲν ἄλλων οὐδενὸς ἐθέλομεν ἐκπίπτειν δεύτεροι, τῶν εἰκαίων δὲ παίδων ὕστεροι παραπολὺ ἐρχόμενοι, χαίρομεν·

НБ ОНУ імені І.І. Мечникова

ὅθεν καὶ ὁ πατὴρ Ἕκτωρ πρῶτα μὲν, ὅμοιον αὐτῷ εὔξατο γενέσθαι τὸν παῖδα, εἶτα καὶ πολλῶν ἀμείνονα. Ε.

Σ. 480. Ἐκ πολέμου ἀνιόντα] Τὸ ἑξῆς, καὶ ποτέ τις εἴπῃ ἐκ πολέμου ἀνιόντα, καὶ οὐ λείπει τὸ ἰδὼν, ἀλλ' ἐςι συνήθης ἡ φράσις Ἀττικοῖς· — αὐτὸς Ὅμηρος ἀλλαχοῦ· ἤχθετο γάρ ῥα Τρωσὶ δαμναμένους· (Ν, 352.)· ἤλλακται δὲ πτῶσις, ἀντὶ τοῦ, ἐκ πολέμου ἀνιόντος. Σ. Β. — Βροτόεντα] Ἡμαγμένα· βρότος γὰρ τὸ ἀπὸ τοῦ φόνου αἷμα, ἢ ἡματωμένα. Σ.

Σ. 483. Κηώδεϊ] Εὐώδει. Σ.

Σ. 484. Δακρυόεν γελάσασα] Δυνατῶς καὶ σοφῶς ῥηθὲν, ὡς ἀνερμήνευτον πεφώραται· ἔςι δὲ εὐπρεπές· οὐ γὰρ ὡς ἁπλοῦν τὸ πάθος, ἀλλὰ σύνθετον ἐξ ἐναντίων παθῶν, ἡδονῆς καὶ λύπης· εἰς γέλωτα μὲν γὰρ αὐτὴν προσήγαγε τὸ βρέφος, εἰς δάκρυον δὲ, ἡ περὶ τοῦ Ἕκτορος ἀγωνία. Σ. Β.

Σ. 486. Μή μοί τι λίην] Τὸ δὲ μή μοί τι διακόπη, τὸ γὰρ συνεχὲς, μή τί μοι λίην ἀκαχίζεο, ἀντὶ τοῦ μηδαμῶς. Ε. — Ἀκαχίζεο] Ἄχθου, λυποῦ. Σ.

Σ. 490. Ἀλλ' εἰς οἶκον] Οἰκονομικῶς δὲ ἐποίησε τὸν Ἕκτορα ἐπιτρέποντα αὐτῇ οἰκουρεῖν, ἵνα μὴ κατὰ τὴν πρὸς τὸν Ἀχιλλέα μάχην ὀφθεῖσα ἐπὶ τοῦ τείχους, πείσῃ αὐτὸν μὴ πολεμεῖν. Σ. Β. — Κόμιζε] Ταὐτὸν τὸ ἐν οἴκῳ ἔργα κομίζειν, καὶ τὸ οἰκουρεῖν· ἔςι δὲ κομίζειν, τὸ ἐπιμελείας ἀξιοῦν, ἐξ οὗ καὶ ἡ κομιδή. — Ἰςέον καὶ ὅτι ἡ νῦν ῥηθεῖσα παραίνεσις ἔπεισε τὴν Ἀνδρομάχην οἰκουρεῖν, καὶ μηκέτι ἐξελθεῖν εἰς τὸν πύργον, ὡς, εἴγε ἐξῆλθεν ἐν τοῖς ἑξῆς, οὐκ ἂν ἠνέγκεν ἰδοῦσα τὸν Ἕκτορα νεκρὸν ἑλκόμενον, μὴ οὐχ ἑαυτὴν καταῤῥίψαι τοῦ πύργου· ὅπερ οὐκ ἔχων καθ' ἱςορίαν ποιῆσαι Ὅμηρος, μὴ καὶ εἰς κακόζηλόν τι ἀπεκβῇ, κατέσχεν αὐτὴν ἔσω τοῦ οἴκου ἀπὸ τὴν ἄρτι πειθαρχήσασαν τῷ ἀνδρί. Ε.

Σ. 491. Ἠλακάτην τε] Ἠλακάτη, τὸ τῶν γυναικῶν ἐργαλεῖον, ᾧ περιελίσσουσι τὸ ἔριον. Σ. — Διαφέρει τὰ ἠλάκατα τῆς ἠλακάτης· καὶ ἡ διαφορὰ ἥδε, ἡ μὲν γὰρ ἠλακάτη δηλοῖ τὸ ξύλον, εἰς ὅπερ εἱλοῦσι τὸ ἔριον αἱ νήθιδες, ἠλακάτη (ἀνάγν. ἠλάκατα) δὲ, αὐτὰ τὰ ἔρια περιειλούμενα τῇ ἠλακάτῃ. Σ. Β.

Σ. 496. Ἐντροπαλιζομένη κ. τ. λ.] Ὅτι οὕτω φίλανδρος ἡ Ἀνδρομάχη, ὥστε καὶ ὑποχωροῦντι τῷ Ἕκτορι συναφέπεταί πως καὶ οἷον συνεκδημεῖ, τῇ ὁράσει ἐχομένη αὐτοῦ· φησὶ γὰρ, ὅτι οἶκονδε βεβήκει ἐντροπαλιζομένη, ἤτοι συχνὰ ἐπιςρεφομένη·

НБ ОНУ імені І.І. Мечникова

— ἀπάγει μὲν γὰρ αὐτὴν ἡ παραίνεσις, ἐπιστρέφει δὲ ἡ εὔνοια· καὶ ἔσω γενομένη θρῆνον παρὰ ταῖς ἀμφιπόλοις ἁπάσαις ἤγειρε ζῶντα ὀδυρομέναις τὸν Ἕκτορα. Ε. — Ἐντροπαλιζομένη κατ' ὀλίγον καὶ συνεχῶς ἐπιστρεφομένη. Σ. — Θαλερὸν δάκρυ] Ἴδ. Β, 266.

Σ. 499. Γόον ἐνῶρσεν] Ἡ διηγησαμένη, ἢ ἀπὸ τῶν ἰδίων δακρύων· ηὔξησε δὲ τὸ συμπαθὲς διὰ τοῦ παρανόμου θρήνου· κλαίουσι γὰρ ἔτι ζῶντα. Σ. Β. (Ἰλ. Α, 280).

Σ. 503. Οὐδὲ Πάρις] Ὅτι τὸν Πάριν ἀναπαυσάμενον εἶτα κατόπιν τοῦ ἀδελφοῦ σπουδαίως εἰς μάχην ἐξορμήσαντα, ἵππῳ εἰκάζει στατῷ, ὃς εἰωθὼς λούεσθαι ἐπὶ ποταμοῦ καὶ ἐν τῷ ἵστασθαι ἀναπολήσας φαντασικῶς τὰ λουτρὰ καὶ ποθήσας, θέει διὰ πεδίου ἀποῤῥήξας τὰ δεσμά. — Δήθυνεν] Ἤγουν δηθὰ καὶ ἐπὶ πολὺ διέτριψε, καὶ ὡς εἰπεῖν, ἐβράδυνεν ἐν ὑψηλοῖς δόμοισι μετὰ τὸν Ἕκτορα. Ε.

Σ. 506. Ὡς δ' ὅτε τις στατὸς ἵππος] Σημείωσαι, ὅτι γραφικῶς ἤτοι ὡς ἐν ζωγραφίας τύπῳ φράζει καὶ τὴν τοῦ ἵππου παραβολὴν ὁ ποιητής· ἢ γὰρ ὦ οὗτος ἀκούων ταῦτα, οὐ δοκεῖς ἵππον ὁρᾶν κροαίνοντά τε καὶ κυδιόωντα, ὁποῖα τὰ τῶν εὐγενῶν ἵππων, οἳ καὶ αἰσθάνονται τῆς ἑαυτῶν ἀγλαΐας ἕκαστος· εἶποις δ' ἂν καὶ ἀγέρωχον κεφαλὴν βλέπειν ὑψοῦ αἰρομένην, καὶ χαίτας ἀγαθοῦ ἵππου ἐν τῷ οὕτω θέειν ἐπικυμαινομένας τοῖς ὤμοις. — Ἰστέον δὲ, ὅτι πρὸς μόνην προθυμίαν ἡ παραβολὴ καὶ σπουδὴν δρόμου. — Στατὸς δὲ ἵππος, ὁ τῆς ἀγέλης ἀποσπασθεὶς καὶ ἐν φάτνῃ ἐφ' ἱκανὸν στὰς καὶ ἀναπαυθείς. Ε. — Ὁ ἑστὼς ἐπὶ πολὺν χρόνον. Σ. — Ἀκοστήσας] Ἀκοστῆσαι δὲ, τὸ πολυκριθῆσαι, κατὰ τοὺς παλαιοὺς, ἤγουν τὸ κριθιάσαι· ἀκοσταὶ γὰρ αἱ κριθαί· ὅπερ φασὶν ἐξ Ὁμήρου μὲν οὐ δείκνυται· παρὰ δέ γε Νικάνδρῳ καὶ ἄλλοις κεῖται. Οἱ δὲ παλαιοί φασι καὶ πάσας τὰς τροφὰς παρὰ Θεσσαλοῖς, ἀκοστὰς λέγεσθαι· ἄλλοι δὲ ἀκοστῆσαί φασι, τὸ σχεῖν ἄχος ἐν τῷ ἵστασθαι. Ε. — Ἄκος τῆς στάσεως λαβὼν, τουτέστι ἴαμα· κυρίως δὲ πᾶσαι αἱ τροφαὶ ἀκοσταὶ καλοῦνται· — βέλτιον δὲ, δυσχεράσας (ἀνάγν. δυσγεράνας) ἐπὶ τῇ τῆς φάτνης στάσει. Σ.

Σ. 507. Δεσμὸν ἀποῤῥήξας] Δεσμὸς οὖν Ἀλεξάνδρου ἡ Ἑλένη νοηθήσεται. Σ. Β. — Πεδίοιο] Τὸ δὲ πεδίοιο, ἢ τῷ θέειε συντακτέον, ἵνα λέγῃ, θέει διὰ πεδίου, ἢ τῷ κροαίνων, ἵνα ᾖ, κατὰ πεδίου κροαίνων, ὅ ἐστι κρούων καὶ κροτῶν κατὰ τῆς πα-

НБ ОНУ імені І.І. Мечникова

διάδος. Ε. — Κροαίνων] Ἐπικρούων τοῖς ποσὶν, ἢ ἐπιθυμῶν, ἢ χρεμετίζων. Σ. — Ὑψηχῶν, ἐριγδουπῶν, κυμβαλίζων. Σ. Β.

Σ. 508. Λούεσθαι] Ὅτι δὲ φιλεῖ λούεσθαι ὁ ἵππος, δηλοῖ καὶ Ἀριστοτέλης, ἀγρψας, ὅτι φιλόλουτρον ζῶον ὁ ἵππος καὶ φίλυδρον καὶ χαίρει λειμῶσι καὶ ἕλεσι. Ε.

Σ. 509. Κυδιόων] Γαυριῶν, ἐπαιρόμενος. Σ. — Ἵππος δὲ κυδιᾷ, οὗ ἡ κεφαλή τε ὑψοῦ αἴρεται, καὶ αἱ χαῖται ὤμοις ἀίσσονται. Ε.

Σ. 510. Ἀγλαΐηφι] Τῷ κάλλει τοῦ σώματος. Σ.

Σ. 511. Ἤθεα] Τοὺς συνήθεις τόπους. Σ.

Σ. 513. Ὡς ἠλέκτωρ] Ἠλέκτωρ δὲ, ἀντὶ τοῦ ἥλιος (ἴδ. Τ, 398.) — παρὰ τὸν χρυσοφαὴ ἤλεκτρον. Ε. — Ἠλέκτωρ, ἐπιθετικῶς, ὁ ἥλιος. Σ. Β.

Σ. 516. Ὀάριζε] Τουτέστι διὰ λόγων ὡμίλει. Ε. (ἴδ. Χ, 126.).

Σ. 518. Ἤθεῖ] Ἠθεῖε. (ἴδ. Χ, 229.)·

Σ. 519. Ἐνταῦθα δὲ κεῖται καὶ τὸ ἐναίσιμον ἀντὶ τοῦ καθῆκον· — μετ᾽ ὀλίγα δὲ τὸν δίκαιον ἢ συνετὸν ἡ λέξις δηλοῖ. Ε.

Σ. 521. Ἐναίσιμος] Ὁ κατὰ τὸ δέον φρονῶν. Ε.

Σ. 523. Ἑκὼν μεθίεις] Ἤγουν ἀμελεῖς. Ε. (μεθιεῖς).

Σ. 524. Ἀκούω] Λυποῦμαί φησι, λογιζόμενος, ὅταν κατά σου ὕβρεις ἀκούω· τοῦτο δὲ λέγει διὰ τὸν τοῦ Σαρπηδόνος λόγον. Σ. Β.

Σ. 526. Ἀρεσσόμεθα] Ἤγουν ὕστερον φιλιωσόμεθα, ἐκ τοῦ ἀρῶ, ἀρέτω, ἤγουν εἰς φιλίαν συναρμόττω. Ε. — Ἁρμοσόμεθα, ἢ πρὸς Τρῶας, ἢ πρὸς ἀλλήλους. Τοῦτο δὲ παρ᾽ Ὁμήρῳ φασὶν οἱ μετὰ τὸ ἀδικῆσαι εἰς εὐμένειαν προτρεπόμενοι τὸν ἀδικηθέντα. Σ. Β.

Σ. 528. Κρητῆρα στήσασθαι ἐλεύθερον] Ὃν εἰώθασι τῷ Διὶ ὑπὲρ ἐλευθερίας ἱστάναι κρατῆρα οἱ τοὺς πολεμίους ἀπωσάμενοι. Σ. — Σημείωσαι δὲ καὶ ὅτι ἐκ τοῦ στήσειν κρατῆρα, τὸ πιεῖν δηλοῦται, ὡς καὶ ἐκ τοῦ στήσειν τράπεζαν, τὸ φαγεῖν. Ε.

Σ. 529. Ἐλάσαντες] Μεγαλοφυῶς, ἵνα μὴ εἴπῃ, φόβων ἀπηλλαγμένους. Σ. Β.

# ΣΧΟΛΙΑ

## ΕΙΣ ΤΗΝ

# ΤΟΥ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ.

## ῬΑΨΩΙΔΙΑ, Ἢ ΓΡΑΜΜΑ Η.

Σ. 3. Μέματαν] Τοῦ δὲ μέματαν θέμα οὐ τὸ μαιμῶ, οὗ ὁ μέλλων μαιμήσω, ἀλλὰ τὸ μῶ, τὸ πρωτότυπον τοῦ μαιμῶ· οὐ γὰρ ἀξύμβατα τὸ μῶ, ἤγουν ζητῶ, καὶ τὸ μῶ, ὅ ἐστι προθυμοῦμαι. Ε.

Σ. 4. Ἐελδομένοισιν] Ἐπιθυμοῦσιν. Σ.

Σ. 5. Ἐπὴν κεκάμωσιν εὐξέστῃς ἐλάτῃσι] Ὅτι ὅπερ ὁ φορὸς ἄνεμος τοῖς πλέουσι, τοῦτο καὶ οἱ στρατηγοὶ τοῖς στρατιώταις γίνονται παρόντες, τὸ πολὺ τοῦ καμάτου αὐτοῖς παραιρούμενοι, ὡς καὶ ὁ ἄνεμος τοῖς ἐλαύνουσι· — εὐξέσται δὲ ἐλάται αἱ κῶπαι, πρὸς διαστολὴν τοῦ φυτοῦ. Εὐστάθ. — Ἐλάτῃσι] Ταῖς κώπαις, ὅτι ἐξ ἐλατίνων ξύλων κατεσκευάζοντο. Σ.

Σ. 9. Ἄρνῃ] Ἰδ. Β, 507. — Κορυνήτης] Ἐπιθετικῶς ὁ Ἀρηΐθοος ὁ τῇ κορύνῃ μαχόμενος, τοῦτ᾽ ἔστι ῥοπάλῳ. — Ἀρηΐθοος ὁ Βοιωτὸς ἄριστος τῶν κατ᾽ αὐτὸν ἀνθρώπων, διαβὰς εἰς Ἀρκαδίαν· ἦν γὰρ ἀψιμαχία τις ἐκεῖ Ἀρκάσι καὶ Βοιωτοῖς τοῖς αὐτοῦ πολίταις περὶ ὅρων γῆς· πλείστην ἐντεῦθεν κατεσύρατο λείαν. Καταφρόνησιν δὲ αὐτοῦ μεγάλην ἐμβαλόντος τοῖς Ἀρκάσιν, Λυκοῦργος ὁ τῶν ἐνταῦθα κράτιστος ἀνὴρ λόχον καθίσας, αὐτόν τε ἀνεῖλε, καὶ τὴν πανοπλίαν αὐτοῦ μετὰ τῆς κορύνης ἔλαβε, καὶ τὴν λείαν ἐπανεσώσατο· ἡ ἱστορία παρὰ Φερεκύδῃ. Σ.

НБ ОНУ імені І.І. Мечникова

Σ. 12. Ὑπὸ στεφάνης] Ὅτι στεφάνη περικεφαλαίας εἶδος· φησὶ γοῦν βάλεν ἔγχεϊ αὐχένα ὑπὸ στεφάνης, ἤγουν ὑποκάτω τῆς στεφάνης· καὶ κόσμον δέ ποτε γυναικεῖον ἡ τοιαύτη λέξις δηλοῖ· τίθεται δὲ καὶ ἐπὶ ἐξοχῆς ὄρους, ὡς ἐν τῷ, ὅν τε κατὰ στεφάνης ποταμὸς χειμάῤῥοος ὦσῃ (Ν, 138,) καὶ στεφάναι δὲ πύργων παρὰ τοῖς ῥήτορσι λέγονται. Ε. — Εἶδος περικεφαλαίας, ἐξοχὴν ἔχον· ἡ δὲ μεταφορὰ ἀπὸ τῆς τῶν ὀρῶν στεφάνης. Σ. Β. — Ὅτι ἀνωτέρω μὲν ἔφη, καμάτῳ ὑπὸ γυῖα λέλυνται μετὰ τῆς ὑπὸ προθέσεως ἐπὶ κεκμηκότων ἀνθρώπων· ἐνταῦθα δὲ, ἔλυσε γυῖα φησιν, ἀντὶ τοῦ ἀνεῖλεν, ἀπὸ τοῦ παρακολουθοῦντος· λύεται γὰρ τὰ μέλη τῷ πίπτοντι.

Σ. 15. Δεξιάδην] Εἴτε ὄνομα πατρωνυμικὸν τὸ Δεξιάδην, εἴτε ποιότητος, ἢ τόπου ἐπίῤῥημα, δύναται καὶ τοῖς ἄνω καὶ τοῖς ἑπομένοις συνάπτεσθαι· ἢ γὰρ Ἰφίνοον Δεξιάδην, ἢ βάλε Δεξιάδην ὦμον, ἢ Δεξιάδην ἐπιάλμενον, ἀπὸ τῶν δεξιῶν μερῶν ἐφαλλόμενον. Σ. Β.

Σ. 26. Ἑτεραλκέα νίκην] Οὕτως ἡ νίκη λέγεται, ὅτ' ἂν οἱ νικῶντες νικῶνται, ἢ ἀνάπαλιν τὴν τοῖς ἑτέροις ἀλκὴν καὶ δύναμιν παρέχουσαν. Σ. — Ἰστέον δὲ, ὅτι, ἐπεὶ πάνυ προσφυῶς τὸ ἑτεραλκὲς νίκης ἐστὶν ἐπίθετον, διὰ τὸ μὴ ἄλλως εἶναι νικᾷν ἐν πολέμοις, εἰ μὴ θάτερον μέρος ἀλκιμώτερον γένηται, οὐκ ἂν ἀφυῶς ἡ νίκη κληθείη ἂν τολμηρῶς καὶ ἑτεράλκεια, ἢ ἑτεραλκείη, πρὸς ὁμοιότητα τοῦ ἀναλκείη. Ε.

Σ. 29. Παύσωμεν πόλεμον] Ὁ μὲν ἀκροατὴς δεινὰ ἐλπίζει ἐπὶ τῇ παρόδῳ τῶν θεῶν, οἷα καὶ πρώην γέγονε· ὁ δὲ ἀνακόπτει τὸ προσδοκώμενον, καὶ ἅμα δὲ ἀντεισάγει τὴν ἀλαζονείαν Ἕκτορος, τὴν αἰδῶ Ἑλλήνων, τὴν σπουδὴν Μενελάου καὶ Ἀγαμέμνονος, τὴν Νέστορος δημηγορίαν. Σ. Β.

Σ. 30. Τέκμωρ] Τέλος. Σ.

Σ. 32. Ὑμῖν ἀθανάτῃσι] Ἤγουν τῇ Ἀθηνᾷ καὶ τῇ Ἥρᾳ. Ε.

Σ. 39. Οἰόθεν οἶος] Μόνος πρὸς μόνον. Σ. — Ἤγουν μονομαχῆσαι· — οὔπω γὰρ τότε τὸ μονομαχεῖν ῥῆμα συνέκειτο. — Ἰστέον δὲ, ὅτι τὸ μὲν μονομαχεῖν ἐλλιπῶς διὰ συντομίαν ἔχει· σύγκειται μὲν γὰρ ἐκ δύο λέξεων, δηλοῖ δὲ πλείονας· οὐ γὰρ μονόμαχος, ὁ μόνος, ὡς ἐν σκιαμαχίᾳ, μαχόμενος, καὶ, ὅ φασιν, ἀέρα δαίρων, ἀλλ' ὁ μόνος πρὸς μόνον, ἤγουν εἷς πρὸς ἕνα μαχόμενος ἐχθρόν. Ε.

Σ. 41. Οἱ δὲ κ' ἀγασσάμενοι] Τὸ δὲ ἀγασσάμενοι οὐχ οὕτω



НБ ОНУ імені І.І. Мечникова

δηλοῖ τὸ ἐκπλαγέντες, ὅσον τὸ τεθαυμακότες. Ε. (ἴδ. Γ, 181.).

Σ. 42. Οἷον ἐπόρσειαν] Ἐν δὲ τῷ, οἷον ἐπόρσειαν, λείπει τὸ τινά. Ε. (ἴδ. στ. 39.)·

Σ. 44. Ἕλενος] Μυθεύεται τῶν ἐξ Ἑκάβης γεγονότων Πριάμῳ παίδων, Ἕλενον καὶ Κασάνδραν διδύμους γεγενῆσθαι· τῶν δὲ γενεθλίων αὐτοῖς τελουμένων, ἐν τῷ τοῦ Θυμβραίου Ἀπόλλωνος ἱερῷ, λέγεται τὸν Ἕλενον καὶ τὴν Κασάνδραν ἐν τῷ ναῷ παίζοντας κατακοιμηθῆναι· ὑπὸ δὲ μέθης τῶν περὶ τῶν παίδων ἐκλαθομένων ἐκείνων, οἴκαδε χωρισθῆναι. Τῇ δὲ ὑστεραίᾳ ἐλθόντας εἰς τὸ ἱερὸν, θεάσασθαι τοὺς παῖδας ταῖς τῶν ὄφεων γλώτταις τοὺς πόρους τῶν αἰσθητηρίων καθαιρομένους. Ὡς οὖν διὰ τὸ παράδοξον αἱ γυναῖκες ἀνέκραγον, συνέβη ἀπαλλαγῆναι τοὺς ὄφεις καὶ καταδῦναι ἐν ταῖς παρακειμέναις δάφναις· τοὺς δὲ παῖδας ἀμφοτέρους τῆς μαντικῆς οὕτω μεταλαβεῖν· ἱστορεῖ Ἀντικλείδης. Σ. — Ὅτι δὲ Ἕλενος καὶ Κασάνδρα βρεφῶν ἄγοντες ἡλικίαν καὶ τεθέντες που ἐν ἄλσει Ἀπόλλωνος γλώσσαις ὄφεων τοὺς τῆς ἀκοῆς ἐκαθάρθησαν πόρους, κἀντεῦθεν τὴν μαντικὴν ἄκρως ἐτελέσθησαν· — φαίνεται δὲ ἐξ οἰωνοσκοπίας γνῶναι τὸ μέλλον ὁ Ἕλενος, ὡς ἐμφαντικῶς παραδηλοῖ τὸ, τὴν Ἀθηνᾶν καὶ τὸν Ἀπόλλωνα ἐοικέναι ὄρνισιν αἰγυπιοῖς· σημείωται δὲ καὶ ὅτι σμικρύνεταί πως ἐνταῦθα τὸ θάρσος καὶ ἡ ἀνδρεία τοῦ Ἕκτορος· οὐ γὰρ ἁπλῶς εἰς μονομαχίαν ὁρμᾷ, ἀλλὰ πρότερον μαθὼν, ὅτι οὔπω σοὶ μοῖρα θανεῖν καὶ πότμον ἐπισπεῖν, ἅπερ ἐκ παραλλήλου ταὐτὸ δηλοῦσι, καὶ οὐ προβεβλημένος ἐλπίδα δεινοῦ τινος· ὁ μέντοι Αἴας, οὐδέν τι τοιοῦτο εἰδὼς, θαρρεῖ τὴν μονομαχίαν. Ε. — Σύνθετο θυμῷ] Συνῆκεν, ἐνόησεν. Σ.

Σ. 59. Αἰγυπιοῖσι] Οἱ μὲν εἶδος ἀετοῦ, οἱ δὲ τοὺς γύπας ἐδέξαντο. Σ. — Ὑψῶν δὲ τὰ πραττόμενα, θεατὰς αὐτῶν ὑπογράφει θεούς· καλῶς δὲ τὰ τοῦ Διὸς τέκνα ἐπὶ τῇ τοῦ πατρὸς κάθηνται δρυΐ· καὶ τὸ ὑψηλὸν δὲ πρὸς τὴν θέαν ἐπιτήδειον. Σ. Β.

Σ. 60. Φηγῷ] Ὅτι ἔοικέ τι μεγαλεῖον ἔχειν ἡ πολλαχοῦ ῥηθεῖσα τοῦ Διὸς ἐν Τροίᾳ φηγὸς, ὅ ἐστι δρῦς, ἣν καὶ ὑψηλὴν λέγει· διὸ καὶ οἷα ἐπίσημον περιεῖπον, ὡς εἰκὸς, αὐτὴν οἱ Τρῶες. Ε.

Σ. 61. Ἀνδράσι τερπόμενοι] Ἰστέον δὲ, ὅτι ἐκ τούτου ἔοικεν ἀρχὴν λαβεῖν ὁ τὸν ἄνθρωπον ὁρισάμενος παίγνιον θεοῦ.

НБ ОНУ імені І.І. Мечникова

παραξέσας ἐκεῖνος τὴν τερπωλὴν εἰς παίγνιον, καὶ τὸ σπουδαῖον νόημα εἰς γελοῖον μεταγαγών. Ε.

Σ. 62—63. Πεφρικυῖαι — Φρίξ] Ὅτι φρίκα ζεφύρου καλεῖ τὴν πρώτην ἠρεμαίαν αὐτοῦ κατὰ θαλάσσης ἐπίπνοιαν, ὑφ' ἧς ὁ πόντος γαληνότερον σαλευόμενος μελαίνεται· ἢ καὶ ἀπεικάζει τὰς τάξεις, ὅτε μονομαχούντων Ἕκτορός τε καὶ Αἴαντος, ἐκάθηντο ἔνοπλοι. — Τὸ φρίσσειν πύκνωσίν τινα ὀρθωτικὴν κατὰ Ἡσύχιον κίνησιν δηλοῖ· οὕτω γὰρ τρίχες φρίσσουσιν, οὕτω λήϊα, καὶ τὰ λοιπά· — τὸ δὲ ἐχεύατο, ἤρεμον ὑποκίνησιν δηλοῖ τῆς κατὰ θάλασσαν ἐπιφανείας, ὅτε γίνεται μέλαινα φρίξ· ἐν δὲ τῷ ἐπιφρίξ ( Εὐστάθ. ), πλεονάζει ἡ πρόθεσις, φρίξ γὰρ τὸ κοινόν· εἰ μὴ ἄρα κατ' ἀναστροφὴν ἀναγνῷ τις χεύατο πόντον ἔπι, φρίξ. Ε. — Ὁ Ἀσκαλωνίτης ἀναστρέφει ἐπὶ πόντον· οὕτω καὶ οἱ ἄλλοι· καὶ ἄμεινον· οὐδὲν γὰρ ἔσται τὸ ἐπιφρίξ, χωρὶς εἰ μὴ παρέλκῃ ἡ πρόθεσις, ὅπερ οὐ πιθανόν· οὐ γὰρ κατεπείγει. Σ. Β.

Σ. 64. Μελάνει] Τὸ δὲ μελάνει, παθητικὴν ἑρμηνείαν ἔχει, δηλοῖ γὰρ τὸ μελαίνεται· πέπονθεν δὲ ἀπέλευσιν τοῦ ι, ὡς καὶ τὸ οἰδάνει ἀντὶ τοῦ οἰδαίνει. Ε.

Σ. 69. Ὅρκια] Οὐκ ἐτέλεσσεν· τῷ τῆς πεπρωμένης δηλαδὴ λόγῳ· ἄλλως γὰρ ὁ Πρίαμος καὶ οἱ ἀμφ' αὐτὸν οὐκ ἐτέλεσαν τοὺς ὅρκους, ὧν ταμίας ὁ Ζεύς.

Σ. 70. Τεκμαίρεται] Τὸ μέν τοι τεκμαίρεσθαι ἀντὶ τοῦ σημειοῦσθαι. Ε. — Βουλεύεται, ἢ τελειοῖ, ἢ ἐπὶ τέλος ἄγει. Σ.

Σ. 72. Ἢ αὐτοὶ — δαμείετε] Ἔδει ἐπαγαγεῖν, ἢ ἡμεῖς παρὰ ταῖς ναυσὶν ὑμᾶς ἕλοιμεν· διὰ δὲ τὸ νεμεσητὸν οὕτως ἐσχημάτισε τὸν λόγον. Σ. Β.

Σ. 75. Δεῦρ' ἴτω κ. τ. λ.] Ὅρα δὲ καὶ ὡς ὀφείλων ἐνταῦθα ὁ Ἕκτωρ εἰπεῖν, δεῦρ' ἴτω τις ἐκ πάντων πρόμος ἔμμεναι ἐμοί· ὁ δὲ εἶπεν ἀντὶ τοῦ ἐμοί, τό, Ἕκτορι δίῳ ἑαυτὸν ἐπαινῶν· οὐκ Ἀστυδάμας κατὰ τὴν παροιμίαν, ἀλλ' ἐκ μεγαλοψυχίας καὶ φιλοτιμίας, ἐνδεικνύμενος, ὡς τὴν ἀγαθὴν ἐλπίδα προβέβληται. Ε. — Πρόμος] Πρόμαχος. Σ.

Σ. 77. Τανατηκέϊ χαλκῷ] Οὐ δηλαδὴ τανάον τὸ ἀκόνημα, διὰ τὸ τοῦ σιδήρου πρόμηκες, ἢ τὰ εἰς τανυσμὸν ἥκοντα, ἢ ὧν ταναὴ διόλου ἀκή, τουτέστιν ὀξύτης τοῦ στομώματος. Ε. — Ἐπιμήκει καὶ τεταμένην ἔχοντι τὴν ἀκμήν. Σ.

Σ. 79. Σῶμα—δόμεναι πάλιν] Βαρβαρικὸν τὸ σπεύδειν περὶ

τὰς ταφάς· περιπαθῶς δὲ προκατασκευάζει ὁ Ποιητὴς πρὸς ὃ μάλιστα ἀπεύχεται δυστυχήσαντα. Σ. Β.

Σ. 80. Λελάχωσι] Λαχεῖν ποιήσωσιν, οἱονεὶ μεταλαβεῖν. Σ. — Ἤγουν ταφῆς ἀξιώσωσι, λάχος πυρὸς δόντες μοί· — ἰστέον δὲ καὶ ὅτι τὸ, λελάχωσι πυρὸς, ἀλλοπαθῶς ἐνταῦθα συντέτακται· λαχεῖν μὲν γάρ τοι ἁπλῶς τοὺς Τρῶας, αὐτοπαθῶς ἐῤῥέθη· λαχεῖν δὲ αὐτοὺς τὸν δεῖνα τοῦδέ τινος, ἀλλοπάθειαν ἔχει· καὶ ἔτι μὲν τὸ πρῶτον λαχεῖν ἴσον τῷ εὑρεῖν· τὸ δὲ δεύτερον, ὅμοιον τῷ ἀξιῶσαι λάχους, ὡς εἴρηται. Ε.

Σ. 83. Κρεμόω] Τὸ δὲ ἐν ναοῖς κρεμᾷν τὰ σκῦλα τῶν νενικημένων, ἔθος ἦν ἀρχαῖον· — τὸ δὲ κρεμόω πλεονασμὸν ἔχει τοῦ ο τῆς παραληγούσης, εἴληπται δὲ ἀντὶ μέλλοντος τοῦ κρεμάσω. Ε.

Σ. 85. Ταρχύσωσι] Θάψωσι, τάρχαι δὲ τὰ ἀπονενομισμένα τοῖς νεκροῖς πρὸς κηδείαν. Σ. — Ὅ ἐστιν ἐνταφιάσωσι μετὰ συνήθους ταράχου. Ε.

Σ. 86. Ἐπὶ πλατεῖ Ἑλλησπόντῳ] Πλατὺν δὲ Ἑλλήσποντον λέγει, οὐ τὸν ἁπλῶς δι' ὅλου τοιοῦτον, ἔχει γὰρ στενὰ πολλὰ, καί τι λίαν στενότατον καὶ οὐ πλέον ἑπτασταδίου πλατυνόμενον, ἀλλὰ τὸ διεκπίπτον αὐτοῦ ἔξω, πρὸς τῷ Αἰγαίῳ, ἕως καὶ εἰς τὸ ναύσταθμον καὶ εἰς τὸ Ῥοίτειον καὶ εἰς τὸ Σίγειον, ἐκεῖνο πλατὺν Ἑλλήσποντον λέγει· — φησὶν ὁ Γεωγράφος (ΙΓ. σελ. 409.) ὅτι Ῥοίτειον, πόλις ἐπὶ λόφῳ· συνεχὴς δὲ τῷ Ῥοιτείῳ, ἠϊὼν, ἐφ' ᾗ μνῆμα καὶ ἱερὸν Αἴαντος, καὶ ἀνδριὰς, ὃν Ἀντώνιος μὲν εἰς Αἴγυπτον ἐκόμιζε, χαριζόμενος τῇ Αἰγυπτίᾳ Κλεοπάτρᾳ, σὺν ἄλλοις ἀναθήμασι· Ἄρπτος δὲ ἐπαναγαγὼν τοῖς Ῥοιτειεῦσιν ἀπέδωκεν· ὃ καὶ ὁ Σεβαστὸς Καῖσαρ ἐποίησεν ἐπὶ ὁμοίων τινῶν. Ε.

Σ. 89. Κατατεθνηῶτος] Ὡς ἤδη νενικηκὼς ἐπιγράφει τῷ τάφῳ τὸν ἐπινίκιον, οὐκ ἐπὶ τεθνηκότι, ἀλλ' οὐδὲ γινωσκομένῳ τῷ μέλλοντι μονομαχεῖν, τὸ ἐπικήδειον πρὸ τοῦ θανάτου διατιθείς· ἀριστεύοντα δὲ προστίθησι πρὸς ἰδίαν ἐπίτασιν, εἰ καὶ τοῦ ἀρίστου φανεῖται κρείττων· φιλότιμος δὲ καὶ ἀλαζὼν καὶ βαρβαροήθης ἀεὶ ὁ Ἕκτωρ χαρακτηρίζεται. Σ. Β.

Σ. 96. Ἀπειλητῆρες Ἀχαιΐδες] Ἀπειλητῆρες οἱ μόνον καυχώμενοι καὶ εἰς καινὸν (ἴσ. κενὸν) αὐχοῦντες, ὡς εἰ καὶ Ἀχαιΐδες ἦσαν, κατὰ τὸ, γυναικῶν μὲν τὸ λαλεῖν, ἀνδρῶν δὲ

НБ ОНУ імені І.І.Мечникова

τὸ πράττειν· ἢ οἱ ἐκφοβοῦντες λόγοις, ἐπ' ἀμφοτέρων γὰρ λέγεται τὸ ἀπειλεῖν. Ἀχαιΐδες δὲ, ἀντὶ τοῦ γυναῖκες. Ε.

Σ. 97. Αἰνόθεν αἰνῶς] Τὸ δὲ αἰνόθεν αἰνῶς δηλοῖ τὸ ἀπὸ δεινοῦ δεινῶς, ὅ ἐστιν ἐκ δεινῶν δεινοτέρως. Ε.

Σ. 99. Ὕδωρ καὶ γαῖα] Τὸ δὲ ὕδωρ καὶ γαῖα γένοισθε, ἀντὶ τοῦ νεκρωθείητε. Ε. — Ἀναλυθείητε, εἰς ὕδωρ καὶ γῆν διαλυθείητε καὶ ἀποθάνοιτε. Σ.

Σ. 100. Ἀκλεὲς αὔτως] Τινὲς μέντοι ἐπίῤῥημα τοῦτό φασιν εἶναι, ἄλλοι δὲ παροξύνουσιν· ὡς γὰρ ἀγακλέες κατὰ ἔλλειψιν τοῦ ἑνὸς ε, οὕτω φασὶ καὶ ἀκλέες. Ε.

Σ. 102. Νίκης πείρατ'] Τὸ δὲ νίκης πέρατα, περιφραστικῶς ἀντὶ τοῦ ἡ νίκη, τὸ τέλος δηλαδὴ τῶν ἀγωνιζομένων. Σημείωσαι δὲ, ὅτι νῦν μὲν ἁπλοϊκῶς εἴρηται τὸ ὕπερθεν ἔχεσθαι τὰ τῆς νίκης πέρατα, τραπὲν μεταφορικῶς ἀπὸ σχοινίων, ἢ τινων ἑτέρων τοιούτων σωμάτων, ὧν καὶ ἀρχή τις καὶ πέρας ἐστίν· ἐν τοῖς ἑξῆς δέ που διὰ ταλάντων ὕπερθεν ἐχομένων πρὸς Διὸς τὴν νίκην ἐρεῖ διεξάγεσθαι (Τ, 223. Ἴδ. καὶ 102.) εὐθεῖα δὲ ἑνικὴ τοῦ πείρατα οὐ τὸ πεῖρας, ἀλλὰ τὸ πεῖραρ. Ε.

Σ. 106. Ἀναΐξαντες ἕλον] Τουτέστιν ἐκώλυσαν. Ε.

Σ. 109. Ἀφραίνεις] Τὸ δὲ ἀφραίνεις, Μενέλαε· μῖγμα ὕβρεως καὶ ἐπαίνου. Ε.

Σ. 112. Στυγέουσι] Τὸ δὲ στυγέουσι ταὐτὸν τῷ φρίσσουσι, αὐτὸ δὲ ἴσον τῷ ἐῤῥίγασι. Ε. — Τεχνικῶς ἥττονα πολὺ φησὶν Ἕκτορος, ὅπως μὴ τῶν ἄλλων Ἑλλήνων καταφρονεῖν ὑποπτευθῇ, τὸν μὲν τοῦ κινδύνου ῥυόμενος, τοὺς δὲ κινδυνεύειν προτρεπόμενος. Σ. Β.

Σ. 113. Τούτῳ γε μάχῃ] Τοῦτον παρέλαβεν, οὗ καὶ Μενέλαος οὐκ αἰδεῖται ἥττων εἶναι ὁμολογεῖν, οὐκ ἄλλον τινὰ τῶν ὀλίγων τοῦ Μενελάου κρειττόνων. Σ. Β.

Σ. 114. Ἀντιβολῆσαι] Ἴδ. Δ, 342. — Παρὰ μέντοι τοῖς μεθ' Ὅμηρον ἱκέσιος ἡ λέξις, καὶ σημαίνει τὸ ἄντην καὶ πρὸ ποδῶν τινος ῥίπτεσθαι. — Σημείωσαι δὲ, ὅτι τὸ πρὸς συμφέρον ἐνταῦθα νόμῳ στρατηγικῷ ψεύδεται ὁ βασιλεὺς, οὐ γὰρ ὁμολογουμένως ἐῤῥίγει Ἀχιλλεὺς τὸν Ἕκτορα, λαλεῖ δὲ αὐτὸ ἐπίτηδες, ἵνα τὸ ἀδελφικὸν καταστείλῃ θράσος. Ε.

Σ. 116. Τούτῳ δὲ πρόμον ἄλλον κ. τ. λ.] Ἔνθα καὶ δείκνυται, ὅτι τὰ περὶ Ἀχιλλέως ψευδῶς ἔλεγεν ὁ βασιλεὺς, ἵνα πείσῃ τὸν ἀδελφόν· εἰ γὰρ ὁ Ἀχιλλεὺς ἀληθῶς ἐῤῥίγει

НБ ОНУ імені І.І.Мечникова

τὸν Ἕκτορα, ποῖος ἄλλος εὑρεθήσεται πρόμος ἀντίπαλος τῷ Ἕκτορι; Ε.

Σ. 117. Μόθου] Μάχης. Σ.

Σ. 118. Ἀσπασίως] Χαριέντως, ἀσμένως, ἡδέως. Σ. (Ἴδ. Φ, 610). — Γόνυ κάμψειν] Ἀναπαύεσθαι· ἢ συγκάμψειν τὰ γόνατα, διὰ τὸ κεκοπῶσθαι ἐν τῷ διώκεσθαι. Σ. — Καὶ ὅρα τὸ φύγῃ, οὐ γὰρ ἀπέλθῃ φησίν, ἢ ἄλλο τι ῥῆμα τοιοῦτον, ἀλλὰ φύγῃ, τὴν ἧτταν αὐτῷ οἰωνιζόμενος. Τῷ δὲ φυγεῖν ἀκόλουθον καὶ τὸ ἀσπασίως γόνυ κάμψειν· κεκμηκὼς γὰρ ἐν τῷ συντόνως φεύγειν, ἀσπασίως κατακλιθήσεται. Ε.

Σ. 121. Παρειπών] Τὸ μὲν εἰπὼν καὶ παρειπὼν ἔχουσι πολλὴν διαφοράν, ὡς τοῦ παρειπεῖν λαμβανομένου ἐπὶ παραινέσεως. Ε.

Σ. 122. Τεύχε' ἕλοντο] Δηλοῖ ἀφωπλίσθαι τὰς εἴχας· εἰ γὰρ ὁ βασιλεὺς ἀφωπλίσθη, καὶ οἱ περὶ αὐτὸν ἄρα. Ε.

Σ. 123. Νέςωρ] Πιθανῶς τὸν Νέστορα ἐπιπλήσσοντα παρεισάγει, ὃς διὰ τὴν ἡλικίαν οὐκ ἐπισπᾶται τὸ ὅμοιον ἔγκλημα. Σ. Β.

Σ. 125. Ἦ κε μέγ' οἰμώξειε κ. τ. λ.] Ἰστέον δὲ, ὡς μέγα κακὸν κρίνουσιν οἱ λογισμῷ διοικούμενοι, ἐφ' ᾧ οἱ μὲν ἐχθροὶ χαίρουσιν, οἱ δὲ φίλοι βαρέως φέρουσιν· — εἰ δὲ καὶ τοιοῦτον εἴη τὸ κακὸν, ὡς μὴ μόνον τοὺς φίλους βαρύνεσθαι, ἀλλὰ καὶ αὐτοὺς τοὺς ἐχθροὺς δυσχεραίνειν, ὑπερβολὴ πάντως τοῦτό ἐστι δυστυχήματος· ὡς ὁ αὐτὸς ῥήτωρ ἐπιτείνων τὸ νόημα ἐνταῦθά φησι· λέγει γὰρ, ὡς καὶ πᾶσα μὲν ἡ Ἀχαιὶς γῆ λυπηθήσεται ἐπὶ τοῖς νῦν γινομένοις· καὶ αὐτὸς δὲ οὐδὲν ἧττον ὁ Πηλεὺς, ὃς διὰ τὸν υἱὸν Ἀχιλλέα ἐχθαίρων τοὺς Ἀχαιοὺς, χαίρειν ὀφείλει ἐπὶ δυστυχοῦσιν αὐτοῖς. Ε. — Ἅμα δὲ καὶ ὑπομιμνήσκει Ἀγαμέμνονα Ἀχιλλέως, ὅτι ὁ νῦν προκαλούμενος πάντας, ὄφρ' Ἀχιλλεὺς μετ' Ἀχαιοῖσι πολέμιζεν, οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος ὄρνυμεν Ἕκτωρ (Ι, 352.)· ἐπαχθὲς γὰρ ἦν οὕτω ὀνειδίσαι. Σ. Β.

Σ. 128. Γενεήν τε τόκον τε] Πατέρα καὶ παῖδα· — θαυμασίως τῆς εὐγενείας αὐτοὺς ὑπέμνησεν, οὐκ αὐτὸς ἐπαινῶν τοὺς γονεῖς αὐτῶν, ἀλλὰ Πηλέα τὸν ἄκρον ἐπ' εὐγενείᾳ χαίρειν ἐπὶ τῇ γονῇ αὐτῶν λέγων, ἀλλ' οὐδέ φησιν, ὅτι ἐμαρτύρησα τῷ Πηλεῖ περὶ ὑμῶν· τὸ γὰρ λέγειν, ὅτι ἐπ' εὐγενείᾳ ὑμῖν ἐμαρτύρησα, σφόδρα ἐπίφθονον. Σ. Β.

НБ ОНУ імені І.І.Мечникова

Σ. 133. Κελάδοντι] Ὁ ῥηθεὶς Κελάδων ποταμοῦ κλῆσίς ἐστιν· ἄλλως γὰρ οὐ δύναται δύο ἐπίθετα ὁμοῦ κεῖσθαι δίχα κυρίου ἢ προσηγορικοῦ· ἐν δέ γε τῷ, πόντος κελάδων (Ὀδυσσ. Β, 421.), ἐπίθετόν ἐστιν ἡ τοιαύτη λέξις. Ε.

Σ. 135. Φειᾶς] Φειὰ δὲ πόλις παρὰ τὴν Ἦλιν, περὶ ἣν Ἰάρδανος ῥέει ποταμός. — Ἰαρδάνου] Τὸν δὲ Ἰάρδανον οὐ μέγαν ποταμὸν ἡ ἱστορία ἔχει, ὡς ὁ Γεωγράφος δηλοῖ ἐν οἷς λέγει· Φειά, ἄκρα καὶ πολίχνη· ἔστι δὲ καὶ ποτάμιον πλησίον, ὁ Ἰάρδανος (Η, σελ. 236.) Ε.

Σ. 141. Κορύνῃ] Κορύνη δὲ ἁπλῶς μὲν πᾶσα ῥάβδος κεφαλωτή, παρὰ τὴν κάραν, ὅθεν καὶ ἡ κόρυς· εἰ δὲ τὸ τοῦ ξύλου ἐξ ἄκρου παχὺ σιδηροῦν εἴη, τότε καὶ σιδηρείη κορύνη λέγεται, ἀπὸ τοῦ κεφαλωτοῦ μέρους οὕτω κληθεῖσα. Ε. — Κορύνῃ· ῥοπάλῳ· ῥόπαλον δέ ἐστιν ἀμυντήριον ἑτερορρεπὲς ἐξ ἑνὸς μέρους ῥοπὴν ἔχον καὶ βάρος. Σ.

Σ. 144. Ὑποφθάς] Προφθάσας, παραλαβών. Σ.

Σ. 151. Οὐδέ τις ἔτλη] Ἐνταῦθα δὲ ὅρα καὶ τὸ οὐδέ τις ἔτλη ἐλλιπῶς λεχθέν· λείπει γὰρ τὸ πολεμίζειν. Ε.

Σ. 152. Πολεμίζειν] Τὸ δὲ πολεμίζειν θάρσει ᾧ, τουτέστιν ἰδίῳ, ταυτόν ἐστι περιφραστικῷ νοήματι τῷ πεισθῆναι τινα ἐφ' αὐτοῦ θυμῷ τολμήεντι, παρακινδυνεῦσαι εἰς ἔργον ὅπερ ἐν τοῖς ἑξῆς που ὁ γέρων ἐρεῖ (Κ, 204.) Ε.

Σ. 156. Πολλός] Μέγας. Σ. — Τὸ δὲ παρήορος, ἀντὶ τοῦ παρηρτημένος, ὅ ἐστι κεχυμένος ὧδε καὶ ἐκεῖ, ἔκλυτος, χαῦνος, καὶ οὕτω πολὺν ἐπέχων τόπον τῷ σώματι· εἴληπται δὲ ἡ λέξις ἐκ μεταφορᾶς τοῦ παρηόρου ἵππου. — Σημείωσαι δὲ, ὅτι πάνυ καίριόν τε καὶ ἀστεῖον ἐνταῦθα τὸ πολλός· δηλοῦται γὰρ δι' αὐτοῦ διωρισμένου ποσοῦ ὄντος, εἴτουν διεχοῦς, οὐ μὲν συνεχοῦς, τὸ μὴ ἂν δοκεῖ τὸν Ἐρευθαλίωνα ἕν τι σῶμα εἶναι συνεχὲς, ἀλλ' ὡς οἷον διεσπάρθαι ὧδε καὶ ἐκεῖ τῇ παρέσει τῶν μελῶν τοῦ τοσούτου σώματος. Ε.

Σ. 159. 160. Ὑμέων δ' οἵπερ κ.τ.λ.] Ἐν δὲ τῷ, ὑμῶν οἵπερ ἔασιν ἀριστῆες, οὐδὲ αὐτοὶ προφρονέως μέματε ἀντιστῆναι, καινότης ἐστὶ σχήματος. Ἢ γὰρ κατὰ τὸ ἔασιν ὤφειλεν εἶναι καὶ τὸ, μεμάασιν ἐν τρίτῳ προσώπῳ πληθυντικῷ, ἢ κατὰ τὸ μέματε δεύτερον πληθυντικὸν ὤφειλεν εἶναι καὶ τὸ, οἵ ἐστε ἀριστεῖς. Ἐσχημάτισε δὲ οὕτως ὁ γέρων, οὐ μόνον διὰ καινοτροπίαν ἐπιστρέφουσαν ἀσφαλῶς τὸν ἀκροατὴν, ἀλλὰ καὶ δι'

НБ ОНУ імені І.І.Мечникова

εὐχρηστίαν μέτρου· καὶ ἄλλως δὲ διὰ κρᾶμα τραχύτητος καὶ ἐπιεικείας· σφοδρὸν μὲν γὰρ τὸ οὐ μέματε, ἤγουν, οὐ προθυμεῖσθε εἰς μονομαχίαν, οἷα ἐν σχήματι ἀποστροφῆς λεχθὲν κατὰ προσώπων ἡρωϊκῶν· λειότερον δὲ τὸ, οἵπερ ἔασι, καὶ οὐ κατὰ τὸ οἵπερ ἐστέ· αὐτὸ γὰρ σφοδρῶς ἂν οὕτως ἐῤῥέθη. Ε.

Σ. 161. Ὣς νείκεσσ' κ. τ. λ.] Ἔνθα καὶ σημαίνει τίνας ὁ ποιητὴς τῶν ἡγεμόνων κρίνει μετὰ τὸν Ἀχιλλέα ἐν Ἕλλησιν ἀριστεῖς· — τῶν δὲ ἐννέα ὑπερεξαίρει τρεῖς μόνους, ὡς μετ' ὀλίγα εἰρήσεται. — Ὅρα δὲ, ὅτι τὸ τὸ πάντες κατὰ παρολκὴν καὶ νῦν συνήθως κεῖται ἐν τῷ ἐννέα πάντες ἀνέσταν. Ε.

Σ. 162. Ὦρτο πολὺ πρῶτος] Εἰκότως προανίσταται, ἵνα μὴ φιλοψυχεῖν δόξῃ ὁ τὸν ἀδελφὸν ἤδη κωλύσας τοῦ μονομαχῆσαι, καὶ πόθεν ἀκούσῃ, ὡς εἴπερ οἱ βασιλεῖς ἀπόμαχοι φιλοῦσιν εἶναι, τί δὴ τοὺς ἄλλους εἰς κίνδυνον παραβάλλονται; Ε.

Σ. 171. Κλήρῳ νῦν] Σημείωσαι δὲ, ὅπως τῇ τύχῃ ἐπιῤῥίπτει τὴν τοῦ ἀρίστου ἐπιλογὴν συνετώτατος, καὶ οὐκ αὐτὸς ἐπικρίνει, οὐ μόνον ἵνα μὴ λυπήσῃ τοὺς λοιποὺς, ἕνα τινὰ ἐπιλεξάμενος, ἀλλὰ καὶ ὅτι πάντας ἀξιομάχους οἶδε πρὸς Ἕκτορα. Διὸ σεμνότερόν τι καὶ ἐνδοξότερον ποιῶν, τῇ τύχῃ ἐπιτρέπει τὴν ἐπίκρισιν, εὖ εἰδὼς, ὡς ὁποῖος ἂν ἐκπεσεῖται πρῶτος τῷ κλήρῳ, ἀξιόλογος ἂν ἐκβαίη ἀντίμαχος τῷ Ἕκτορι. — Πεπάλαχθε] Ἰστέον δὲ, ὅτι παλάσσειν, οὐ μόνον τὸ μολύνειν (ἴδ. Ε, 100.), ἀλλὰ καὶ τὸ κληροῦσθαι καὶ λαγχάνειν· παράγεται δὲ ἀπὸ τοῦ πάλλω τὸ κινῶ, ἐξ οὗ καὶ πάλος ὁ κλῆρος· — Ἰστέον δὲ καὶ, ὅτι τὸ λαχεῖν ἀποτέλεσμά ἐστι τοῦ κληροῦσθαι, ὡς δηλοῖ τὸ, κλήρῳ νῦν πεπάλαχθε, ὅς κε λάχῃσι, τουτέστι κληρώσασθε, ὅ ἐστι κλήρους βάλετε, τίς ἂν λάχῃ πρῶτος δηλαδὴ ἀντιστῆναι τῷ Ἕκτορι. — Διαμπερές] Τὸ δὲ διαμπερὲς, ἀντὶ τοῦ διὰ πάντων τῶν ἐννέα· διὸ ἐπάγει· οἱ δὲ κλῆρον ἐσημήναντο πάντες. Ε.

Σ. 175. Ἐσημήναντο] Ἐσημειώσαντο· ἐξ οὗ δηλοῖ, ὅτι οὐ γράμματα ᾔδεισαν οἱ ἥρωες. Σ.

Σ. 179. Ζεῦ πάτερ κ. τ. λ.] Τὸ δὲ σχῆμα κἀνταῦθα τῆς εὐχῆς ἀττικῶς ἤπεικται κατὰ ἔλλειψιν, λείπει γὰρ τὸ δός. Ε.

Σ. 184. Ἐνδέξια] Τὸν γοῦν κλῆρον, ἐπ' ἀγαθῷ οἰωνῷ, ἐνδέξια πᾶσιν ἔδειξεν ὁ κήρυξ, ἤγουν δεξιᾷ χειρὶ φέρων αὐτὰς

ἐκεῖνον, ἢ ἐκ δεξιῶν ἱστάμενος τοῖς ἀριστεῦσιν ἐν τῷ δεικνύειν αὐτόν· ἴσως δὲ καὶ ἀμφότερα. Ε. — Ἐνδέξια· ἐπιδεξίως Σ. ἴδ. Α, 597.).

Σ. 185. Ἀπηνήνατο] Οὐχ οἱ αὐτοὶ γὰρ ἦσαν παρὰ πᾶσι τοῖς Ἕλλησι χαρακτῆρες, διάφορα δὲ καὶ τὰ τῶν στοιχείων ὀνόματα. Καλλίστρατος δὲ ὁ Σάμιος ἐπὶ τῶν Πελοποννησιακῶν ταύτην μετήνεγκε τὴν γραμματικὴν, καὶ παρέδωκεν Ἀθηναίοις, ὥς φησιν Ἔφορος.

Σ. 187. Ἐπιγράψας] Ὅτι οὐ γράμμασι τῆς λέξεως, ἀλλ' ἐγχαράξας σημεῖα· εἰ γὰρ κοινῶς ᾔδεσαν γράμματα, ἔδει τὸν κήρυκα ἀναγνῶναι καὶ τοὺς ἄλλους, οἷς ἐπεδείκνυτο ὁ κλῆρος. Σ. Β.

Σ. 188. Ἦτοι ὑπίσχεθε χεῖρ'] Χεῖρα δὲ ὑποσχέθειν, ὅ ἐστιν ὑποσχεῖν, τὸ ὑπτιάσαι τὴν δεξιὰν εἰς ὑποδοχὴν, καὶ ὡς εἰπεῖν, ὑποκάτω σχεῖν τοῦ διδομένου. Ε. — ὑπέβαλε. Σ.

Σ. 189. Κλήρου σῆμα] Ἡ περιφραστικῶς τὸν κλῆρον λέγει· ἢ κλῆρον μὲν τὸ σῶμα τὸ διδόμενον πάλλεσθαι· σῆμα δὲ, τὸ ἐν αὐτῷ τυπωθὲν σημεῖον· — οὐ γράμματα δὲ νοητέον ἐξ ἀνάγκης τὰ τοιαῦτα σήματα, εἴδωλα δέ τινα, ἢ ἁπλῶς ἐκτυπώματα ἐν ὑποκειμένῳ εὐτελεῖ, λιθιδίῳ τυχὸν, ἢ ξυληφίῳ, ἢ τοιούτῳ τινί. Ε.

Σ. 195. Πύθωνται] Καὶ δόξωμεν δηλαδὴ θορυβεῖσθαι. Ε.

Σ. 196. Ἀμφαδίην] Φανερῶς. Σ.

Σ. 198. Ἀϊδρείῃ] Ἀπειρίᾳ. Σ. — Ἰστέον δὲ, ὅτι προϋπόκειται ἴδρις, ὁ ἐπιστήμων· οὗ στέρησις ὁ ἄϊδρις. Ε.

Σ. 199. Ἔλπομαι] Τὸ δὲ ἔλπομαι ταὐτόν ἐστι τῷ δοκέω. — Σημείωσαι δὲ καὶ, ὅτι δύο τούτων ἐξ ἀνάγκης χρεία τῷ ἀγαθῷ στρατηγῷ, βίας τε ἤτοι ῥωμαλεότητος, ἔτι δὲ καὶ ἐπιστήμης τῶν πολεμικῶν, ἅπερ ἄμφω ἑαυτῷ ἐπιμαρτύρεται νῦν ὁ Αἴας, λέγων, ὅτι οὔτε βίᾳ ἡττηθήσεται πρός τινος, οὔτε ἀϊδρείᾳ, τουτέστιν ἀνεπιστημοσύνῃ, ἀλλὰ δηλονότι ἐὰν θεὸς ἐναντιωθείη· καὶ αὐτή ἐστιν ἡ αἰτία, δι' ἣν ὀτρύνει εὔξασθαι τοὺς Ἀχαιοὺς ὑπὲρ ἑαυτοῦ· τὰ μὲν γὰρ ἀνθρώπινά φησιν ἱκανῶς ἡμῖν ἔχει, ἐξευμενιστέον δὲ θεὸν, εἴ τί που χολοῦται. Ε.

Σ. 202. Ἴδηθεν μεδέων] Ὅτι τὸ θεν παρέλκει νῦν· ἔστι γὰρ ἀντὶ τοῦ Ἴδης. Σ. Β.

Σ. 205. Ἀμφοτέροισιν — ὄπασσον] Ὅπερ καὶ ἀποβαίνει· καὶ

НБ ОНУ імені І.І. Мечникова

ἔστι τοῦτο οἷον προέκθεσίς τε τοῦ μέλλοντος, καὶ δήλωσις τοῦ δραστήριον εἶναι τὴν εὔλογον εὐχήν. Ε.

Σ. 206. Νώροπι χαλκῷ] Ἴδ. Β, 578.

Σ. 212. Μειδιόων] Ὅτι τὸ μειδιᾷν γέλωτος μὲν αὐστηρότερον, σκυθρωπότητος δὲ φαιδρότερον· καὶ ὅτι ἐὰν μειδιᾷ βλοσυροῖς ὁ Αἴας προσώποις, κέκραται ἅμα θυμῷ καὶ χαρᾷ. — Βλοσυροῖσι] Τὸ δὲ βλοσυρὸν δηλοῖ μὲν δεινότητα προσώπου, ἐξ οὗ καὶ βλοσυρωπός· — ἐτυμολογεῖται δὲ παρὰ τὸ βλέμμα ὑποσύρειν· οἱ δὲ παλαιοὶ βλοσυρόν φασι καὶ τὸ σεμνόν· — ὅρα δὲ καὶ ὅτι τὸ προσώποισι μεταπλάσας ὁ ποιητὴς προσώπασι λέγει· ὡς καὶ ἐν τοῖς ἑξῆς τὸ ἐγκάτοις εἰς τὸ ἔγκασι μεταπέπλασται· — ὅμοιον καὶ τὸ ὀνείρασιν, ἔτι δὲ καὶ τὸ ἄστρασιν, ὅπερ εἰ ἀπὸ τοῦ ἀστὴρ ἀστέρος ἐκλίθη, ἀστράσιν ἂν ἦν, ὡς τὸ πατράσιν ἀνδράσιν· οὕτω δ' ἂν καὶ τὸ μήλοις, μήλασιν εἴποι ἂν ὁ φράσας τὸ, μηλάτων ἀπάργματα, ἤγουν μήλων, ὅ ἐστι, θρεμμάτων ἀπαρχάς. Ε.

Σ. 213. Κραδάων] Κραδαίνων, σείων. Σ. — Τὸ δὲ κραδάειν, πρωτότυπον τοῦ κραδαίνειν ἐστίν· αὐτὸ δὲ τῆς κράδης ἐξηγεῖται, δι' ἧς ἢ φύλλον δηλοῦται ἁπλῶς, ἢ φύλλον συκῆς. Ε. Ἐτυμ. Μ. ἀπὸ τοῦ κάρα, καραδαίνω καὶ κραδαίνω.

Σ. 216. Πάτασσεν] Ἐπέπαλλεν, ἐπήδα, ἐν παλμῷ καὶ κινήσει ἦν. Σ.

Σ. 220. Ἑπταβόειον] Ἑπταβόειον δὲ ὡς ἑπτάβυρσον· βόες γὰρ νῦν τὰ ὁμοβόεια (ἀνάγνωθ. ὠμοβόεια), ἤγουν αἱ βύρσαι. Ε.

Σ. 221. Ὕλῃ] Ἴδ. Β, 500.

Σ. 227. Οἷοι καὶ Δαναοῖσιν] Οὐκ εἶπεν, ὅτι γνώσῃ, οἷός εἰμι· κοινοποιεῖται δὲ ἅπαντα τοῖς φίλοις· καὶ ἕνα ἐκ πολλῶν ἑαυτόν φησι· οὐχ ὡς ὁ Ἕκτωρ δὲ αὐχεῖ τὸ, οἶδ' ἐπὶ δεξιὰ, οἶδ' ἐπ' ἀριστερά. (στ. 238.) Σ. Β.

Σ. 228. Καὶ μετ' Ἀχιλλῆα] Ἐπίτηδες καταπλήττει τὸν πολέμιον τῇ τοῦ κρείττονος προσδοκίᾳ, ὅπως μὴ εὔελπις ᾖ οἰόμενος τεθνάναι ἢ ἀποπεπλευκέναι τὸν πολέμιον. Σ. Β. — Ῥηξήνορα] Ἔνθα σημείωσαι, ὅτι τὸ ῥηξήνωρ ἐλλειπτικῶς ἔχει δι' ἀνάγκην συνθέσεως· εἴτε γάρ ἐστι ῥηξήνωρ ὁ ῥήσσων ἐν ἠνορέῃ, συννοητέον τὸ φάλαγγας ἀνδρῶν, εἴτε ῥηξήνωρ ἐστὶν ὁ ῥήσσων ἀνέρας, προσληπτέον τὸ πεπυκνωμένους τῇ παρατάξει· μόνος γὰρ ὁ τοιοῦτός ἐστι ῥηξήνωρ. Ε.

Σ. 232. Ἀλλ' ἄρχε μάχης] Τοῦτο λέγει Αἴας παραχωρῶν

НБ ОНУ імені І. І. Мечникова

μεγαλοψύχως καὶ φιλοτίμως τῆς πρώτης βολῆς τῷ Ἕκτορι. Ε.

Σ. 238. Νωμῆσαι] Διακινεῖν, βαστάσαι. — Βῶν] Βοῦν· δωρικῶς τὴν ἀσπίδα, ὅτι ἐκ βοείων ἐστὶ δερμάτων. Σ. — Ἰστέον δὲ, ὅτι οὐχ ἁπλῶς οὕτω ἐπὶ βύρσης τέθειται τὸ βοῦς ὄνομα, ἀλλὰ μετὰ προσθήκης τινὸς, ὡς ἔχει τὸ βόας αὖας (Μ, 137.), ὃ ταυτόν ἐστι τῷ, βῶν ἀζαλέην. Ε. — Ἀζαλέην] ξηράν. Σ.

Σ. 239. Ταλαύρινον] Ἴδ. Ε, 289. — Τὸ δὲ ταλαύρινον παρῆκται εὔτολμον· οὐ γὰρ ἡ ῥινὸς ἔγκειται, ὡς ᾠήθησάν τινες. Σ. Β. (Ἴδ. Ἀπολλόν. σελ. 630.).

Σ. 240. Ἐνὶ σταδίῃ κ. τ. λ.] Τὸ δὲ ἐν σταδίῃ δηΐῳ μέλπεσθαι Ἄρηϊ, δηλοῖ τὸ εὐχερῶς κινεῖσθαι, καὶ οἷον παίζειν καὶ ᾄδειν ἐν τῇ κατὰ συστάδην καὶ πεζῇ μάχῃ διὰ τὸ πολλὴν ἐν τοῖς δεινοῖς ἔχειν εὐχέρειαν, καὶ τὸ μὲν σταδίῃ λείπεται τοῦ ὑσμίνῃ, ἢ μάχῃ, ἢ τοιούτου τινός. Τὸ δὲ μέλπεσθαι, εἴληπται ἀπὸ τῶν καθ' ἡσυχίαν μελπόντων παιανικῶς τῷ Ἄρεϊ, λόγῳ ἑορτῆς, ἢ καὶ τῶν πρὸ μάχης καταυλουμένων, ὡς μὴ δειλιᾷεν. Ε.

Σ. 243. Ὀπιπτεύσας] Ὀπιπτεύειν δὲ τὸ ἐποπτεύειν καὶ ἐπιτηρεῖν, καὶ ὡς ἐν Ὀδυσσείᾳ εἴρηται (Β, 294.) ἐπιόπτεσθαι. Ε.

Σ. 247. Ἓξ διὰ πτύχας] Ἤγουν θέσεις διῆλθε τῆς τοῦ Αἴαντος ἀσπίδος. Ε.

Σ. 255. Ἐκσπασσαμένω—ἔγχεα] Λέγει δὲ τὰ ἐνεχόμενα ταῖς ἀσπίσιν, ἃ προήκαντο· — τὸ ἴδιον ἑκάτερος. Σ. Β.

Σ. 258. Ἐνάρχεται πάλιν οὗτος, ἀμβλυνθείσης τῆς μάχης ἐν τῇ πρώτῃ βολῇ. Σ. Β.

Σ. 261. Στυφέλιξε] Εἰς τοὔμπροσθεν ὁρμῶντα ἔστησε καὶ ἐπέσχεν. Σ. Β. (Ἴδ. Φ, 380.).

Σ. 262. Τμήδην] Φυλάσσει μὲν Αἴαντα τῇ ὑποθέσει, τὴν δὲ καιρίαν πληγὴν Ἕκτορι δίδωσιν, ἐπὶ τὸ ἐπικίνδυνον φέρων τὴν ὑπόθεσιν. Σ. Β. — Τὸ ἐπιπολάζον δηλοῖ τῆς πληγῆς. Ἀνακηκίειν δὲ, τὸ ἀναπηδᾷν, ἀπὸ τοῦ κίω, καὶ ἀναδιπλασιασμῷ κακίω, καὶ τροπῇ κηκίω. Ἰστέον δὲ, ὡς οὐ πολὺ ἀναπήδημα αἵματος δηλοῖ τὸ ἀνακηκίειν, οὐδὲ ὁποῖον τὸ ἀνακοντίζειν ἐν τῷ, αἷμα δ' ἀνηκόντιζεν ἀπὸ στρεπτοῖο χιτῶνος, (Ε, 113.), ἠρεμαίαν δὲ σημαίνει ἀνάδοσιν. Ε.

Σ. 264. Ἀναχασσάμενος] Ὅτε δηλαδὴ καὶ τὸ ἔγχος αὖθις ἐξεσπάσθη τῆς τοῦ Ἕκτορος ἀσπίδος, λίθον εἵλετο κ. τ. λ. Ε. — Ἡττώμενος ἐν τῇ συστάδην, μετάγει τὴν μάχην, ὡς πρὸς ἄτρωτον βαρύοπλον πολεμῶν. Σ. Β.

НБ ОНУ імені І.І. Мечникова

Σ. 267. Ἐπομφάλιον] Τὸ ἐπικείμενον τῷ τῆς ἀσπίδος ὀμφαλῷ. Σ.

Σ. 269. Ἐπιδινήσας] Ὅτι δὲ ἐπιδινῆσαι τὸν λίθον πρὸ τῆς ἀφέσεως ἰσχὺν ἐπερείδει τῇ βολῇ, οὐκ ἔστιν ἀμφιβαλεῖν. Ε. — Συνεπέδωκεν ὅλον τὸ σῶμα τῇ βολῇ, καὶ πάσῃ δυνάμει ἐχρήσατο. Σ. Β.

Σ. 270. Εἴσω δ' ἀσπίδ'] Ἐπὶ μὲν Ἕκτορος τὸ ἀσθενὲς τῆς βολῆς δηλῶν, περιήχησε, φησὶν, ὡσανεὶ μηδὲ τοῦ ὀμφαλοῦ θλασθέντος· ἐπὶ δὲ τοῦ Αἴαντος κατέαξε τὴν ἀσπίδα, ὡς καὶ ὑπ' αὐτῆς πεσεῖν Ἕκτορα. Σ. Β.

Σ. 272. Ἀσπίδι ἐγχριμφθείς] Οὐκ εἶπεν ὑπὸ τοῦ λίθου, ἀλλὰ καὶ ὑπὸ τῆς ἀσπίδος· συνῶσε γὰρ αὐτὴν ἐπ' αὐτὸν ἡ βολή. Σ. Β. (ἴδ. Ε, 662.).

Σ. 273. Καί νύ κε δὴ ξιφέεσσ'] Ὅτι ἀρτίως ἐπὶ τοῖς ξίφεσι χρῆσθαι ἐληλύθασιν· ὅταν δὲ λέγῃ, τὼ δ' ἐκσπασσαμένω δολίχ' ἔγχεα, τὰ δόρατα λέγει ἐκ τῶν ἀσπίδων ἀπεσπάσαντο. Σ. Β.

Σ. 274. Εἰ μὴ κήρυκες] Οἰκονομικῶς σῶσαι θέλων τὸν Ἕκτορα, οὕτω διαλύει τὴν μάχην. Σ. Β.

Σ. 276. Ταλθύβιός τε καὶ Ἰδαῖος] Κατὰ τὸ σιωπώμενον δὲ οἱ ἡγεμόνες αὐτοὺς πέμπουσι. Σ. Β.

Σ. 282. Νυκτὶ πιθέσθαι] Πείθεταί δέ τις νυκτὶ, δηλαδὴ ἀλαλήτως ὑποτιθεμένῃ παύσασθαι ἔργων· οὐ τὸ ἀνάπαλιν ἡ ἠὼς ποιεῖ ἐν τῷ, φῶς ἀγγέλλειν Διῒ καὶ ἑτέροις, (Ὀδυσσ. Ν, 93.) Σημείωσαι δὲ καὶ, ὅτι ὁ Ταλθύβιος ἐνταῦθα σιωπᾷ καιριώτατα, ὡς καὶ ἀλλαχοῦ ἕτερα πρόσωπα, οὔτε γὰρ ἤθελε τὴν μονομαχίαν παῦσαι νικῶντα τέως ὁρῶν τὸν Αἴαντα, οὔτε μὴν προτρέπειν εἰς μάχην θαῤῥεῖ, δεδιὼς τὸ ἄδηλον, οὔπω γὰρ ἀκριβὴς ἡ νίκη· ἄλλως τε καὶ διότι νὺξ ἤδη ἐστὶν, ἐν ᾗ πάθοι ἂν ὁ Αἴας ἐπιβουλὴν μᾶλλον, ἥπερ ὁ Μενέλαος μεθ' ἡμέραν ἔπαθε· καὶ διότι ἐν νυκτὶ κρίσις τύχης, οὐ τέχνης, ἐστίν· ὁ πᾶς οὖν λόγος τῷ Ἰδαίῳ νενέμηται περισώζοντι τὸν Ἕκτορα κινδυνεύοντα. Ε.

Σ. 286. Ἀρχέτω] Εἰρήνης δηλαδὴ ὁ Ἕκτωρ· ἐγὼ δὲ πείσομαι τῷ Ἕκτορι δηλαδὴ, ἢ τῇ νυκτί· ὅπου ἂν οὗτος δηλονότι ἄρχῃ· — γοργότητος δὲ τὸ ἀρχέτω, ἀσυνδέτως λεχθέν. Ε.

Σ. 288. Αἶαν ἐπεί τοι κ. τ. λ.] Ὅτι οἶδεν ἡ τύχη τὰς τῶν ἀνθρώπων γνώμας ἑαυτῇ συνεξαλλάττειν, ὡς τὰ πολλά. Ἕκτωρ

НБ ОНУ імені І.І.Мечникова

οὖν ὁ ἐν τοῖς ἑξῆς ὑπὸ εὐτυχίας αἰρόμενος καὶ ἁμαρτοεπῆ καὶ βαυγαῖον ἐκεῖ λέγων τὸν Αἴαντα, νῦν θωπεύων αὐτὸν διὰ τὸ ὑπογυίως τῆς αὐτοῦ ἀρετῆς πειραθῆναι, πολλὰ ἐπιμαρτύρεται αὐτῷ ἀγαθά. Ε.

Σ. 289. Πινυτήν] Σωφροσύνην, φρόνησιν. Σ.

Σ. 290. Νῦν μὲν παυσώμεσθα κ. τ. λ.] Ἐπὶ γοῦν τούτοις ὁ Ἕκτωρ πείθεται καὶ ἀπαγορεύσας τρόπον τινὰ ὁμολογεῖ τὴν ἧτταν. Ε.

Σ. 292. Διακρίνῃ] Ἐντέχνως ἑαυτὸν τῆς νίκης ὑπεξίσησιν, ὡς νῦν μὴ νικηθείς. Σ. Β.

Σ. 293. Νὺξ τελέθει] Εὐπροσώπως καὶ τοῦτο, ἵνα διὰ τὸν καιρὸν εἴκειν δοκῇ. Σ. Β.

Σ. 298. Θεῖον—ἀγῶνα] Ὅτι θεῖον ἀγῶνα ἐνταῦθά φησιν ὁ ποιητὴς ἢ τὸ ἀγωνίως καὶ προθύμως εὔχεσθαι, ἢ τὸν ναὸν αὐτὸν, ὡς θεῖον καταγώγιον καὶ ἀθροιστήριον διὰ τὰ ἐν αὐτῷ ἀγάλματα. Ε. — λέγει δὲ τὰ ἱερά. Σ.

Σ. 302. Διέτμαγεν] Ὅρα δὲ τὸ διέτμαγεν ἐν φιλότητι, ἀντὶ τοῦ φιλίως διεκόπησαν χωρισθέντες ἀλλήλων, καὶ εἰπεῖν καιρίως, διακριθέντες. — Ἀριθμήσαντες] Ἤτοι φιλιωθέντες, καὶ διὰ τοῦ ἐν φιλότητι διατμαγῆναι, εἰς ἀριθμὸν, ἤγουν ἁρμονίαν φιλικὴν ἐλθόντες ἀλλήλοις· ὡς γάρ ἐστι συμπλοκὴ μάχιμος, οὕτω καὶ φιλικὴ διάτμηξις. Ε.

Σ. 303. Ὣς ἄρα φωνήσας κ. τ. λ.] Ὅτι δώροις ἀλλήλους δεξιοῦνται ὁ Ἕκτωρ τε καὶ ὁ Αἴας μετὰ τὴν μονομαχίαν, οὐκ ἐπὶ ξενίᾳ μέν τοι, ὡς ἐπὶ Γλαύκου καὶ Διομήδους ἐγένετο, ἀλλ' εἰς μνήμην τῆς μονομαχίας, καὶ τοῦ ἐπὶ ἴσοις ἀπαλλαγῆναι τοὺς ἥρωας. Ἕκτωρ μὲν οὖν ὁ καὶ προκαλεσάμενος, ὡς εἴρηται, εἰς δῶρα, ἀφοπλίσας οἷον ἑαυτὸν, δῶκε ξίφος ἀργυρόηλον σὺν κολεῷ τε φέρων καὶ εὐτμήτῳ τελαμῶνι. Αἴας δὲ, ζωστῆρα δίδου φοίνικι φαεινὸν, ὅ ἐστιν, ἐρυθροβαφῆ, φοινικῷ ἄνθει φαιδρόν. Ὅτι δὲ τὸ τοῦ Σοφοκλέους εἰπεῖν, (Αἴας, στ. 674.) δύσδωρα τὰ δῶρα ταῦτα τούτοις ἀπέβησαν ὡς ἐχθροῖς καὶ ψευσαμένοις τὸν φίλιον, ἡ ἱστορία διδάσκει. — Αἴας μὲν τῷ τοιούτῳ ξίφει ἑαυτὸν κατειργάσατο· Ἕκτωρ δὲ τῷ δωρηθέντι ζωστῆρι ἅρματος ἐκδεθεὶς, ἀπελωβήθη μετὰ θάνατον. Ε.

Σ. 308. Ἀρτεμέα] Ἀρτεμέα δὲ λέγει τὸν ὑγιῆ καὶ ἄρτιον. Ε.

Σ. 310. Ἄελπτοντες] Ἀελπέοντες ἢ ἀέλποντες, τουτέστι, δυσελπιστοῦντες σόον εἶναι. Ε.

НБ ОНУ імені І.І.Мечникова

Σ. 312. Κεχαρηότα] Τοῦ δὲ κεχαρηότα ὁ ἐνεστὼς χαρῶ χαρήσω· οὗ πατὴρ, δεύτερος μέλλων ὁ χαρῶ, ἐκ τοῦ χαίρω· ἀναδραμὼν εἰς ἐνεστῶτα, ὡς ἐν πολλοῖς γίνεται· ὁποῖόν τι καὶ τὸ δραμῶ, δραμήσω, ἐξ οὗ τὸ συνδεδραμηκέναι, καὶ τὸ τυχῶ τυχήσω, καὶ ἄλλα ὅμοια. Ε.

Σ. 316. Διέχευαν] Λέγει δὲ διαχέειν μὲν, τὸ μελίζειν· μιστύλλειν δὲ τὸ εἰς μικρὰς μερίδας κόπτειν, καὶ ὡς ἐν ἀνθ' ἑνὸς εἰπεῖν, σμικρύνειν. Ε. (Ἰδ. Α, 465.).

Σ. 320. Δαίνυντ' κ. τ. λ.] Ἡ μὲν τιμὴ εἰς Δία γίνεται, ἡ δὲ χρεία τῶν κρεῶν εἰς τοὺς στρατιώτας. Σ. Β.

Σ. 321. Νώτοισι δ' Αἴαντα διηνεκέεσσι γέραιρε] Ἔοικε γὰρ τοῖς ἐν ὑπεροχῇ τὰ νωτιαῖα κρέα παρατίθεσθαι. Φησὶ γοῦν καὶ Ἡρόδοτος (6, κεφ. 57.) γέρα εἶναι τοῖς βασιλεῦσιν ἐν Σπάρτῃ, τῶν θυομένων τὰ δέρματα καὶ τὰ νῶτα λαμβάνειν, καὶ πρώτους ἵζειν, ἐπὶ τῷ δείπνῳ, καὶ διπλάσια νέμειν αὐτοῖς τὰ πάντα. Ὅρα δὲ καὶ νῦν, οἷα εὐτελῆ τὰ τῆς ἀνδραγαθίας ἔπαθλα τοῖς ἥρωσιν· ὅπου γε καὶ τοῖς ὕστερον πίτυς, ἢ σέλινον, ἢ κότινος ἀγώνων μεγάλων ἦσαν ἔπαθλα. Ὅλως δὲ πολλαχοῦ παρά τε ἄλλοις καὶ ἱστορικοῖς καὶ ποιηταῖς κατὰ τὰ δεῖπνα τιμαὶ ἦσαν τοῖς ἀρίστοις καὶ παρ' Ὁμήρῳ δὲ (Θ, 162. Μ, 311. Ι, 207.)· ἐπεχωρίαζε δὲ τοῖς τότε τιμῆς χάριν, καὶ ὁ διὰ προπόσεως ἀσπασμός· οὐ μόνον οὖν οἱ τοῦ μύθου θεοὶ, χρυσέοις δεπάεσσι δειδέχατ' ἀλλήλους, ἤγουν ἐδεξιοῦντο προπίνοντες ἑαυτοῖς ταῖς δεξιαῖς, ἀλλὰ καί τις καθ' ἱστορίαν οὕτω δείδεκτ' Ἀχιλλῆα, ἤγουν ἐδεξιοῦτο, τουτέστι προὔπινεν αὐτῷ, τῇ δεξιᾷ φασὶ διδοὺς τὸ ποτήριον. — Τὸ δὲ διηνεκέεσσιν, ἢ ἀντὶ τοῦ διόλου, καθ' ὅλον τὸν τοῦ συμποσίου καιρὸν, ἢ ἀντὶ τοῦ ἀκεραίοις, ἢ ἐπιμήκεσιν ᾧ λόγῳ καὶ διηνεκεῖς που λέγονται ἀτραποί. (Ὀδυσσ. Ν, 195.) Ε.

Σ. 328. Πολλοὶ γὰρ τεθνᾶσι] Ὅρα δὲ ἐν τῷ, πολλοὶ γὰρ τεθνᾶσιν, ὅτι ὁ γὰρ σύνδεσμος ἐν ἀρχῇ δημηγορίας κεῖται· αἴτιον δὲ καὶ νῦν τούτου, ὅτι θέλει κατὰ μέθοδον παραβολῆς τὸ δεύτερον θεῖναι πρῶτον, ἤγουν τὴν αἰτίαν πρὸ τοῦ αἰτιατοῦ, ὡς καὶ εἴ τις εἴποι, ἄνθρωπε, καὶ γὰρ ὤχλησάς με, παῦσαι λαλῶν. Ἰστέον δὲ, ὅτι, ὥσπερ ἄμεμπτόν ἐστι τὸ ἄρχεσθαι ἀπὸ τοῦ ἐπεὶ συνδέσμου, οὕτω καὶ ἀπὸ τοῦ γάρ· ἰσοδυναμοῦσι γὰρ ἀλλήλοις οἱ σύνδεσμοι οὗτοι. Ε.

Σ. 332. Κυκλήσομεν ἐνθάδε νεκρούς] Τὸ δὲ κυκλήσομεν νε-

НБ ОНУ імені І.І. Мечникова

κροὺς, ἀντὶ τοῦ τροχοῖς ἀγάγωμεν, ἢ μάλιστα ἐφ' ἁμαξῶν κομίσωμεν, ὡς ἀπὸ μέρους· τὰ γὰρ κύκλα, ἤγουν οἱ τροχοὶ, μέρος ἁμάξης· προϊὼν οὖν ἐρεῖ, ἁμαξάων ἐπάειραν. (ἴδ. στ. 426) Ε. — Τοῦτο πρὸς παραμυθίαν μὲν τῶν ζώντων εἴρηται, οὐχ οὕτως δὲ πέπρακται διὰ τὴν στάσιν τῶν Ἀτρειδῶν, καὶ τὸν ἀποθύμιον πλοῦν Σ. Β.

Σ. 334. Τυτθὸν ἄπο πρὸ νεῶν] Ἴδ.

Σ. 336. Ἐξαγαγόντες] Τὸ ἐξαγαγόντες, ἀντὶ τοῦ ἐξελθόντες, ἐκπορευθέντες· οὗ τὸ ἀνάπαλιν ἐν τῷ, Λαοδίκην εἰσάγουσα, ἤγουν εἰσπορευομένη, εἰσιοῦσα (Ζ, 252). Ε.

Σ. 337. Ἄκριτον ἐκ πεδίου] Ἄκριτον δὲ τύμβον λέγει τὸν μὴ διακεκριμένον εἰς ἕνα τινὰ νεκρὸν, ἀλλὰ δηλονότι κοινὸν ὄντα πολλῶν, ὁποῖα τὰ κυρίως πολυάνδρια. Ε. (ἴδ. στ. 436.). — ἐκ πεδίου· ἢ μάλιστα ἐν πεδίῳ. — Τὸ δὲ ἐκ πεδίου, ἀντὶ τοῦ ἔξω που τῆς πεδιάδος, πλὴν οὐ πάνυ μακράν· τὸ γοῦν τεῖχος, ποτὶ αὐτὸν, ἤγουν περὶ αὐτὸν τὸν τύμβον ἔδειμαν, καὶ ἐγγὺς αὐτοῦ. Ε.

Σ. 338. Πύργους ὑψηλούς] Τὸ δὲ πύργους ὑψηλοὺς ἐκ μέρους δηλοῦν τὸν ὅλον τειχισμὸν, παρατετηρημένως κεῖται, ὡς μὴ καὶ τοῦ τείχους διόλου ὑψηλοῦ ὄντος, καθὰ ἐν τοῖς ἑξῆς φανήσεται. (ἴδ. Μ, 397)· — εἶλαρ δὲ, παρὰ τὸ εἰλεῖν καὶ ἔσω συγκλείειν, ἀσφάλεια, φυλακὴ, φραγμός. Ε.

Σ. 339. Πύλας ποιήσομεν] Μία μὲν ἱππήλατος ἐπὶ τὸ ἀριστερὸν τοῦ ναυστάθμου· τὰς δὲ λοιπὰς πυλίδας εἶχον πρὸς τὰς ἄλλας μικρὰς χρείας. Σ. Β. — Τὸ δὲ πολλὰς ἱππηλάτους πύλας τῷ Ἑλληνικῷ γενέσθαι τείχει, ἀντιλέγεται. Ε.

Σ. 340. Ἱππηλασίη] Τὸ δὲ ἱππηλασίη ὁδὸς, ἐντελῶς ἐφράσθη, ἄλλως δὲ ἱππηλασία παρὰ τοῖς ὕστερον ἀπολύτως, τὸ ἐλάσαι ἵππους. Ε. — ἱππηλασίη· πλατεῖα, ἵππων ἐλασίᾳ. Σ.

Σ. 342. Ἀμφὶς ἐοῦσα] Περὶ αὐτοὺς οὖσα τοὺς πύργους. Σ.

Σ. 343. Ἐπιβρίσῃ] Ἐπιβαρύσῃ. Σ.

Σ. 344. Ἐπήνησαν] Συγκατέθεντο. Σ.

Σ. 346. Τετρηχυῖα] Ὅ ἐστι ταραχώδης, τοιαύτη γὰρ ἡ δημοτικὴ ἄθροισις. Ε. — Δηλοῖ ὡς οὐχ οἱ βασιλεῖς συνήγαγον αὐτοὺς, ἀλλ' ἀγανακτοῦντες ἧκον εἰς τὰ βασίλεια. Σ. Β.

Σ. 347. Ἀντήνωρ] Ὡς πρόξενος Ἑλλήνων, καὶ ἀεὶ δημηγορῶν, καὶ θεοσεβής. Ἕκτωρ δὲ σιωπᾷ, ὡς αἰσχυνόμενος διαλύειν τὴν μάχην, ἵνα μὴ δοκῇ πρὸς τὸ τέλος ἡττῆσθαι. Σ. Β.

Σ. 351. Νῦν δ' ὅρκια πιστὰ] Ὅρκια δὲ πιστὰ, τὰ πιστοποιά



НБ ОНУ імені І.І.Мечникова

ὅθεν καὶ πιστωθῆναι ὅρκῳ, τὸ πίστιν δοῦναι δι' ὅρκου· — ὅρκια πιστὰ ψευσάμενοι, ἤγουν ἐπιορκήσαντες. Ε.

Σ. 353. Ἵνα μὴ ῥέξομεν ὧδε] Ἀντὶ τοῦ ἐὰν μὴ ῥέξομεν οὕτω. — Τὸ δὲ ἵνα μὴ ῥέξομεν ὧδε, ἠθέλησάν τινες εἰπεῖν ἀντὶ τοῦ, ὅπου μὴ ποιήσομεν οὕτως· οὐκ εὖ δέ· στέργεται γὰρ μᾶλλον ἡ προῤῥηθεῖσα ἐξήγησις. Ε.

Σ. 357. Φίλα ταῦτ' ἀγορεύεις] Οὐ γὰρ τὰ κοινῇ συμφέροντα βούλεται ἀκούειν, ἀλλὰ τὰ πρὸς ἰδίαν χάριν. Σ. Β. — Ὅρα δὲ καὶ ὅτι οὐ ψέγει τὸν τοῦ Ἀντήνορος λόγον ὁ φαυλότατος, ἀλλὰ καλὸν μὲν εἶναι νοεῖ, διὰ τὸ κοινῇ συμφέρον· ἐθέλει δὲ τὸν Ἀντήνορα νοῆσαι ἄμεινον ἄλλον νόημα, τῇ αὐτοῦ κακίᾳ σύμφωνον. Ε. — καί τοι οὐδὲν ἦν βέλτιον τοῦ δοῦναι τὰ ἀλλότρια, καὶ τοῖς ὅρκοις ἐμμένειν· οὗτος δὲ ἡττώμενος θηλυμανίας, ὡς πολέμιον αὐτὸν διαβάλλει. Σ. Β.

Σ. 359. Ἀπὸ σπουδῆς] Ἀντὶ τοῦ σπουδαίως, καὶ οὐχ ὡς ἐπὶ πείρᾳ τινί. Ε. — Ἀπὸ φροντίδος, καὶ ἐπιμελῶς λέγεις. Σ.

Σ. 362. Ἀντικρὺ δ'] Τὸ δὲ ἀντικρὺ τὸ φανερῶς δηλοῖ, καὶ ὡς ἄν τις ἐρεῖ, ἐξ ἐναντίας καὶ κατὰ ἀντίκρουσιν· τὸ μέν τοι ἄντικρυς, τῶν μεθ' Ὅμηρόν ἐστι, καὶ ἑτεροίαν σημασίαν ἔχει. Ε. Σ. (ἴδ. Γ, 359.). — Ἀπόφημι] Ἀποφαίνω, ἀπολέγω, ἀποκρίνομαι. Σ.

Σ. 363. Κτήματα δ'] Κτήματα μὲν οἱ μεθ' Ὅμηρον ἰδίως ἐπὶ ἀγρῶν καὶ οἴκων φασίν· Ὅμηρος δὲ ἐπὶ πάντων ἁπλῶς τῶν ὑπαρχόντων, ὡς καὶ ἐνταῦθα φαίνεται. Ε.

Σ. 367. Εὐφρονέων] Οὔτε γὰρ Ἀντήνορι ἀντιλέγει, οὔτε τῷ παιδὶ, πολιτικὴν ὑφορώμενος στάσιν διὰ τοὺς συναιρομένους αὐτοῖς· ἢ τάχα καὶ τοὺς Ἕλληνας ἀκούων δυσχεραίνοντας τῷ μήκει τῆς μάχης, ᾤετο δέξασθαι τὴν πρεσβείαν. Σ. Β.

Σ. 371. Ἐγρήγορθε] Γίνεται δὲ τὸ ἐγρήγορθε, ἐκ τοῦ ἐγρηγόρετε προστακτικοῦ κατὰ συγκοπὴν καὶ τροπὴν τοῦ ψιλοῦ εἰς δασύ. Ε.

Σ. 380. Ἐν τελέεσσιν] Ὅτι τέλη τὰ στρατιωτικὰ λέγει τάγματα. Ε.

Σ. 384. Ἠπύτα κῆρυξ] Ὁ ἐστι φωνητικός· — ἀπὸ τοῦ ἠπύειν· ἐπὶ λογικῶν δὲ μόνων τὸ ἠπύειν, ὡς καὶ τὸ αὐδᾷν καὶ ἐνέπειν, ἐξ οὗ τὸ ἠπύειν καὶ δωρικῶς ἀπύειν. Ε.

Σ. 388. Ἀλεξάνδροιο] Τὸ τυραννικὸν Ἀλεξάνδρου δεικνὺς, προτέρους κατὰ τῶν Τρώων ποιεῖ τοὺς Ἕλληνας. Σ. Β.

Σ. 390. Ὡς πρὶν ὤφελλ' ἀπολέσθαι] Φασὶν οἱ παλαιοί, μὴ
εἰς ἐπήκοον ἐκφωνηθῆναι τὸ τοιοῦτον ὑπὸ τοῦ κήρυκος, εἰ καὶ ἡ
ποιητικὴ αὐτὸ μοῦσα ἐξελάλησεν, ἀλλὰ διὰ λύπην ὑφειμένῃ καθ'
αὑτὸν φωνῇ λαληθῆναι, διὰ μέσου ἀναφωνηθέν. Ε.

Σ. 398. Ἀκὴν ἐγένοντο σιωπῇ] Τῶν δὲ Ἑλλήνων τὸ μὲν
πλῆθος σιγᾷ, ὅτι τῶν βασιλέων ἦν τὸ ἀποκρίνασθαι· οἱ δέ γε
βασιλεῖς σιωπῶσιν, οὐ μόνον φειδοῖ τῶν Ἑλλήνων, ἵνα μὴ δό-
ξωσιν ἐπὶ καλῷ τῷ ἑαυτῶν οἱ Ἀτρεΐδαι παραβάλλειν κινδύνοις
τοὺς ἄλλους, ἀλλὰ καὶ διότι θαῤῥοῦσιν ὡς αἰσχυνόμενοι οἱ ἀρι-
στεῖς οὐδὲν ἐροῦσιν ἄνανδρον. Ε.

Σ. 400. Μήτ' ἄρ τις νῦν] Ὅτι πάνυ μεγαλόφρων ὁ Διομή-
δης κἀνταῦθα· ὁ μὲν γὰρ Ἀλέξανδρος διὰ τοῦ Ἰδαίου οὐ δώσειν
τὴν Ἑλένην φησίν, ἀλλὰ μόνα κτήματα. Διομήδης δὲ συμβου-
λεύει, ὡς μήτ' ἄρ τις νῦν κτήματ' Ἀλεξάνδροιο δεχέσθω, μήθ'
Ἑλένην ὑποτείνων καὶ ἀγαθὴν ἐλπίδα, ὡς ἤδη ἁλίσκεται ἡ
Τροία. Ε.

Σ. 407. Ὡς τοι ὑποκρίνονται] Ἰστέον δὲ καὶ ὅτι οὐκ οἶδεν
Ὅμηρος τὴν λέξιν τοῦ ἀποκρίνασθαι, ὡς καὶ ἐν ἄλλοις φανεῖ-
ται, ἀλλ' ἀντ' αὐτοῦ τῷ ὑποκρίνασθαι κέχρηται· φασὶ δὲ καὶ
τὸν παρὰ τοῖς δραματικαῖς ὑποκριτὴν οὕτω λέγεσθαι, διὰ τὸ
πρὸς τὸν χορὸν ἀποκρίνεσθαι. Ε.

Σ. 408. Οὔτι μεγαίρω] Ἤγουν οὐ φθονῶ, ὅ ἐστι μέμφομαι
καίειν τοὺς νεκρούς. Ε.

Σ. 410. Πυρὸς μειλισσέμεν] Διὰ πυρὸς μειλίσσειν· λέγει δὲ
κηδεύειν καὶ ταφῆς μεταδιδόναι, ἢ διὰ πυρὸς θάπτεσθαι. Σ.

Σ. 411. Ὅρκια δὲ Ζεὺς ἴστω] Ὅτι τὸ, ὅρκια δὲ Ζεὺς ἴστω,
ἀπορίαν ἔχει· οὐ γὰρ εὕρηται οὔτε ὁ βασιλεὺς ἐνταῦθα, οὔτε
πρὸ αὐτοῦ ὁ Πρίαμος ἐπὶ τοῖς συντεθειμένοις ὀμωμοκότες· ὑπο-
νοητέον οὖν σιωπηλῶς, ὡς καὶ ὅρκοι ἐξεφωνήθησαν μὲν, οὐκ
ἐγράφησαν δὲ τῷ ποιητῇ διὰ τὸ πασίδηλον. Ε.

Σ. 412. Τὸ σκῆπτρον] Ὅτι ὥσπερ ἐν τῇ α ῥαψῳδίᾳ (στ. 239.),
τὸ σκῆπτρον τῷ Ἀχιλλεῖ μέγας ὅρκος ἦν, οὕτω καὶ νῦν τὸ
σκῆπτρον ἀνέσχεθε πᾶσι θεοῖσιν Ἀγαμέμνων ἐφ' οἷς τῷ Ἰδαίῳ
εἶπεν, ὡς ἱερὸν καὶ βασιλείας σύμβολον ἐκ Διὸς, καὶ ἐλογίσθη
τοῦτο εἰς ὅρκον· — ὥσπερ δὲ σκῆπτρον ὁ βασιλεὺς ἀνέσχεν ἐν-
ταῦθα, οὕτω τις ἑτέρωθι ἀνέσχε χεῖρα, καὶ εὐχὴν ἕτερος, καὶ
δόρυ ἄλλος. Ε.

Σ. 413. Ἀψοῤῥον] Ὀπισθορμήτως· ἔστι δὲ μεσότητος ἐπίῤ-



НБ ОНУ імені І.І.Мечникова

ῥῆμα· γίνεται δὲ ἐκ τοῦ ἄψ, τοῦ σημαίνοντος τὸ ὀπίσω, καὶ τοῦ ὄρω, τὸ διεγείρω, πλεονασμῷ τοῦ ῥ ποιητικῶς. Σ. Β.

Σ. 416. Ἀπέειπε] Ἤγουν ἁπλῶς εἶπεν· — ἢ μάλιστα τὸ Ὁμηρικώτερον τὴν ἀπόφασιν ἡ λέξις δηλοῖ, τὴν, ὅτι οὔτε τὰ κτήματα, οὔτε τὴν Ἑλένην οἱ Ἀχαιοὶ δέχονται. Ε. — ἀπεδοκίμασε, καὶ ὡς ἀνωφελῆ ἀνήγγειλεν, ὅτι μὴ προσεδέξαντο τὴν πρεσβείαν οἱ Ἕλληνες. Σ. Β.

Σ. 417. Ὡπλίζοντο μάλ' ὦκα] Ὅτι ὁπλίζεσθαι καὶ ἐνταῦθα τὸ ἁπλῶς εὐτρεπίζεσθαι· φησὶ γὰρ τοὶ δ' ὡπλίζοντο, ἤγουν οἱ Τρῶες — ἕτεροι δὲ μεθ' ὕλην, ἀντὶ τοῦ εἰς τὸ ὀρεινὸν δάσος. — Δῆλον δὲ, ὡς καινόσχημόν ἐστι τὸ, ὡπλίζοντο νέκυάς τε ἄγειν, ἕτεροι δὲ μεθ' ὕλην· ἦν γὰρ κοινότερον τὸ, οἱ μὲν ὡπλίζοντο εἰς νεκύων ἀγωγὴν, ἕτεροι δὲ εἰς ὕλην· ἢ καὶ ἄλλως, νέκυάς τε ἄγειν καὶ ξύλα. Ε.

Σ. 418. Ἀγέμεν] Τὸ δὲ ἄγειν ἰσοδυναμεῖ καὶ νῦν τῷ φέρειν. Ε. — Μεθ' ὕλην] Ἐπὶ ξύλα· ὕλη δὲ ἡ σώρευσις τῶν ξύλων. Σ.

Σ. 421. 422. Ἠέλιος μὲν κ.τ.λ.] Ὅτι τὸ ἀνατεῖλαι τὸν ἥλιον περιφράζων, φησίν· ἠέλιος μὲν ἔπειτα κ. τ. λ. — ἐν ὀλιγίστῳ ῥητέον τὸ τοῦ Γεωγράφου, εἰπόντος, ὅτι τὸ ἀκαλαῤῥείτης ἔμφασιν ἔχει τῆς τοῦ Ὠκεανοῦ πλημμυρίδος, ἐχούσης τὴν ἐπίβασιν πρᾳεῖαν, καὶ οὐ τελείως ῥοώδη· ὥστε ὁ σοφὸς οὗτος τὸ ἀκαλαῤῥείτης, ὃ δηλοῖ τὸν ἡσύχως ῥέοντα, οὐχ ὡς ἐπὶ ποταμοῦ τοῦ Ὠκεανοῦ λαμβάνει, ἀλλ' ὡς ἐπὶ θαλάσσης ἐκείνης τῆς ἔξω ἀμπωτιζομένης ἠρέμα, καὶ οὐ καταῤῥακτικῶς ἐν τῷ πλημμύρειν ἐπιβαινούσης εἰς γῆν. Ε. — Ἡσύχως καὶ πρᾴως ῥέοντος· ἀκαλὸν γὰρ τὸ ἥσυχον λέγουσι. Σ.

Σ. 424. 425. Ἔνθα διαγνῶναι] Ὅτι χαλεπῶς μέν φησιν ἦν διαγνῶναι ἄνδρα ἕκαστον τῶν τεθνεώτων δηλαδή· ἀλλ' ὕδατι νίζοντες ἄπο βρότον αἱματόεντα, ὅ ἐστιν ἀποκαθαίροντες τὸν ἐκ τοῦ αἵματος μολυσμὸν, καὶ οὕτως ἐπιγινώσκοντες οἱ αὐτοὺς ἀναλεγόμενοι, δάκρυα θερμὰ χέοντες κ. τ. λ. Ε. — Βρότον αἱματόεντα] Βρότος τὸ μετὰ ἱδρῶτος καὶ κόνεως αἷμα. Σ.

Σ. 427. Οὐδ' εἴα κλαίειν Πρίαμος μέγας] Σημείωσαι δὲ καὶ ἐνταῦθα, ὅτι οὕτω διασκευῶν παραδόξων ἐφευρετικὸς ὁ ποιητὴς, ὥστε ἤνυσεν ἰδοὺ εὐμεθόδως ἀόπλους εἰς τὸ πεδίον συναγαγεῖν καὶ ἀναμίξαι Τρῶάς τε καὶ Ἕλληνας ἐν τῇ τῶν νεκρῶν συλλογῇ· πρὸς ἀλλήλους μὲν οὐδὲν φθεγγομένους, ἐπὶ δὲ τοῖς τεθνεῶσι παθαινομένους· καὶ ὅτι βαρβαρικὸν μὲν τὸ ἀκρατῶς κλαίειν,

Наукова бібліотека
ОДЕСЬКОГО НАЦІОНАЛЬНОГО
УНІВЕРСИТЕТУ
імені І. І. МЕЧНИКОВА

НБ ОНУ імені І.І. Мечникова

ὃ καὶ ποιοῦντες, ἢ καὶ ποιεῖν ἐθέλοντες οἱ Τρῶες κωλύονται ὑπὸ τοῦ Πριάμου, ἵνα τὸ μὴ δόξωσι μαλακοὶ εἶναι διὰ τὸν κλαυθμὸν, καὶ μηδὲ ἀμελῶσι τοῦ ἔργου καὶ κατακλώμενοι, ὃ δὴ καὶ ἡ τοῦ κλαίειν λέξις βούλεται. Οἱ μέν τοι Ἕλληνες μόνον ἀχνύμενοι κῆρ, ἐπισωρεύουσι τῇ πυρκαϊᾷ τοὺς νεκροὺς, διὸ οὐδ' ἂν κωλύοιντο ὑπ' οὐδενός· ὡς γὰρ ὑφεῖται τῷ γέλωτι τὸ μειδίαμα, οὕτω καὶ τῷ κλαυθμῷ τὸ ἄχνυσθαι. Ε. — Βαρβάρων ἴδιον ὁ θρῆνος· τῶν δὲ Ἑλλήνων, τὸ μεγαλόψυχον· μόνον γὰρ ἀχνύμενοί φησιν· τὸ γὰρ μηδόλως λυπεῖσθαι, ἀπαθείας ἐστί. Σ. Β. — Οὐδ' εἴα κλαίειν· ἵνα μὴ κατάδηλοι τοῖς πολεμίοις εἶεν, ὡς μαλακιζόμενοι. Σ. Β.

Σ. 428. Ἐπενήνεον] Ἤγουν ἐπεσώρευον εἰς πυρκαϊάν· ἔστι γὰρ νῶ, τὸ σωρεύω, καὶ ἀναδιπλασιασμῷ νανῶ, καὶ τροπῇ νηνῶ, ἐξ οὗ τὸ ἐπενήνεον. Ε.

Σ. 433. Ἀμφιλύκη νύξ] Ὅτι ἀμφιλύκη νὺξ, τὸ παρ' ἡμῖν ἰδιωτικώτερον λεγόμενον λυκόφως, ὅπερ οὔτε ἡμέρα ἤδη ἐστὶν, ἀλλ' οὐδὲ νὺξ ἐστιν ἁπλῶς, νὺξ δὲ ἀμφιλύκη· καὶ ἄλλως δὲ εἰπεῖν, ἀμφιλύκην νύκτα καλεῖ ὁ ποιητὴς, τὴν ἤδη πρὸς τῇ ἡμέρᾳ οὖσαν, καὶ προηγουμένην τῆς ἠοῦς, ἤτοι τοῦ ὄρθρου· — ἐτυμολογεῖται δὲ παρὰ τὴν λύγην, ὅ ἐστι τὴν σκοτίαν, λυγαῖον γὰρ, ὅ ἐστι σκοτῶδες τὸ τηνικαῦτα φῶς. Ε.

Σ. 434. Κριτὸς λαός] Ἔκκριτος, ἐξειλεγμένος εἰς τὸ ἔργον. Σ.

Σ. 435. 436. Τύμβον ἄκριτον] Ὅ ἐστιν ἀδιαχώριστον διὰ τὴν κοινότητα. Ε. — Ἐκ πεδίου] Ἰδ. στ. 337.

Σ. 440. Ἐπ' αὐτῷ] Ἤγουν τῷ τείχει. Ε.

Σ. 441. Μεγάλην] Τὸ δὲ μεγάλην, τοῦ μήκους ἐστὶ δηλωτικόν· — εἰσὶ δὲ σκόλοπες ὀρθὰ ξύλα, ὧν ἀποξυμμένων, ἡ κατὰ γραμμὴν εὐθεῖαν στάσις ἔοικεν ἡπλωμένῃ πτέρυγι· διὸ καὶ σταυροῖσι κορσωτὴν πτέρυγα τὴν τούτων ἔκτασιν ἔφη τις· λέγονται δὲ οἱ τοιοῦτοι σκόλοπες καὶ σταυροὶ παρὰ τὸ ἵστασθαι κατ' εὖρος· ἢ παρὰ τὸ ἀνίστασθαι εἰς ἀέρα ἠρμένους· ἐκ δὲ τούτων τὸ ἀνασκολοπίζειν καὶ τὸ ἀνασταυροῦν. Εἰ δὲ καὶ τὸ σκολύπτειν ἐκ τῶν σκολόπων λέγεται διὰ τὴν ἀφαίρεσιν τοῦ ἄνω καλύμματος, ἐπεὶ καὶ οἱ σκόλοπες γυμνοί εἰσι τῷ ἄνω ὀξὺ, ζητητέον ἄλλοθεν· ὡς δὲ τοὺς τοιούτους σταυροὺς οἱ ἀπερίσκεπτα κατὰ παραφθορὰν λαλοῦντες στάβαρα καλοῦσι, δῆλόν ἐστι. — Σημείωσαι δὲ καὶ ὅτι τὸ Ἑλληνικὸν τοῦτο τεῖχος ἀρέσκει τοῖς παλαιοῖς πλάσμα εἶναι Ὁμηρικόν· — ἵνα δὲ μὴ ἐλέγχηται ὑπὸ τῶν ὕστερον, ὡς

НБОНУ імені І.І. Мечникова

ψευσάμενος, ζητούντων μὲν βραχέα γοῦν τινα ἰδεῖν γνωρίσματα τῆς τοιαύτης περιπύστου τειχοποιίας, μὴ εὑρισκόντων δὲ, παράγει τὸν Ποσειδῶνα ὀργιζόμενον ἐπὶ τῷ ἔργῳ τούτῳ· ἔτι δὲ καὶ ἐπεγκαλοῦντα τοῖς Ἕλλησι, διότι μηδὲ θύσαντες ἑκατόμβας, εἶτα τειχοποιεῖν ἐπιβάλλονται· καὶ τὸν Δία ποιοῖ καταψηφιζόμενον τοῦ Ἑλληνικοῦ ἔργου, καὶ κηροῦντα τὸν τείχους ἀφανισμὸν, καλύψει μὲν ψαμάθων ὕστερον, πρὸ δὲ τούτου, ἀναῤῥήξει καὶ ἐκμοχλεύσει τῶν θεμελίων τῇ διὰ σεισμῶν δηλαδὴ, καὶ ὑδάτων· — διὰ δὲ τοῦ παντελοῦς αὖθις ἀφανισμοῦ διαφεύγει τὸν τοῦ ψεύδους ἔλεγχον, αὐτός ποιήσας τὸ τεῖχος, αὐτὸς ἀφαντώσας, ὡς καὶ Ἀριστοτέλης δηλοῖ, ὅπου ἔφη, ὅτι τὸ τεῖχος ὁ φράσας ποιητὴς ἠφάνισε. Ε.

Σ. 444. Θηεῦντο] Ἤγουν ἐθαύμαζον, ἐκ τοῦ θηῶ θηήσω, ἐξ οὗ θηητὸν τὸ θέας ἄξιον· — καὶ θαυμάζειν ἀπὸ θέας καὶ αὐτὸ ὁμοίως. Ε.

Σ. 445. Τοῖσι δὲ μύθων κ. τ. λ.] Ὅτι δὲ φθόνος τῶν ἑλληνίων κατελαλεῖτο θεῶν, διαῤῥήδην φησὶ καὶ Ἡρόδοτος ἔν τε ἄλλοις, καὶ ἐν τῷ, τὸ θεῖον ὡς ἔστι φθονερόν· (κεφ. Γ. 176). Ε. — Ἀναιρῆσαι τὸ πλάσμα τοῦ τείχους σπουδάζων ὁ ποιητὴς, ὥσπερ ἀπὸ μηχανῆς βοήθειαν πορίζεται εἰς τὸ μηδένα ἐπιζητεῖν ὕστερον τὰ τῶν τειχῶν ἴχνη· οὐδενὶ δὲ ἥρμοττεν ἡ κατηγορία ἢ Ποσειδῶνι καὶ Ἀπόλλωνι, ἀντιτειχιζόντων τῶν Ἑλλήνων τῷ Τρωϊκῷ τείχει. Σ. Β.

Σ. 447. Ἐνίψει] Τουτέστιν, εἰσί τινες ἔτι καὶ μετὰ τοὺς Τιτᾶνας ἐκείνους καὶ τοὺς Γίγαντας, οἳ κακολογήσουσι καὶ βλάψουσιν ἡμᾶς, εἴπερ οἱ Ἀχαιοὶ τοιαῦτα δρῶσι δίχα ἡμῶν· ἐπάγει οὖν, οὐχ ὁρᾷς, ὅτι κ. τ. λ. καὶ οὕτω μέν τινες ἀποφατικῶς καὶ τὸ ῥηθὲν ἐνόησαν· ἕτεροι δὲ, οὕτω κατ' ἐρώτησιν· Ζεῦ πάτερ, ἆρα δή ἐστί τις περὶ γῆν, ὃς ἐνίψει, τουτέστιν ἐνίσπῃ βουλὴν οἰκείαν ἡμῖν τοῖς θεοῖς λόγῳ μαντείας, ἢ καὶ θύσει; ἵνα νοῆται, ὡς οὐδείς ἐστιν ὁ τοῦτο ποιήσων, εἴπερ οἱ Ἀχαιοὶ οὕτω τειχίζουσι μήτε μαντευσάμενοι, μήτε θύσαντες· δοκεῖ δὲ κρείττων εἶναι ἡ πρώτη ἔννοια· τά τ' ἄλλα, καὶ ὅτι τὸ ἐνίψει οὐχ ἁπλῶς δηλοῖ τὸ ἐνίσπῃ, ἤγουν ἐρεῖ, ἀλλὰ τὸ κακολογήσει. Ε. — Ἐνίψει] Ἀνακοινώσεται διὰ θυσιῶν, συνεργοὺς αὐτοὺς θέλων λαλεῖν (ἀναγν. λαβεῖν.)· οἱ γὰρ θύοντες εἴσονται παρὰ θεῶν, εἰ δεῖ ἔργοις ἐγχειρεῖν, ἢ οὔ. Σ. Β. — Κυρίως μὲν ἐπιπλήξει διὰ λόγων· νῦν δὲ ἀντὶ τοῦ ἐρεῖ· καὶ λέξει. Σ.

Σ. 449. Νεῶν ὕπερ] Τὸ δὲ νεῶν ὕπερ, ἢ ἀντὶ τοῦ ἕνεκεν, ἢ ἀντὶ τοῦ ὑπεράνω τῶν νεῶν. Ε.

Σ. 453. Ἀθλήσαντε] Καὶ σημείωσαι τὸ ἀθλήσαντες (Εὐστάθ.)

...ніверситету імені І. І. МЕЧНИКОВА
НБ ОНУ імені І.І.Мечникова

ἀντὶ τοῦ κακοπαθήσαντες· ἔστι γὰρ ὅτε τὸ ἄεθλον τὸν μὴ ἐθελητὸν κόπον σημαίνει. — Τὸ δὲ ἥρῳ, ἢ ἀποκέκοπται ἐκ τῆς ἥρωϊ δοτικῆς, ἢ ἀπὸ ἰσοσυλλάβου κλίσεως γέγονεν. Ε.

Σ. 458. Σὸν δ' ἤτοι κλέος ἔσται] Ἀστείως ὁ Ζεὺς τὸν Ποσειδῶνα σοφίζεται, εἰπών· σὸν δή τοι κλέος ἔσται, κ. τ. λ. οὐ γὰρ εἶπεν, ὅτι τοῦ κατὰ σὲ καὶ τὸν Ἀπόλλωνα τείχους μακρὸν ἔσται τὸ κλέος, ἀλλὰ τὸ σὸν κλέος, ὡς Ποσειδῶνος δηλ. Ε.

Σ. 461. Ἀναῤῥήξας] Ἀναῤῥῆξαι λέγει τὸ ἀνασαλεῦσαι, ἀναμοχλεῦσαι· — προαναφωνεῖ δέ πως ἐνταῦθα ὁ ποιητὴς τὸν τοῦ Ἑλληνικοῦ τείχους ὕστερόν ποτε ἀφανισμόν. Ε.

Σ. 463. Ἀμαλδύνηται] Τὸ δὲ ἀμαλδύνειν· λέξις μέν ἐστι ποιητικὴ πεζῷ λόγῳ δύσχρηστος· γίνεται δὲ ἀπὸ τοῦ ἀμαλόν, ὃ δηλοῖ τὸ ἁπαλόν· ὅθεν καὶ ἀμαλάπτειν παρὰ Λυκόφρονι τὸ οἷά τι ἁπαλὸν καὶ εὔφθαρτον ἀφανίζειν· — καὶ μαλερόν, τὸ εὔφθαρτον δι' ἁπαλότητα, ἢ τὸ μαραντικὸν τῶν ἁπαλῶν σωμάτων. Ε.

Σ. 466. Βουφόνεον] Βουφονεῖν ἐστιν οὐ τὸ θύειν θεοῖς· ἄτοπον γὰρ ἐπὶ θυσίας φόνον λέγειν, ἀλλὰ τὸ φονεύειν βοῦς εἰς δείπνου κατασκευήν. Σ. Β. — Ὅτι δὲ ἐκ τοῦ βουφονεῖν ἐπενοήθη τοῖς Ἀθηναίοις ὕστερον βουφόνια εἰπεῖν ἑορτήν τινα μεγάλην τῶν παρ' αὐτοῖς, οὐ σφαλερῶς ἂν εἴποι τις. Ε.

Σ. 467. Ἐκ Λήμνοιο] Ὅτι πολύοινος πάλαι ποτὲ δοκεῖ εἶναι καὶ ἡ Λῆμνος. — Παρέστασαν] Τὸ δὲ παρέστασαν, ἐγγύς ἐστι τοῦ εἰπεῖν ἐνελιμενίσθησαν, οὐ μὴν καὶ ὡρμίσθησαν· τριστοιχεὶ γὰρ ἱσταμένων τῶν Ἑλληνικῶν νεῶν, ὁ τρίτος πρὸς τῇ θαλάσσῃ στοῖχος ὥρμιστο· αἱ δὲ μετ' αὐτὸν ἄρτι Λήμνιοι νῆες παρέστασαν, ἤγουν κατὰ πλατὺν λιμένα ἐγγὺς ἦσαν ταῖς πρὸς τῷ ὅρμῳ ναυσί. Τὸ δὲ ἄγειν ἐπὶ ἀψύχου καὶ νῦν τοῦ οἴνου ἔφη, διὰ τὰς νῆας, αἷς ᾤκείωται τὸ ἄγειν. Ε.

Σ. 468. Ἰησονίδης Εὔνηος] Λήμνιοι τὰς ἐξ ἔθους θυσίας τῇ Ἀφροδίτῃ μὴ ἀποδιδόντες, καθ' ἑαυτῶν θάνατον ἐνομοθέτησαν. Τὴν γὰρ θεὸν ὀργισθεῖσαν λέγεται τοῖς ἀνδράσιν ἵμερόν τινα τῶν Θρακίων ἐμβαλεῖν γυναικῶν, τῶν δὲ ἰδίων ἀμελῆσαι, καὶ καθέζεσθαι ἐφ' ἡσυχίας. Διέβαινον οὖν εἰς τὴν Θρᾴκην, περιέποντες καὶ συμμιγνύμενοι ταῖς ἐνταῦθα· ταῖς δὲ γυναιξὶ τῶν Λημνίων ἔκτοπον λύσσαν ἐμπεσεῖν, ὥστε ψηφίσασθαι πάσας ἀνδροκτονεῖν, καὶ δὴ τῆς ἐπιβουλῆς ταύτης ἐπιτυχεῖν. (Καὶ μὴ τῆς ἐπιβουλῆς ταύτης ἀποτυχεῖν. Σ. Β.) Γενομένου δὲ τούτου τοῦ ἀτυχήματος περὶ τοὺς ἄνδρας, φασὶ

НБ ОНУ імені І.І.Мечникова

τὸν Ἰάσονα μετὰ τῆς Ἀργοῦς ἐξοκείλαντα εἰς τὴν νῆσον, τῇ κρατίστῃ πασῶν Ὑψιπύλῃ μιγῆναι· ἐξ ἧς γενέσθαι τὸν Εὔνηον· ἡ ἱστορία παρὰ Ἀσκληπιάδῃ ἐν τραγῳδουμένοις. Σ. (Ἴδ. Ἀπολλόδ. κεφ. Β, 9.)

Σ. 470. Χωρὶς] Τουτέστι, ἰδιαζόντως. Ε.

Σ. 471. Μέθυ] Τουτέστιν οἶνον χίλια μέτρα· ὅπερ ἡ κοινοτέρα φράσις οἴνου χίλια μέτρα φησί· ξέσται δέ τινες ἦσαν ταῦτα τὰ μέτρα. Ε.—ἤτοι οἴνου χίλια κεράμια, ἢ χιλίους χοέας. Σ.

Σ. 472. Οἰνίζοντο] Τὸ δὲ οἰνίζεσθαι καθ' ὁμοιότητα λέγεταί τινα τοῦ ὑδρεύεσθαι· ὡς γὰρ ὑδρεύεταί ποθεν ὁ χορηγίαν ἐκεῖθεν ἔχων ὕδατος, οὕτως οἰνίζεται ὁ οἶνον ποριζόμενος. Ὅρα δὲ ὡς ἄψογον μὲν τὸ οἰνίζεσθαι, οὐκ ἐπαινετὸν δὲ τὸ οἰνοῦσθαι· μέθην γὰρ ἡ λέξις ἐνδείκνυται. Ε. — οἰνοῦντο. Σ.

Σ. 473. Ἄλλοι μὲν χαλκῷ] Ἀμοιβαῖς οἱ παλαιοὶ ἐχρῶντο, καὶ οὐ νομίσμασιν· οὔπω γὰρ ἦν παῤῥησία νομίσματος δουλοποιοῦ ἐν ἀνθρώποις. Ε.

Σ. 474. Ῥινοῖς] Ῥινοὶ δὲ, αἱ βύρσαι, βόες ἐστὶν ὅτε καὶ αὐταὶ τῷ τοῦ ὅλου ὀνόματι λεγόμεναι· διὸ ἐπὶ τῶν ζώντων βοῶν φησι τὸ, ἄλλοι δ' αὐταῖς βουσίν· — αὐτῇσι βόεσσιν· ἀντὶ τοῦ ζώσαις· ἰστέον δὲ, ὅτι ὁπόταν περὶ πλήθους θρεμμάτων διαλέγωνται οἱ ποιηταὶ, κατὰ τὸ θηλυκὸν προφέρονται. Σ. Β.

Σ. 475. Ἀνδραπόδεσσι] Ἰστέον δὲ, ὅτι τὸ ἀνδραπόδεσσι, μεταπλασμός ἐστιν, ὡς τὸ κρίνεσσιν, ἴσως δὲ καὶ τὸ δένδρεσιν· οὐ γάρ ἐστιν εἰπεῖν, ὡς εὐθεῖά ἐστιν αὐτοῦ ὁ ἀνδράπους, ἵνα ἐξ αὐτοῦ γίνεται τὸ ἀνδραπόδεσσιν· — τινὲς δὲ ἀνδραπόδοισι γράφουσιν. Ε. — Τίθεντο] Παρεσκευάζοντο. — Θάλειαν] Θάλλουσαν τοῖς ἀγαθοῖς. Σ.

Σ. 480. Χαμάδις χέον] Ἐνταῦθα δὲ καὶ τὸ λείβειν ἑρμηνεύει ὁ ποιητὴς, μεταλαβὼν αὐτὸ εἰς τὸ χαμάδις οἶνον χέειν, ὡς ταὐτὸν ὂν ἐπὶ σπονδῆς, λείβειν, ἢ χέειν εἰπεῖν· — οἶνον δὲ χαμάδις χέον, ὡς οἷον ἀποτροπιαζόμενοι. Ε.

Σ. 481. Πρὶν πιέειν, πρὶν λεῖψαι] Τὸ δεύτερον πρὶν, ἀντὶ τοῦ πρὶν ἤ· τὸ δὲ πρῶτον, ἀντὶ τοῦ πρότερον. Σ. Β.

Σ. 482. Κοιμήσαντ'] Κοιμηθῆναι μὲν λέγει τὸ ἀναπεσεῖν, καὶ ὡς εἰς ὕπνον ἀνακλιθῆναι, ὅπερ καὶ καθεύδειν ἀλλαχοῦ εἶπεν (ἴδ. Β, 2.) — Ὕπνου δῶρον] Ὕπνου δὲ δῶρον λαβεῖν, αὐτὸ τὸ ὑπνῶσαι· — παρακολούθημα ὂν τοῦ κοιμᾶσθαι. Ε.

ΤΕΛΟΣ ΤΟΥ Α΄. ΤΟΜΟΥ.

УНІВЕРСИТЕТУ імені І. І. МЕЧНИКОВА
НБ ОНУ імені І.І.Мечникова
02/09/25 902902 НБ ОНУ
+1-9/887.

НБ ОНУ імені І.І.Мечникова

## Ὅσα βιβλία νεωστὶ ἐξῆλθ

1. Σχόλια εἰς Ὀδύσσείαν ὑπὸ Baumgart εἰς τόμ. 3. Δρ. 12.
2. Σχόλια εἰς τὸν Πίνδαρον ὑπὸ Augustus εἰς τόμ. 2. Δρ. 8.
3. Σχόλια εἰς τὸν Θουκυδίδην, τόμ. 2. Δ
4. Ἱερὰ βίβλος Πηδάλιον, τόμ. 1. Δρ. 3
5. Γραμμ. Ἑλλ. διὰ τὰ Ἑλλ. Σχολεῖα, τό
6. Σχόλια εἰς τὸν Ἰσοκράτην, ὑπὸ Κοραῆ
7. Λεξικὸν Γαλλοελληνικὸν, συνταχθὲν ΚΚ. Α. Ῥαγκαβῆ, Ν. Λεβαδέως, καὶ κάσι, ἐχόντων ὡς κείμενον τὸν Λαβῶ, μονα καὶ τύπον ἀκριβείας τὸ τῆς ἐνησχολήθησαν ἀνενδότως, μὴ παραβλέ λέξιν, οὔτε φράσιν Γαλλικὴν, διότι τὰ ἐκδοθέντα Γαλλοελληνικὰ λεξικὰ, πίνα ἢ ἁπλᾶ δοκίμια λεξικοῦ δύναταί τις ὀνομάσῃ παρὰ λεξικὰ, διὰ τὴν ἀμεθοδ λογίαν τῶν ἐξηγήσεων καὶ ἐξαιρέτως δι βολικὴν πτωχείαν των. Ἔχον ὄγκος ὑ τυπογραφικὰ φύλλα, τόμ. 1. Δρ. 24
8. Σχόλια εἰς τὴν Ἰλιάδα ὑπὸ Müller, τόμ

## Ὅσα εὑρίσκονται ὑπὸ τὰ πιεσ

1. Σχόλια ἀνέκδοτα εἰς τὸν Αἰσχίνην ὑπὸ Μηνωΐδου Μηνᾶ.
2. Ἐπιτομὴ Ἑβραϊκῆς Ἀρχαιολογίας Κοντογόνη.

Οἱ τρεῖς τόμοι τιμῶνται Δρ.


НБ ОНУ імені І.І. Мечникова